ΒΙΒΛΙΟΘΗΚΗ
ΕΛΛΗΝΩΝ
ΠΑΤΕΡΩΝ

ΜΑΚΑΡΙΟΣ
Ο ΑΙΓΥΠΤΙΟΣ

*

ΜΑΚΑΡΙΟΣ
ΑΛΕΞΑΝΔΡΕΥΣ

*

ΠΕΤΡΟΣ Β΄
ΑΛΕΞΑΝΔΡΕΙΑΣ

*

ΤΙΜΟΘΕΟΣ Α΄
ΑΛΕΞΑΝΔΡΕΙΑΣ

42

Printed in Greece
Athens 1971

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΤΕΣΣΑΡΑΚΟΣΤΟΣ ΔΕΥΤΕΡΟΣ

ΜΑΚΑΡΙΟΣ Ο ΑΙΓΥΠΤΙΟΣ

ΟΜΙΛΙΑΙ ΝΑ' - ΠΕ' — ΜΕΓΑΛΗ ΕΠΙΣΤΟΛΗ — ΠΡΑΓΜΑΤΕΙΑΙ — ΕΥΧΑΙ — ΑΠΟΦΘΕΓΜΑΤΑ

ΜΑΚΑΡΙΟΣ Ο ΑΛΕΞΑΝΔΡΕΥΣ

ΠΕΤΡΟΣ Β' ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΤΙΜΟΘΕΟΣ Α' ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Ἐπιμελείᾳ
ΚΩΝΣΤΑΝΤΙΝΟΥ Γ. ΜΠΟΝΗ Δ. Θ. καὶ Φ.
Ὁμοτίμου Καθηγητοῦ τοῦ Παν/μίου Ἀθηνῶν



ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΑΘΗΝΑΙ 1971

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΜΑΚΑΡΙΟΣ Ο ΑΙΓΥΠΤΙΟΣ

Σελ.
ΚΕΙΜΕΝΑ.—Ἑπτὰ ὁμιλίαι (ΝΑ' - ΝΖ') 11
Ὁμιλίαι ἕτεραι (Α'=ΝΗ' - ΚΗ'=ΠΕ') 35
«Μεγάλη Ἐπιστολή» 143
Πραγματεῖαι: Περὶ φυλακῆς καρδίας, Περὶ τελειότητος ἐν Πνεύματι, Περὶ προσευχῆς, Περὶ ὑπομονῆς καὶ διακρίσεως, Περὶ ὑψώσεως τοῦ νοός, Περὶ ἀγάπης, Περὶ ἐλευθερίας νοός. 179
Εὐχαὶ 253
Ἀποφθέγματα 255

ΜΑΚΑΡΙΟΣ Ο ΑΛΕΞΑΝΔΡΕΥΣ

ΕΙΣΑΓΩΓΙΚΑ 273
ΚΕΙΜΕΝΑ.—Περὶ ἐξόδου ψυχῆς λόγος 277
Ἀποφθέγματα 281

ΠΕΤΡΟΣ Β' ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΙΣΑΓΩΓΙΚΑ 286
ΚΕΙΜΕΝΑ.—Ἐκ τῆς ἐγκυκλίου ἐπιστολῆς ἀπόσπασμα 299

ΤΙΜΟΘΕΟΣ Α' ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΙΣΑΓΩΓΙΚΑ 309
ΚΕΙΜΕΝΑ.—Ἀποκρίσεις Κανονικαὶ 317
Ἐπιστολὴ πρὸς Διόδωρον Κύρου 324
ΠΙΝΑΞ ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ 327
ΠΙΝΑΞ ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ 337

ΜΑΚΑΡΙΟΣ Ο ΑΙΓΥΠΤΙΟΣ

ΜΑΚΑΡΙΟΥ ΟΜΙΛΙΑΙ*

19 Τοῦ αὐτοῦ μοναχοῦ θείου πατρὸς Μακαρίου ἐπιστολὴ δευτέρα πρὸς τὸν ἀββᾶν Συμεὼν τὸν ἀσκητὴν τὸν ἀπὸ Μεσοποταμίας τῆς Συρίας καὶ πρὸς τοὺς λοιποὺς ἀδελφοὺς τοὺς ὄντας μετ' αὐτοῦ.**

ΟΜΙΛΙΑ ΝΑ΄

Α΄. Μακάριος τοῖς ἀγαπητοῖς καὶ ὁμοψύχοις ἀδελφοῖς ἐν Κυρίῳ. Εἰρήνη ὑμῖν ὑπερεκπερισσοῦ ἀπὸ Κυρίου πληθυνθείη[1], εἰρήνη ἡ ἐπουράνιος ἡ ἀνατείλασα τῷ κόσμῳ τὸ φῶς· ἣν ἐκήρυξαν προφῆται καὶ ἐλάλησαν δίκαιοι καὶ εὐηγγελίσαντο ἄγγελοι[2]. Εἰρήνη ἐκείνη, ἣν ἐδέξατο Μαρία καὶ ἐγέννησε Σωτῆρα κόσμου· τὸν κατελθόντα πρὸς τοὺς νεκρούς[3] καὶ διαρρήξαντα τὰς πέτρας[4] καὶ ἀνοίξαντα τὰ μνημεῖα[5] καὶ ζωοποιήσαντα τοὺς νεκρούς[6] καὶ ἐξαγαγόντα τοὺς ἐγκεκλεισμένους[7] καὶ λύσαντα τοὺς πεπεδημένους καὶ ἐλευθερώσαντα τοὺς δεδουλωμένους καὶ διαρρήξαντα τὸ χειρόγραφον[8] τῆς κατακρίσεως Ἀδὰμ καὶ γράψαντα νόμον ἐπουράνιον ἐν ταῖς ψυχαῖς καὶ συμμείξαντα τὴν θεότητα τῇ ἀνθρωπότητι καὶ ἐλευθερώσαντα τὴν κτίσιν[9] καὶ ἀποκτείναντα τὴν ἁμαρτίαν καὶ ἄραντα τὴν κατάραν ἀπὸ τῆς γῆς καὶ διαρρήξαντα τὸν φραγμὸν τῆς ἔχθρας[10] καὶ ἀναστήσαντα ἐκ τοῦ χοὸς τὸ κατακριθὲν σῶμα τοῦ Ἀδὰμ καὶ εἰσαγαγόντα αὐτὸν ἐν τῷ παραδείσῳ τῆς ἐπαγγελίας καὶ ποιήσαντα περιπατῆσαι ἐν καινῇ ζωῇ τῇ μὴ ἀποθνησκούσῃ πάλιν, ἵνα γενώμεθα αὐτοῦ ἀδελφοὶ καὶ γεννήσῃ ἡμᾶς ἐκ τοῦ Πατρὸς αὐτοῦ[11]. Οὗ ἤκουσαν στεῖραι καὶ ἐσκίρτησαν[12] ἐν ἀγαλλιάσει τὰ ἔμβρυα αὐτῶν· ὦτα κωφῶν ἠνοίχθη καὶ μογιλάλων[13] γλῶσσα ἐλύθη[14]· χωλοὶ περιεπάτησαν[15]· παραλυτικοὶ ἰάθησαν[16] καὶ ἔλαβον τὰ κλινίδια αὐτῶν[17]. Ὃν εἶδεν ἡ ἀ-

---

* Κατὰ τὴν ἔκδοσιν G. L. Marriott, Macarii Anecdota Seven Unpublished homilies of Macarius. Harvard Theological Studies, Cambridge, Harvard University Press, 1918, ἐπὶ τῇ βάσει τῶν κωδίκων Baroccianus 213 (H. Coxe) καὶ Holkhamensis 55 (Ms. Gr. D. 2A. 6) (Seymour de Ricci).

** Οἱ ἀριθμοὶ παραπέμπουσιν εἰς τὰς σελίδας τῆς ὡς ἄνω κριτικῆς ἐκδόσεως G. L. Marriott.

1. Πρβλ. Δαν. 4,34. 2. Πρβλ. Λουκ. 2,14. 3. Πρβλ. Α΄ Πέτρ. 3,19. 4. Πρβλ. Ματθ. 27,51. 5. Πρβλ. ἔνθ' ἀν. 27,52. 6. Πρβλ. ἔνθ' ἀν. 27,52. 7. Πρβλ. ἔνθ' ἀν. 27,53. 8. Πρβλ. Κολ. 2,14. 9. Πρβλ. Ρωμ. 8,21. 10. Πρβλ. Ἐφ. 2,14. 11. Πρβλ. Ἰω. 1,13. 12. Πρβλ. Λουκ. 1,7. 44. 13. Πρβλ. Μάρκ. 7,32. 14. Πρβλ. Λουκ. 1,64. 15. Πρβλ. Ματθ. 11,5. Λουκ. 7,22. 16. Πρβλ. Ματθ. 4,24. κ.ἀ. 17. Πρβλ. Ματθ. 9,6.

μαρτωλὸς καὶ προσεκύνησε καὶ ἀνεπλήρωσε τὰ ὀφειλήματα αὐτῆς τοῖς φιλήμασι τῶν ποδῶν αὐτοῦ[1]· ὃν ἰδὼν Ζακχαῖος ἐδέξατο ζωὴν ἐν τῷ οἴκῳ αὐτοῦ[2]· ὃν εἶδον τὰ ὕδατα καὶ μετεβλήθη εἰς οἶνον[3] καὶ ὀλίγοι ἄρτοι ὑπερεπερίσσευσαν[4]· ὃς ἔδωκεν ἴασιν ἐκ τοῦ κρασπέδου αὐτοῦ τῇ αἱμορροούσῃ καὶ ἐρρύσθη ἐκ τῆς πηγῆς τοῦ αἵματος τῆς ῥύσεως αὐτῆς[5]· **20** ὁ περιπατήσας ἐπὶ κυμάτων[6] θαλάσσης καὶ ἐπιτιμήσας τῷ ἀνέμῳ καὶ ἡσύχασε[7] καὶ τοὺς ἰχθύας συγκλείσας ἐν τῇ σαγήνῃ[8] καὶ πάλιν ἐξ ἰχθύος ἑτέρου στατῆρα ἐνεγκών[9]· ὃν εἶδον οἱ ἁμαρτωλοὶ καὶ ἐδικαιώθησαν καὶ πόρναι γεγόνασι σώφρονες καὶ παρθένοι κατέλιπον τοὺς ὁρμαστοὺς αὐτῶν καὶ ὕπανδροι ἀνεχώρησαν τῶν συζύγων αὐτῶν καὶ νυμφίοι καὶ νύμφαι κατήργησαν τοὺς γάμους αὐτῶν καὶ βασιλεῖς λαβόντες τὰ διαδήματα ἦλθον εἰς προσκύνησιν αὐτοῦ καὶ δικασταὶ κατέλιπον τὰ δικαστήρια αὐτῶν καὶ σοφοὶ κατεπάτησαν τὴν σοφίαν αὐτῶν καὶ ἰατροὶ ἔρριψαν τὰ φάρμακα αὐτῶν καὶ πλούσιοι ἀφῆκαν τὸν πλοῦτον αὐτῶν καὶ ἔμποροι κατέλιπον τὰς ἐνθήκας αὐτῶν· ὃν εἶδον ἄφρονες καὶ γεγόνασι συνετοὶ καὶ ἰδιῶται γεγόνασι γραμματεῖς καὶ ἁλιεῖς γεγόνασι κήρυκες[10] καὶ οἱ μὴ ἔχοντες λόγον ἐλάλησαν πάσῃ γλώσσῃ[11]. Εἰρήνη ἐκείνη, ἡ δεξαμένη τὸ δῶρον τοῦ Ἄβελ[12] καὶ μεταστήσασα τὸν Ἐνὼχ[13] τοῦ μὴ γεύσασθαι θανάτου καὶ τὸν Νῶε σκεπάσασα ἐν τῇ κιβωτῷ[14]. Ὁ πληθύνας τὰς εὐλογίας τοῦ Ἀβραὰμ[15] καὶ τὸν Ἰσαὰκ κληρονόμον καταστήσας τῆς ἐπαγγελίας[16], ἐξ οὗ σπέρματος ἐγεννήθη ὁ Σωτὴρ τῶν αἰώνων· ὁ ἐκλεξάμενος τὸν Ἰακὼβ ἐκ μήτρας[17] τοῦ δέξασθαι τὰς εὐλογίας τῶν πρωτοτόκων[18]· ὁ γενόμενος μετὰ Ἰωσὴφ ἐν γῇ ἀλλοτρίᾳ[19] καὶ λαβὼν τὸν ζυγὸν τῆς δουλείας ἐκ τοῦ τραχήλου αὐτοῦ καὶ λύσας ἐξέβαλεν αὐτὸν ἐκ τῆς φυλακῆς καὶ ἐποίησε κύριον τῆς Αἰγύπτου[20]· ὁ ἐν βάτῳ πυρὸς ὀφθεὶς τῷ Μωσεῖ[21] καὶ δοὺς αὐτῷ ἐξουσίαν ὑποτάσσειν πάντα τὰ κτίσματα[22] καὶ τὴν θάλασσαν ποιήσας δραμεῖν ἔμπροσθεν αὐτοῦ[23]· ὁ ἐνδυναμώσας Ἰησοῦν τὸν τοῦ Ναυῆ[24] καὶ νικητὴν ποιήσας ἐν πάσαις ταῖς συμβολαῖς τῶν πολέμων· ὁ ἐκλεξάμενος τὸν Σαμουὴλ εἰς ἱερέα καὶ τὸν Δαβὶδ χρίσας ὀπίσω ποιμνίων[25]· ὁ ἐξ ὀλίγου ἀλεύρου ἐν τῇ ὑδρίᾳ καὶ ἐλαίου ὀλίγου ἐν τῷ καψάκῃ τῆς χήρας ποιήσας πηγὴν πλησμονῆς εἰς ἔτη τρία καὶ μῆνας ἕξ[26]. Ὁ ἀποστείλας ἵππους καὶ ἅρμα πυρὸς πρὸς Ἠλίαν καὶ εἰσα-

---

1. Πρβλ. Λουκ. 7,37 ἑξ. 2. Πρβλ. Λουκ. 19,2 ἑξ. 3. Πρβλ. Ἰω. 2,3 ἑξ. 4. Πρβλ. Ματθ. 14,17 ἑξ. 5. Πρβλ. Ματθ. 9,20 ἑξ. 6. Πρβλ. Ματθ. 14,25. 7. Πρβλ. Ματθ. 8,26. 8. Πρβλ. Ματθ. 13,47. 9. Πρβλ. Ματθ. 17,27. 10. Πρβλ. Ματθ. 4,19. 11. Πρβλ. Πράξ. 2,6. 7. 12. Πρβλ. Γεν. 4,4. 13. Πρβλ. Γεν. 5,24. 14. Πρβλ. Γεν. 7,1 ἑξ. 15. Πρβλ. Γεν. 12,3. 17,4. 16. Πρβλ. Γεν. 17,16. 17. Πρβλ. Γεν. 25,23. 18. Πρβλ. Γεν. 27,23. 19. Πρβλ. Γεν. 46,5. 6. 20. Πρβλ. Γεν. 41,41. 21. Πρβλ. Ἐξ. 3,2. 22. Πρβλ. Ἐξ. 4,17. 23. Πρβλ. Ἐξ. 14,27. 24. Πρβλ. Ἐξ. 1,6 ἑξ. 25. Πρβλ. Α' Βασ. 16,13. 26. Πρβλ. Γ' Βασ. 17,12,14.

γαγὼν αὐτὸν εἰς τὸν οὐρανὸν καὶ χαρισάμενος Ἐλισσαίῳ πνεῦμα διπλοῦν καθὼς ἠτήσατο[1] ὁ κελεύσας ξύλῳ ποιῆσαι θαυμάσια ἐν Αἰγύπτῳ[2] καὶ ῥάβδῳ ξηρᾷ τοῦ Ἀαρὼν ποιῆσαι καρπόν[3]. Εἰρήνη ἐκείνη, ἡ ἐνδυναμώσασα τὸν Ἰὼβ ἐν τοῖς πειρασμοῖς καὶ ἐξαγαγοῦσα τὸν Λὼτ ἐκ τοῦ κατακλυσμοῦ τοῦ πυρός[4]. Ὁ γενόμενος μετὰ τῶν πατέρων πάντων, ᾧ καὶ πιστεύσαντες καὶ ὃν ἀγαπήσαντες ἐξῆλθον ὀπίσω αὐτοῦ ὑπομείναντες ὀνείδη καὶ θλίψεις· καὶ ἐγένοντο ξένοι καὶ πτωχοὶ καὶ πάροικοι **21** καὶ δεδιωγμένοι, ἐξουδενώσαντες τὸν κόσμον, καταφρονήσαντες τοῦ θανάτου καὶ ἀρνησάμενοι ἑαυτούς· καὶ ἐπειράσθησαν παντὶ πειρασμῷ καὶ ἐβλήθησαν εἰς θηρία καὶ γεγόνασι θέατρον τῷ κόσμῳ[5]· καὶ διελθόντες διὰ πυρὸς καὶ ὕδατος ἐξῆλθον εἰς ἀναψυχήν[6].

Β΄. Ταῦτα δὲ ἔγραψα ὑμῖν, ἀδελφοὶ ἀγαπητοί, ἵνα γνῶτε ὡς ἀφ' ἧς ἡμέρας ἐκτίσθη ὁ Ἀδὰμ ἐπὶ τῆς γῆς καὶ ἕως τῆς συντελείας τοῦ αἰῶνος[7] οὐχ ἡσυχάζει ὁ πονηρὸς ποιεῖν πόλεμον μετὰ τῶν ἁγίων. Ἐν αὐτῷ γὰρ τῷ σώματι, ᾧ ἐσμεν ἐνδεδυμένοι, λοιπὸν μετὰ τὴν παράβασιν τοῦ πρωτοπλάστου, οἰκεῖ καὶ ἀναστρέφεται μεθ' ἡμῶν πονηρῶς καὶ δολίως ἐν ταῖς πανουργίαις καὶ τοῖς ἐπιτηδεύμασιν αὐτοῦ. Ὅσοι δέ εἰσι νήπιοι καὶ ἀγύμναστοι τῶν πολέμων αὐτοῦ περισσοτέρως τραυματίζονται ὑπ' αὐτοῦ διὰ τὴν ἁπλότητα τῆς νηπιότητος αὐτῶν· ἐφ' ὅσον δὲ τὸν Κύριον ἐν ἀληθείᾳ ζητοῦσιν οὐ πίπτουσι. Γέγραπται γάρ· Φυλάσσων τὰ νήπια ὁ Κύριος[8]· ὅπλον γὰρ οὐράνιον οἱ Χριστιανοὶ ἐνδεδυμένοι ἐν αὐτῷ ποιοῦσι πόλεμον, ὡς εἷς πρὸς ἕνα, κρυπτῶς, ἐν ταῖς ἑαυτῶν ψυχαῖς. Καὶ οἱ μὲν ἄνθρωποι κατέναντι ἀλλήλων πολεμοῦντες καιροὺς ἔχουσιν ἐν οἷς πολεμοῦσι καὶ μετὰ τὸν πρὸς ἀλλήλους πόλεμον ἕκαστος αὐτῶν ἀναπαύεται καὶ καθέζεται ἐν τῇ πατρίδι αὐτοῦ μεθ' ἡσυχίας καὶ εἰρήνης· ὅσοι δὲ μετὰ τοῦ Σατανᾶ πόλεμον ποιοῦσι, νυκτὸς καὶ ἡμέρας οἱ τοιοῦτοι ἐν ἀγῶνι στήκουσιν· ἐν ἑνὶ γὰρ οἴκῳ, ὅς ἐστι τὸ σῶμα, κατέλυσε ψυχὴ ἀνθρώπου καὶ ὁ Σατανᾶς, πρὸς ὃν πολεμεῖ· ἐκεῖ οἰκεῖ ἐν αὐτῷ καὶ ἀναστρέφεται καὶ διὰ τοῦτο ἐγγύτερός ἐστι τῆς ψυχῆς πᾶσαν ὥραν· διὰ τοῦτο οὐχ ἡσυχάζουσιν οὔτε ἀναπαύονται, ἕως οὗ ἐνδύσωνται ὅπλον καὶ δύναμιν ἐξ ὕψους[9], ἐπειδὴ ἐπίστευσαν καὶ ἔγνωσαν διὰ τοῦ Θεοῦ, ὅτι ἐστὶ μετ' αὐτῶν ὁ φονεὺς τῆς ἀνθρωπότητος· καὶ εἰς αὐτοὺς τοὺς πολέμους αὐτῶν ἥδονται, ἐν οἷς ἔγνωσαν ὅτι τὸν Θεὸν ἀγαπῶσι καὶ μετὰ τοῦ Σατανᾶ πολεμοῦσι σὺν τῇ δυνάμει τοῦ Θεοῦ. Ὀλίγοι δέ εἰσι καὶ σπάνιοι οἱ εἰδότες ὅτι ἐστὶ μετ' αὐτῶν ὁ ἀφανιστὴς τῶν ψυχῶν· διὰ τοῦτο ἐν θλίψει εἰσὶ καὶ οὐκ ἔστιν ἐπὶ γῆς ὃς παρακαλέσει αὐτούς, ἐπειδὴ προσέχουσι καὶ προσδοκῶσιν ἐκ τοῦ οὐρανοῦ, ἵνα δέξωνταί τι ἐν αὐτοῖς καὶ ἐν ἐκείνῃ τῇ δυνάμει καὶ τῷ ὅπλῳ τοῦ Πνεύματος

---

1. Πρβλ. Δ΄ Βασ. 2,14. 2. Πρβλ. Ἐξ. 7,19. 3. Πρβλ. Ἀρ. 17, 21. 23. 4. Πρβλ. Γεν. 19,29. 5. Πρβλ. Α΄ Κορ. 4,9. 6. Ψαλ. 65,12. 7. Ματθ. 28,20. 8. Ψαλ. 114,6. 9. Πρβλ. Λουκ. 24,49.

νικῶσιν. Ἐξ οὐρανοῦ γάρ ἐστιν ἣν δέχονται δύναμιν, μὴ φαινομένην ὀφθαλμοῖς σαρκός· ὅσον γὰρ τὸν Θεὸν ζητοῦσιν ἐξ ὅλης καρδίας, δύναμις Θεοῦ κρυπτῶς πᾶσαν ὥραν βοηθεῖ αὐτοῖς· εἰ δὲ καὶ πειράζονται **22** ὑπὸ τοῦ Σατανᾶ, διὰ τὴν ἀσθένειαν αὐτῶν, ἀλλ' οὐκ ἐγκαταλιμπάνει αὐτοὺς ὁ Κύριος ἐπὶ πολὺ ἐμποδισθῆσαι καὶ ἐπὶ πλεῖον πειρασθῆναι[1]. Αὐτοὶ δὲ οἱ πόλεμοι διδάσκουσιν αὐτοὺς γνῶναι τί ἐστιν ὁ Σατανᾶς καὶ πῶς φθείρει τοὺς ἀνθρώπους· καὶ αὐτὰ τὰ πάθη τῶν πολέμων διδάσκουσιν αὐτοὺς ἐγγίζειν πρὸς τὸν Θεὸν τὸν σωτῆρα τοῦ κόσμου[2]· καὶ ἐπὰν γνῶσι τὴν ἀσθένειαν ἑαυτῶν, μὴ δυνάμενοι νικῆσαι, τότε ζητοῦσιν ἐκ Θεοῦ ὅπλον σπουδαίως· καὶ οὕτως ἐνδυσάμενοι τὴν πανοπλίαν[3] τοῦ Πνεύματος, γίγνονται νικηταὶ καὶ πίπτει ὑπὸ τοὺς πόδας αὐτῶν ὁ ἐχθρὸς τῶν ψυχῶν. Δι' ὧν ὅπλων καταλύεται τὰ τείχη τῆς ἁμαρτίας τὰ κυκλώσαντα τὴν ψυχὴν καὶ ψυχαὶ αἱ ἐγκεκλεισμέναι εἰς σκότος εἰς φῶς ἐξέρχονται καὶ πρὸς τὸν Πατέρα αὐτῶν τὸν οὐράνιον ἐγγίζουσι καὶ κάλλος ὡραιότητος θεϊκὸν ἐνδύονται καὶ δόξαν καὶ δύναμιν περιζώννυνται[4] καὶ πάντα τὰ ἐπιτηδεύματα τοῦ πονηροῦ πνεύματος μανθάνουσιν, ὥς φησιν ὁ ἀπόστολος· Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν καὶ μετὰ τοῦ Πνεύματος τοῦ Ἁγίου συμμείγνυνται καὶ τὸ θέλημα τοῦ Πατρὸς τοῦ ἐν οὐρανοῖς ποιοῦσι.

Γ'. Γινώσκετε οὖν, ἀδελφοὶ ἀγαπητοί, ὅτι ὅσοι ἑτοιμάζουσι τὰς ἑαυτῶν ψυχὰς γενέσθαι γῆν τοῦ οὐρανίου σπόρου, ἐκεῖ ὁ ἐχθρὸς σπεύδει σπεῖραι τὰ ζιζάνια[5] αὐτοῦ· διὸ καὶ ἐπειράσθητε ὑπὸ τοῦ ἐχθροῦ καὶ ἀκηκοότες ἐλυπήθημεν ἐπὶ πολύ. Καὶ τοῦτο δὲ ἴστε· ὡς εἰ μή τινες ἐξ ὅλης καρδίας ζητήσουσι τὸν Κύριον[6], οὐ πειράζονται ὑπὸ τοῦ Σατανᾶ φανερῶς, ἀλλὰ κρυπτῶς καὶ δολίως διὰ τῆς ἀπάτης αὐτοῦ ἐξαφανίζει τὰς ψυχὰς τῶν ἀνθρώπων, φθείρων καὶ ἀπαλλοτριῶν ἀπὸ Θεοῦ[7] καὶ τὰ νῦν, ἀδελφοί, θαρσεῖτε καὶ μὴ δειλιάσητε ἐν μηδενὶ καὶ μὴ πτύρεσθε ἐν ταῖς φαντασίαις τοῦ ἀλλοτρίου καὶ ἐν τῇ προσευχῇ μὴ γίνεσθε συγκεχυμένοι ἐν πλείοσι καὶ ἀπρεπέσι κραυγαῖς, ἔσεσθε δὲ ἐκδεχόμενοι τὴν χάριν τοῦ Κυρίου ἐν πόνῳ ψυχῆς καὶ πείνῃ νοός· οὐ γὰρ πρὸς ὑμᾶς μόνον τοιαῦτα γεγόνασιν, ἀλλὰ καὶ ἐνταῦθα ὅμοια γεγόνασι πρός τινας· ταῦτα δὲ συμβέβηκεν ἐν τῷ πρώτῳ καιρῷ· ὅτε γὰρ ἤρξαντο προσκαρτερεῖν ἐν προσευχαῖς, ἐν πειρασμοῖς ἐκλυδωνίσθησαν διὰ τὸ ἀγυμνάστους αὐτοὺς εἶναι καὶ διὰ τὴν νηπιότητα αὐτῶν συνεχύθησαν. Τὸ λοιπόν, ἀδελφοί, θαρσεῖτε καὶ παρακαλεῖσθε καὶ ἐκδέχεσθε, μεριμνῶντες ὑπὲρ τῶν ψυχῶν ὑμῶν, σπουδάζοντες προσκαρτερεῖν τῇ προσευχῇ καὶ μὴ ἐκκακήσῃ ὁ νοῦς ὑμῶν, γέγραπται γάρ· Ὑπομονῆς χρείαν ἔχετε[8], ἵνα ποιήσαντες τὸ θέλημα τοῦ Θεοῦ κομίσησθε τὰς ἐπαγγελίας. **23** Καὶ ὁ Κύριος εἶπεν· Ἐὰν δύο ὑμῶν συμφωνήσωσιν, ἀμὴν λέγω ὑμῖν, πᾶν ὃ ἐὰν αἰτήσωνται, λήψονται[9]. Ὅσοι γὰρ ἐν ἀληθείᾳ

1. Πρβλ. Α' Κορ. 10,13. 2. Πρβλ. Ἰω. 4,42. 3. Πρβλ. Ἐφ. 6,11.
4. Πρβλ. Α' Βασ. 2,4. 5. Πρβλ. Ματθ. 13,25. 6. Πρβλ. Παρμ. 19,3.
7. Πρβλ. Κολ. 1,21. 8. Ἑβρ. 10,36. 9. Πρβλ. Ματθ. 18,19.

τὸν Θεὸν ζητοῦσι, δύναμιν θεϊκὴν δέχονται ἐν ταῖς ψυχαῖς καὶ οἱ τοιοῦτοι τῷ οὐρανίῳ χρίσματι προσεγγίζοντες αἰσθάνονται ἐν ἑαυτοῖς τῆς γεύσεως καὶ γλυκύτητος τοῦ μέλλοντος αἰῶνος· οἱ τοιοῦτοι μείζονές εἰσι πάντων ἀνθρώπων τῶν κατοικούντων ἐπὶ τῆς γῆς. Ἡ εἰρήνη τοῦ Κυρίου ἡ γενομένη μετὰ πάντων τῶν ἁγίων πατέρων καὶ φυλάξασα αὐτοὺς ἀπὸ παντὸς πειρασμοῦ, αὕτη ἔσται μεθ' ὑμῶν ἐπὶ τῷ ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος· ἀμήν.

ΟΜΙΛΙΑ ΝΒ'

24 Α'. Ὁ λόγος τοῦ Θεοῦ ἔργον ἀληθείας ἐπιζητεῖ. Εἶτά ἐστιν ἀνθρώπῳ τὸ λέγειν, τὸ ἀκούειν καὶ τὸ ποιεῖν· διὰ τοῦτο γὰρ ἀκούει τις τοῦ λέγοντος, ἵνα τῆς ἀκοῆς τὸ ἔργον ἐκτελέσῃ. Ταύτῃ τῇ ἡμέρᾳ ὁ Κύριος ἐγεννήθη, ἡ ζωὴ καὶ ἡ σωτηρία τῶν ἀνθρώπων· σήμερον γέγονε καταλλαγή[1] θεότητος πρὸς ἀνθρωπότητα καὶ ἀνθρωπότητος πρὸς θεότητα· σήμερον ἐσκίρτησε πᾶσα ἡ κτίσις· οἱ ἄνωθεν ἀπέστειλαν πρὸς τοὺς κάτω καὶ οἱ κάτω πρὸς τοὺς ἄνω· σήμερον τοῦ σκότους θάνατος γέγονε καὶ τοῦ ἀνθρώπου ζωή· σήμερον ὁδὸς γέγονε πρὸς Θεὸν τοῖς ἀνθρώποις καὶ Θεοῦ ὁδὸς εἰς τὴν ψυχήν· τὸ πρὶν γὰρ ἔλεγεν ὁ προφήτης· Ὁδοὶ Σιὼν πενθοῦσι παρὰ τὸ μὴ εἶναι ἐρχομένους εἰς ἑορτήν[2], τῆς ψυχῆς τὴν ἐρήμωσιν καὶ τὸν ἀφανισμὸν αἰνισσόμενος, οὔτε γὰρ ὁδὸς Θεοῦ εἰς ψυχὴν καὶ ἀνθρώπου διάνοιαν ἦν οὔτε ψυχὴ εἰς Θεὸν περιεπάτει· σήμερον ἀγαλλιᾶται τὰ πεδία καὶ πάντα τὰ ἐν αὐτοῖς, ἡ γῆ τῆς ψυχῆς δεχομένη ὄμβρον ἐξ οὐρανοῦ. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο[3]· ὅτι τὸ πρὶν κύριος καὶ βασιλεὺς ὁ Ἀδὰμ κατασταθεὶς ἰδοὺ διὰ τὴν παράβασιν δοῦλος τῆς ἁμαρτίας γέγονε· σήμερον βασιλεύει τῶν ἐχθρῶν αὐτοῦ· Δεῖ γὰρ αὐτόν, φησί, βασιλεύειν[4]· σήμερον ἐστερέωσε τὴν οἰκουμένην[5], τὴν πρὶν ἔρημον ψυχὴν καὶ σαλευομένην καὶ τρέμουσαν, ἐν φόβῳ καὶ δειλίᾳ τῆς ἁμαρτίας κατεχομένην· Ἐν γὰρ τῇ κατάρᾳ, φησί, στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς[6]· ἐπειδὴ γὰρ ὁ οἶκος αὐτῆς ἐν ἄμμῳ ᾠκοδόμητο[7], ἐν σάλῳ καὶ τρόμῳ ἦν· σήμερον εἰς τὴν ἀσάλευτον πέτραν[8] τῆς θεότητος ἡ οἰκία τῆς ψυχῆς ᾠκοδομήθη. Χαίρουσιν ἄγγελοι, οὐρανοί, ἀστέρες, ἥλιος, σελήνη, ἡ γῆ, καὶ πάντα τὰ ἐν αὐτῇ, ὄρη καὶ βουνοὶ σκιρτῶσιν[9]. Εἰ γὰρ ἐν τῷ ἐξέρχεσθαι ἐκ τῆς Αἰγύπτου τὸν Ἰσραὴλ συνέχαιρε πάντα τὰ κτίσματα, οὐρανὸς σκέπων νέφει φωτὸς ἡμέρας καὶ νυκτὸς ἐν στύλῳ πυρός[10], τὰ ὄρη ὡσεὶ κριοὶ καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων[11], πόσῳ μᾶλλον ἐπὶ τοῦ ἀληθινοῦ Χριστοῦ γεννηθέντος σήμερον. Καὶ γὰρ τὸ πρὶν πᾶσα ἡ κτίσις ἐβόησεν εἰς φθορὰν μετενεχθεῖσα, πεσόντος τοῦ Ἀδὰμ τοῦ

1. Πρβλ. Ρωμ. 5,10. 2. Θρ. 1,4. 3. Ψαλ. 92,1. 4. Α' Κορ. 15,25 5. Ψαλ. 92,1. 6. Γεν. 4,13. 7. Πρβλ. Ματθ. 7,26. 8. Πρβλ. Ματθ. 7,24. 9. Πρβλ. Ψαλ. 113,4. 10. Πρβλ. Ἐξ. 13,21. 11. Πρβλ. Ψαλ. 113,4.

ὄντος βασιλέως αὐτῶν, ὃν εἰκόνα Θεοῦ[1] ἰδίαν ὑπάρχοντα ἦλθεν ὁ Κύριος ἀνακαινίσαι καθὼς ἔδει καὶ ἀνακτίσαι· ἐπληρώθη ὁ χρόνος τῆς καταδίκης τοῦ ἀνθρώ**25**που· ἐπληρώθησαν οἱ προκατηγγελμένοι ὑπὸ τῶν προφητῶν καιροί[2]· νῦν ἀνακαλεῖται ἐκ τῆς αἰχμαλωσίας καὶ τῆς ἐξορίας· Ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν[3]· ἐπληρώθη ὁ χρόνος τῶν δεσμῶν καὶ τῆς φυλακῆς καὶ τῆς ἐν τῷ σκότει καταδίκης τοῦ Ἀδάμ. Σήμερον αὐτῷ γέγονε λύτρωσις καὶ ἐλευθερία τῆς καταλλαγῆς καὶ ἡ κοινωνία πρὸς τὸ Πνεῦμα καὶ ἡ συνάφεια πρὸς τὸν Θεόν· σήμερον ἤρθη ἡ αἰσχύνη τοῦ προσώπου αὐτοῦ καὶ ἐδόθη αὐτῷ παρρησίᾳ ἀνακεκαλυμμένῳ προσώπῳ[4] ἐνορᾶν καὶ κιρνᾶσθαι τῷ Πνεύματι· σήμερον ἀπολαμβάνει ἡ νύμφη τὸν ἑαυτῆς νυμφίον· σήμερον ἑνότης καὶ κοινωνία καὶ καταλλαγὴ[5] τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων γέγονε, Θεὸς καὶ ἄνθρωπος.

Β΄. Ἔπρεπε γὰρ αὐτῷ ἐνδυσαμένῳ τὸ σῶμα ἐλθεῖν καὶ ἐπιστρέψαι καὶ καταλλάξαι[6] τοὺς ἀνθρώπους τῷ ἰδίῳ Πατρί· ἄνοπλος ἐλθών, τὸ ὅπλον τοῦ ἀνθρώπου ἔλαβεν, ὅπερ ἐστὶ τὸ σῶμα, καὶ δι' αὐτοῦ ἐπολέμησε καὶ ἀπέκτεινε τὸν θάνατον· διὰ σώματος νεκροῦ ἐθανατώθη ὁ ἐχθρός· διὰ τοῦ ἰδίου ὅπλου κατέκρινεν ἐν τῷ σώματι τὴν ἁμαρτίαν· ὥσπερ γὰρ οἱ ἐχθροὶ ἐπερχόμενοι διὰ τῶν ἰδίων τῆς πόλεως ὅπλων καὶ μαγγάνων, λέγω δὴ τῶν βαλλίστρων ἢ ἄλλων τινῶν, σπουδάζουσι καθελεῖν τὰ τείχη, οὕτως καὶ ὁ ἐχθρὸς λαβὼν ὑποχείριον τὸν Ἀδάμ, ὥσπερ ὅπλῳ χρησάμενος τῷ αὐτοῦ σώματι, δι' αὐτοῦ ἐνεμήθη καὶ ᾐχμαλώτευσε πάντας τοὺς ἀνθρώπους· ὡσαύτως καὶ ὁ Κύριος, ὥσπερ ὅπλον λαβὼν τὸν ἄνθρωπον, δι' αὐτοῦ τὰ τείχη καὶ τὰ ὀχυρώματα τοῦ πονηροῦ καὶ πᾶσαν αὐτοῦ τὴν μηχανὴν καὶ τὴν πονηρὰν κατασκευήν, ᾗ κατὰ τοῦ ἀνθρώπου ἐχρήσατο, διέλυσε καὶ ἠφάνισε κατὰ τὸ εἰρημένον· Ὡς τὸ σκότος αὐτῆς, οὕτως καὶ τὸ φῶς αὐτῆς[7]· ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτως καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται[8].

Γ΄. Νεκρὰ γὰρ ἦν ἡ ἀνθρωπίνη φύσις τὸ πρὶν ἀπὸ Θεοῦ, ἄκαρπος· στεῖρα καὶ ἄγονος ἡ ψυχή. Νῦν ἐξ οὐρανοῦ σπέρμα ἐδέξατο, ἵνα δυνηθῇ καρποὺς τοῦ Πνεύματος ἐνεγκεῖν. Ὁ Ἀδὰμ εἷς ἦν καὶ ἐξ αὐτοῦ ἡ γυνή, καὶ εἰ μὴ συνήφθη Ἀδὰμ τῇ γυναικὶ αὐτοῦ, καρποὺς οὐκ ἐποίει· οὕτως ἐὰν μὴ συναφθῇ ἡ ψυχὴ καὶ κοινωνήσῃ τῷ Χριστῷ, καρποὺς τοῦ Πνεύματος ἐνεγκεῖν οὐ δύναται. Τὸ σπέρμα γὰρ τὸ θεϊκὸν ὁ λόγος, ὁ πεσὼν
26 εἰς τὴν θεοτόκον Μαρίαν, εἰς πάσας τὰς πιστευούσας ψυχὰς πίπτει καὶ οὕτως γεννῶνται ἐκ τοῦ πνευματικοῦ γεννήματος τῆς σωτηρίας, καθώς φησι· Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν πνεῦμα σωτηρίας[9] καὶ οὕτως καρποφορεῖ ψυχὴ

---

1. Πρβλ. Γεν. 1,27. 2. Πρβλ. Γαλ. 4,4. 3. Ματθ. 3,2. 4. Πρβλ. Β' Κορ. 3,18. 5. Πρβλ. Ρωμ. 5,10. 6. Πρβλ. Β' Κορ. 19,20. 7. Ψαλ. 138,12. 8. Α' Κορ. 15,22. 9. Ἡσ. 26,18.

τῷ θεῷ. Ἡ γυνὴ γάρ, φησίν, ὅταν ὠδίνῃ, λύπην ἔχει· ἐπὰν δὲ γεννήσῃ, χαίρει, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον[1]· καὶ ἡ ψυχὴ λαβοῦσα τὸν ἐπουράνιον σπόρον, ἕως ἂν ὠδίνῃ θλῖψιν ἔχει, βασανιζομένη ὑπὸ ποικίλων πειρασμῶν, ἐπὰν δὲ γεννήσῃ, τοῦτ' ἔστι τελειωθῇ χαίρει διηνεκῶς χαρᾷ ἀνεκλαλήτῳ, ὅτι ἐγεννήθη ἐπουράνιος καὶ καινὸς ἄνθρωπος εἰς τὸν ἄνω κόσμον.

Δ'. Καὶ ὥσπερ τὸ σῶμα λαβὼν ὁ Κύριος ἀνήνεγκε καὶ ἐκάθισεν ἄνω ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς[2], οὕτω καὶ νῦν τὰς πιστευούσας ψυχὰς καὶ ἀξίας τοῦ Θεοῦ μεθιστᾷ καὶ μεθίστησιν εἰς τὴν βασιλείαν αὐτοῦ[3], γεννήσας αὐτὰς ἄνωθεν[4] ἐκ τοῦ ἰδίου πνεύματος, καθώς φησιν ὁ Κύριος· Ὁ πιστεύων εἰς ἐμὲ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν[5]. Οἱ γὰρ ἐν ἀληθείᾳ πιστοὶ καὶ ἐν τῇ γῇ μένοντες ἄνω ἐν τοῖς οὐρανοῖς διακονοῦσι τῷ Κυρίῳ καὶ αὐτὸς δὲ ἄνω καθεζόμενος εἰς τὸ θρόνον τῆς μεγαλωσύνης[6] αὐτοῦ κάτω ταῖς τῶν ἁγίων ψυχαῖς ὡς ἐν θρόνοις ἐπαναπαύεται· μέλη γὰρ καὶ σῶμα[7] αὐτοῦ εἰσι, πᾶσα ἡ ἐκκλησία τῶν ἁγίων, αὐτὸς δὲ ἡ κεφαλὴ τῆς ἐκκλησίας[8] τυγχάνει· ὥσπερ γὰρ μία ψυχὴ ἐν ὅλῳ τῷ σώματί ἐστι καὶ ἕκαστον μέλος τοῦ σώματος ὑπὸ τῆς μιᾶς ψυχῆς διοικεῖται, οὕτω πάντες οἱ ἅγιοι εἰς τὸ πνεῦμα τῆς θεότητος ζῶσι καὶ ὑπ' αὐτοῦ διοικοῦνται καὶ ἕκαστον μέλος ζῇ ἐν τῇ ὑποστάσει καὶ τῇ θεϊκῇ ψυχῇ.

Ε'. Καὶ ὡς τὸ σῶμα ἐὰν ᾖ παρὰ χεῖρα ἢ παρὰ πόδα ἢ παρ' ὀφθαλμόν, ἐπίμωμός ἐστιν ὁ ἄνθρωπος, οὕτω καὶ ἡ ψυχὴ χωρὶς τῆς ἐπουρανίου ψυχῆς καὶ τοῦ θεϊκοῦ πνεύματος ἀτελὴς καὶ ἐπίμωμός ἐστιν, ἀπόβλητος τῆς βασιλείας τυγχάνουσα· Ἐάν μή τις γάρ, φησί, γεννηθῇ ἄνωθεν, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ[9]. Δύο γὰρ χεῖρες καὶ δύο πόδες καὶ δύο ὦτα τέλειος ἄνθρωπός ἐστιν· ἀλλὰ καὶ δύο πτεροῖς τὸ ὄρνεον δύναται πετασθῆναι, ἑνὶ δὲ πτερῷ πετασθῆναι οὐ δύναται· ἀλλὰ καὶ δύο διαθῆκαι[10] τοῖς ἀνθρώποις ἐδόθησαν καὶ χωρὶς τῆς καινῆς ἡ μία ἀδύνατος ἦν· καὶ πάντα τὰ ζεύγη, δύο ὄντα, ἕν ἐστι καὶ οὕτω τέλεια ἀποδείκνυνται. Οὕτω καὶ τὸν ἀληθῆ χριστιανὸν εἶναι δεῖ· ὁ γὰρ Κύριος **27** εὐδόκησεν αὐτὸν ἔχειν δύο ψυχάς, μίαν τὴν κτισθεῖσαν καὶ μίαν ἐπουράνιον ἐκ τοῦ θεϊκοῦ πνεύματος καὶ οὕτω δύνανται εἶναι τέλειοι καὶ χρήσιμοι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἱπτάμενοι καὶ κουφιζόμενοι ὑπὸ τῶν πτερύγων τοῦ πνεύματος.

Ϛ' Ὥσπερ γὰρ ὁ οὐρανὸς ἀρρενικῶς ὀνομάζεται ἡ δὲ γῆ θηλυκῶς, οὕτω νυμφίος ὁ οὐράνιος Χριστὸς καὶ νύμφη αὐτοῦ ἡ ὡραία ψυχὴ καὶ ἀπαθής· καὶ ἄνωθεν μὲν ὄμβρος ἐκ τοῦ Θεοῦ κατέρχεται, αὕτη δὲ ὡς γῆ καλλίστη δεχομένη τοὺς καρποὺς τοῦ πνεύματος ἀποδίδωσιν· ὥσπερ γὰρ ἡ Εὔα χωρὶς τῆς τοῦ Ἀδὰμ συναφείας στεῖρα καὶ ἄκαρπος ἦν,

1. Πρβλ. Ἰω. 16,21. 2. Ἑβρ. 1,3. 3. Κολ. 1,13. 4. Πρβλ. Ἰω. 3,3. 5. Ἰω. 5,24. 6. Πρβλ. Ἑβρ. 1,3. 7. Πρβλ. Α' Κορ. 12,27. 8. Πρβλ. Ἐφ. 1,22. 9. Πρβλ. Ἰω. 3,3. 10. Πρβλ. Γαλ. 4,24.

οὕτω καὶ ψυχὴ χωρὶς τῆς τοῦ πνεύματος συναφείας καὶ συγκράσεως τοῦ ἐπουρανίου νυμφίου Χριστοῦ χήρα καὶ ἄκαρπος καὶ στεῖρα τυγχάνει τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ἀλλὰ καὶ ὁ ἐπουράνιος νυμφίος ἄνευ τῆς σπουδῆς τοῦ ἀνθρώπου καὶ τοῦ θελήματος οὔτε οἰκεῖ εἰς αὐτὸν οὔτε κιρνᾶται· ὥσπερ γὰρ οἶνος κιρνώμενος ὕδατι πόσιμος καὶ ἡδύς ἐστιν, οὕτω καὶ ἡ θεότης ἑαυτὴν κεράσασα τῇ ἀνθρωπότητι ἦλθεν ἵνα πάντας τοὺς θέλοντας καὶ πιστεύοντας κεράσῃ τῷ ἰδίῳ πνεύματι καὶ οὕτως εἰς ἡδυτάτην καὶ εὔνοστον μεταβληθῶσι προαίρεσιν. Ὥσπερ δὲ βαφὲν ἔριον ἐν πορφύρᾳ ἓν γέγονεν, οὕτω καὶ τελείως βαπτιζόμεναι ψυχαὶ τῷ πνεύματι πορφύρα πνευματικὴ ἀποτελοῦνται κατὰ τὸ γεγραμμένον· Τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν[1]· ὥσπερ καὶ σῶμα τοῦ Κυρίου κερασθὲν τῇ θεότητι Θεός ἐστιν· ὥσπερ δὲ σίδηρος βληθεὶς εἰς πῦρ πῦρ ἐστι καὶ οὐδὲν δύναται αὐτοῦ ἅψασθαι ἢ ἐγγίσαι, ἐπεὶ ἀφανίζεται καὶ ἀναλίσκεται, εἰ μὴ μόνον τὸ πῦρ μετὰ τοῦ πυρὸς ἢ ἄνθρακες πυρὸς μετὰ ἀνθράκων δύνανται εἶναι ἀβλαβεῖς, οὕτω καὶ πᾶσα ψυχὴ διὰ τοῦ πυρὸς[2] τοῦ πνεύματος καθαρισθεῖσα καὶ πῦρ καὶ πνεῦμα γενομένη δύναται εἶναι μετὰ τοῦ ἀχράντου σώματος τοῦ Χριστοῦ. Ψυχὴν δὲ ἀμύητον τούτου τοῦ πνεύματος ἀδύνατον ἐκεῖ προσεγγίσαι ἢ ἀποβλέψαι εἰς τὴν θείαν ἐκείνην ἀστραπὴν καὶ ζῆν ἐν αὐτῇ. Ἕκαστον γὰρ πρᾶγμα ἐκεῖ ἐστι καὶ ἐκεῖ ζῇ, ὅθεν ἐγεννήθη· τὰ ζῷα τὰ ἐν τῷ ὕδατι διὰ τὸ ἐκεῖ γεννηθῆναι ἐκεῖ ζῶσι· τὰ πετεινὰ τοῦ οὐρανοῦ ἱπτάμενα ἐν τῷ ἀέρι εἰς αὐτὸν ἀναπαύονται. Ὁμοίως καὶ ἡ τῶν ψυχῶν διαγωγὴ καὶ ὁ ἀὴρ τῶν ἐχόντων τὰς τοῦ πνεύματος πτέρυγας ἐπάνω ἐστὶν εἰς τὰ ὕψη τῆς θεότητος, ἐκεῖθεν γὰρ ἐγεννήθησαν.

Ζ΄. Ὥσπερ δὲ ἡνίοχος κατέχων τὰ λῶρα ἡνιοχεῖ καὶ ἄγει τὰ ζῷα, ὡς οἶδε καὶ ὡς βούλεται, οὕτως καὶ ὁ Κύριος ἐν τοῖς ὑψίστοις ἡνιοχεῖ καὶ **28** κυβερνᾷ τὰ κτίσματα ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὡς αὐτὸς ἐπίσταται· αὐτὸς γάρ ἐστιν ἐν οὐρανοῖς ἐκ δεξιῶν τῆς μεγαλωσύνης καθεζόμενος καὶ αὐτός ἐστι τὰ ἐπὶ τῆς γῆς διοικῶν καὶ πᾶσι τοῖς ἁγίοις συνὼν καὶ συνοικῶν· αὐτός ἐστιν ἄνω καὶ αὐτός ἐστι κάτω· αὐτός ἐστιν ὁ θεὸς καὶ αὐτός ἐστιν ἄνθρωπος· αὐτός ἐστιν ὁ ζῶν[3] καὶ αὐτός ἐστιν ὁ ἀποθανών· αὐτός ἐστιν ὁ τῶν πάντων Κύριος καὶ αὐτός ἐστιν ὁ τῶν πάντων δοῦλος[4]· αὐτός ἐστι τὸ ἀρνίον[5] καὶ αὐτός ἐστιν ἡ θυσία[6]· αὐτός ἐστιν ὁ μόσχος[7] ὁ τυθεὶς καὶ αὐτός ἐστιν ὁ θύων ἀρχιερεύς· αὐτός ἐστιν ὁ παθὼν[8] καὶ αὐτός ἐστιν ὁ ἀπαθής· αὐτός ἐστιν ὁ νυμφίος[9] καὶ αὐτός ἐστιν ἡ νύμφη[10]. Αὐτός ἐστιν ὁ νυμφὼν καὶ αὐτός ἐστιν ὁ παστός· αὐτός ἐστιν ὁ παράδεισος καὶ αὐτός ἐστι τὸ ξύλον τῆς ζωῆς[11]· αὐτός ἐστιν ἡ πόλις Ἱερουσαλὴμ καὶ αὐτός ἐστιν ὁ ναὸς[12] καὶ τὰ ἅγια τῶν ἁγίων· αὐτός ἐστι τὸ πέλαγος καὶ αὐτός ἐστιν ἡ οἰκουμένη·

---

1. Ἰω. 3,6. 2. Πρβλ. Ματθ. 3,12. 3. Πρβλ. Ἀπ. 1,18. 4. Πρβλ. Ματθ. 10,44. 5. Πρβλ. Ἀποκ. 5,6 ἑξ. 6. Πρβλ. Ἐφ. 5,2. 7. Πρβλ. Λουκ. 15,22. 27.30. 8. Πρβλ. Α΄ Πέτρ. 2,21. 9. Πρβλ. Ἀποκ. 18,23. 10. Πρβλ. ἔνθ' ἀν. 11. Ἀποκ. 2,7. 12. Πρβλ. Ἀποκ. 21,22.

αὐτός ἐστιν ἡ τροφὴ τῶν ψυχῶν καὶ αὐτός ἐστιν ὁ τῇ σωτηρίᾳ τούτων τρεφόμενος· αὐτός ἐστιν ὁ ἄρτος ὁ ζῶν[1] καὶ αὐτός ἐστι τὸ ὕδωρ τῆς ζωῆς[2]· αὐτός ἐστιν ἡ ἄμπελος ἡ ἀληθινὴ[3] καὶ αὐτός ἐστιν ὁ οἶνος τῆς εὐφροσύνης· αὐτός ἐστιν ὁ μαργαρίτης[4] καὶ αὐτός ἐστιν ὁ θησαυρός[5]· αὐτός ἐστιν ἡ σαγήνη[6] καὶ αὐτός ἐστιν πολεμιστής[7]· αὐτός ἐστι τὸ ὅπλον καὶ αὐτός ἐστιν ὁ νικῶν[8]· αὐτός ἐστιν ἡ περιτομὴ[9] καὶ αὐτός ἐστι τὸ σάββατον καὶ ὁ νόμος[10]· αὐτός ἐστιν ἡ κεφαλὴ τῆς ἐκκλησίας[11] τῶν ἁγίων καὶ αὐτός ἐστιν ὁ τοῦ σινάπεως κόκκος[12]· αὐτός ἐστιν ὁ ἀμπελὼν[13] καὶ αὐτός ἐστιν τὸ ἄροτρον· αὐτός ἐστιν ἡ χάρις καὶ αὐτός ἐστιν ἡ πίστις· αὐτός ἐστιν ὁ γάμος καὶ αὐτός ἐστι τὸ ἔνδυμα τοῦ γάμου[14]· αὐτός ἐστιν ἡ ὁδὸς[15] καὶ αὐτός ἐστιν ἡ θύρα[16]· αὐτός ἐστιν ὁ ἥλιος τῆς δικαιοσύνης[17] καὶ αὐτός ἐστι τὸ φῶς[18] τῶν ψυχῶν· αὐτός ἐστιν ἡ ζωὴ[19] καὶ αὐτός ἐστιν ἡ βασιλεία· αὐτός ἐστιν ἡ ἀρχὴ καὶ αὐτός ἐστι τὸ τέλος· αὐτός ἐστιν ὁ πάντων ἐπέκεινα καὶ αὐτός ἐστιν ὁ τὰ πάντα ἐν πᾶσι γινόμενος[20]. Τοῦτο τὸ ἱερὸν καὶ θεῖον γέννημα ἐγεννήθη ἡμῖν ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἡ σωτηρία καὶ ἡ ζωὴ τῶν ψυχῶν ἡμῶν· δόξα τῇ μεγαλειότητι αὐτοῦ· δόξα τῇ φιλανθρωπίᾳ· δόξα τῇ ἀνεικάστῳ προνοίᾳ αὐτοῦ περὶ τὸ γένος ἡμῶν. Παρακαλέσωμεν οὖν καὶ ἡμεῖς καὶ πιστεύσωμεν δέξασθαι αὐτόν, ἵνα καὶ ἡμεῖς εὑρόντες αὐτὸν ἀπολαύσωμεν αὐτοῦ, τοσούτων ἀγαθῶν γινομένων ἐν ἡμῖν βουλήσει Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος, εἰς τοὺς αἰῶνας· ἀμήν.

ΟΜΙΛΙΑ ΝΓ'

29 Α'. Ὁ βουλόμενος Θεῷ εὐαρεστῆσαι καὶ υἱὸς Θεοῦ γενέσθαι καταξιωθῆναι πρὸ πάντων τῆς μακροθυμίας δραξάμενος ὀφείλει εὐχαριστεῖν ἐν ταῖς ἀπαντώσαις θλίψεσι διαφόροις, στενοχωρίαις τε καὶ ἀνάγκαις· λέγω δὴ νοσημάτων καὶ παθῶν, ἤτοι πνευματικῶν θλίψεων τῶν ἐπαγομένων ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων, ἤτοι ζημιῶν σωματικῶν ἀδοξιῶν τε καὶ ὕβρεων ὑπὸ ἀνθρώπων ἐπαγομένων· ἅπερ πάντα ἐμπόδια τυγχάνει, τοῦ τῆς βασιλείας ἀλλοτριῶσαι καὶ μὴ προσεγγίσαι τὴν ψυχὴν τῷ Θεῷ. Ἐν τούτοις τοίνυν πᾶσι τοῖς ἀπαντῶσιν ὁ βουλόμενος εὐδοκιμῆσαι παρὰ Χριστῷ ὀφείλει χαίρειν, ἥδεσθαι καὶ ἀγαλλιᾶν καὶ τῇ πρὸς Θεὸν ὁρμῇ ζέειν, καὶ τῇ προαιρέσει πρὸς αὐτὸν σπεύδειν καὶ ὅτε μᾶλλον ἐν τοῖς τοιούτοις ἐμποδισθῇ, ἀναπαύεσθαι καὶ γενναίως ὑπερπηδᾶν[1] πᾶσαν θλῖψιν τῇ πρὸς Κύριον ἀγάπῃ· εἰ δὲ μὴ οὕτως δια-

---

1. Πρβλ. Ἰω. 6,51. 2. Πρβλ. Ἀποκ. 21,6. 3. Ἰω. 15,1. 4. Πρβλ. Ματθ. 13,45. 5. Πρβλ. Ματθ. 13,44. 6. Πρβλ. Ματθ. 13,47. 7. Πρβλ. Σ. Σολ. 18,15. 8. Πρβλ. Ἰω. 16,33. 9. Πρβλ. Ρωμ. 4,12. 10. Πρβλ. Ματθ. 7,12. 11. Πρβλ. Ἐφ. 5,23. 12. Πρβλ. Ματθ. 13,31. 13. Πρβλ. Ἰω. 15,1. 14. Πρβλ. Ματθ. 22,11. 15. Πρβλ. Ἰω. 14,4. 16. Πρβλ. Ἰω. 10,7. 17. Πρβλ. Μαλ. 3,20. 18. Πρβλ. Ἰω. 8,12. 19. Πρβλ. Ἰω. 14,6. 20. Πρβλ. Α' Κορ. 9,28.

κεῖται μήτε οὕτως ἑαυτὸν εὐτρεπίζει, ὀδυνᾶται καὶ στενοχωρεῖται μὴ ἀνδριζόμενος· ὁ τοιοῦτος ζωῆς οὐ γίνεται τέκνον, ἐπειδὴ μὴ γέγονε μιμητὴς καὶ ἀκόλουθος πάντων τῶν ἁγίων μήτε τοῖς ἴχνεσι[1] τοῦ Κυρίου ἀκολουθεῖ.

Β'. Κατανόησον γὰρ ὡς συνετὸς καὶ βλέπε πῶς ἐξ ἀρχῆς οἱ πατέρες, οἱ πατριάρχαι, οἱ προφῆται, οἱ ἀπόστολοι, οἱ μάρτυρες καὶ πάντες οἱ τῆς ζωῆς υἱοὶ ἐν ταῖς θλίψεσιν ἔχαιρον καὶ ἐν ταῖς στενοχωρίαις καὶ ἀνάγκαις ἥδοντο· καὶ ἡ ἀνάπαυσις αὐτῶν ἦν ἐν ταῖς κακουχίαις καὶ τοῖς πόνοις. Μᾶλλον γάρ, φησί, ἑλόμενοι συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν[2]· καὶ πάλιν· Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρει καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ' ἐσχάτων σου· πᾶν ὃ ἐὰν ἐπενεχθῇ σοι δέξαι ἀσμένως, ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως· πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σοι καὶ τὰ ἑξῆς[3]· καὶ ἀλλαχοῦ· Τὰ ἐπιφερόμενά σοι πάντα ὡς ἀγαθὰ προσδέχου· εἰδὼς ὅτι ἄτερ Θεοῦ οὐδὲν γίνεται[4]. Ὁ δὲ μακάριος ἀπόστολος ἐντελέστερον ἐπάγει λέγων· Ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς[5], ἐν **30** διωγμοῖς· καὶ ὁ Κύριος· Μακάριοι, φησίν, ἐστέ, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ τὰ ἑξῆς[6]· εἰ τοίνυν τῶν τοιούτων υἱὸς καὶ κληρονόμος[7] γενέσθαι βούλει, τὴν μίμησιν τῆς ἀναστροφῆς[8] αὐτῶν καὶ πολιτείας ὀφείλεις ἀναδέξασθαι καὶ τῶν τοῦ Κυρίου λόγων ἀκόλουθος εἶναι καὶ ποιητής· Στενὴ γάρ ἐστι καὶ τεθλιμμένη ἡ ἀπάγουσα εἰς τὴν ζωὴν ὁδὸς καὶ ὀλίγοι εἰσὶν οἱ διερχόμενοι δι' αὐτῆς[9]. Εἴτε οὖν ἐν στενοχωρίαις ἢ ἐν πάθεσιν ἢ ἐν νόσοις ἢ ἐν ὀνειδισμοῖς ἢ ἐν ὕβρεσιν ἐξετασθῇς μᾶλλον ἐν τούτοις ὀφείλεις ἀγαλλιᾶσθαι καὶ χαίρειν[10]· Οὐαὶ γάρ, φησί, τοῖς τρυφῶσι καὶ τοῖς ἐμπεπλησμένοις[11] καὶ τοῖς ἐν ἐπιγείοις μακαριζομένοις· ὁ γὰρ μακαρισμὸς τοῖς πενθοῦσι[12] καὶ θλιβομένοις διὰ τὸν Κύριον ἡτοίμασται· ὀφείλει τοίνυν ὁ τὴν ζωὴν τὴν αἰώνιον ἐπιθυμῶν ζῆσαι ἐν πᾶσιν εὐχαριστεῖν καὶ τὰς θλίψεις καὶ τὰς στενοχωρίας ἀποδέχεσθαι καὶ τὴν ταπείνωσιν ἀγαπᾶν.

Γ'. Οὐ γὰρ μόνον γονάτων χρεία παρὰ Θεῷ, ὅπως εἰς πᾶσαν ἡμέραν ἐν τῇ εὐχῇ καρτερῇ τις. Καλὸν μὲν ἐπιτήδευμα τοῦτο, καλὸν ἀληθῶς τὸ εὔχεσθαι καὶ ἀδιαλείπτως[13] προσκαρτερεῖν τῇ εὐχῇ. Κεφαλὴ γάρ ἐστι πάντων τῶν ἐπιτηδευμάτων, ἀλλὰ τῶν λοιπῶν ἄνευ τῆς ἀρετῆς μελῶν νεκρά ἐστιν. Εὐχαὶ γὰρ ταῖς εὐποιΐαις εὐπρόσδεκτοι γίγνονται· ἵνα τις μὴ μισῇ τὸν ἀδελφόν· μὴ κατά τινος λαλεῖν· ταπεινὸν εἶναι

---

1. Πρβλ. Α' Πέτρ. 2,21. 2. Ἑβρ. 11,25. 3. Σ. Σειρ. 2,1-6. 4. Πρβλ. Ἰω. 15,5. 5. Β' Κορ. 6,4. 6. Ματθ. 5,11. 7. Πρβλ. Γαλ. 4,7. 8. Πρβλ. Α' Τιμ. 4,12. 9. Ματθ. 7,14. 10. Πρβλ. Ματθ. 5,12. 11. Πρβλ. Λουκ. 6,25. 12. Πρβλ. Ματθ. 5,4. 13. Πρβλ. Α' Τιμ. 5,17.

καὶ μὴ ὑψηλοφρονεῖν[1]· μὴ οἴεσθαι ἑαυτὸν εἶναί τι, κἂν πάσας τὰς δικαιοσύνας ποιήσῃ. Ζητούμενος γὰρ ὁ Κύριος οὕτως εἰλικρινῶς καὶ ὁσίως εὐθέως παραγίγνεται· μὴ ζητούμενος δὲ οὕτως, ὡς ἐν ὕπνῳ ἑκὼν εἶναι λελόγισται καὶ ἡ εὐχὴ ἐπιπόλαιος οὖσα, οὐδὲν λελόγισται παρὰ θεῷ.

Δ΄. Διὰ τί γὰρ ὁ Κύριος οὐκ ἀποκαλύπτεται ἡμῖν ἐν τάχει ζητούμενος ὑφ' ἡμῶν; Ὅτι οὐ βούλεται; Μὴ γένοιτο. Πάντας γὰρ ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν[2]· καὶ πᾶσα σπουδὴ καὶ κάματος τῶν πατέρων διὰ τοῦτο γέγονε καὶ αὐτοῦ τοῦ Κυρίου, εἰς τὸ τὸν Θεὸν τοῖς ἀνθρώποις γνωρισθῆναι, τουτέστι χάριτος ἐνέργεια, ἥτις ἐστὶ ζωὴ αἰώνιος, ἀλλὰ πάντως ἔστι τι ἴδιον τῆς ψυχῆς ἐν μέσῳ πλημμέλημα καὶ διὰ τοῦτο οὐδέπω γνωρίζει καὶ ἀποκαλύπτει ἡμῖν ἑαυτὸν ὁ Κύριος· οὐ γὰρ ἐστι προσωπολήπτης ὁ Θεός[3], ἀλλὰ προσέχει ταῖς ἐνθυμήσεσι καὶ ἐννοίαις τῶν ζητούντων. Διὰ τὴν ἡμετέραν τοίνυν χαυνότητα καὶ ἀμέλειαν ἢ ἀπιστίαν ἢ ἕτερά τινα παραπτώματα ἅπερ οὐκ ἴσμεν μὴ λεπτῶς ἑαυτοὺς διακρίνοντες[4], οὐ γνωρίζεται ἡμῖν ὁ Κύριος, ὁ εἰπὼν **31** ἐμφανίζειν ἑαυτὸν τοῖς ὁσίως αὐτὸν ζητοῦσι καὶ τὰς ἐντολὰς αὐτοῦ φυλάττουσι· γέγραπται γάρ· Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσατε καὶ ἐλευσόμεθα ἐγὼ καὶ ὁ πατήρ μου καὶ μονὴν παρ' ὑμῖν ποιήσομεν[5]. Σπουδάσωμεν τοίνυν ἑαυτοὺς ἀνακρίνειν[6] πάντοτε καὶ διερευνᾶν τὰς καρδίας ἡμῶν, ὅπως γνωρίσωμεν τὰ ἑαυτῶν σφάλματα, πιστεύοντες τῷ ἐλευθερωτῇ τῶν ψυχῶν ἡμῶν Χριστῷ λυτρωθῆναι ἀπὸ παντὸς παραπτώματος φαινομένου καὶ κρυπτοῦ καὶ ὅτε ἐν ἀληθείᾳ δικαίως καὶ ὁσίως ζητήσωμεν αὐτόν, ἑτοίμως ἐμφανίζει ἡμῖν ἑαυτὸν κατὰ τὴν ἐπαγγελίαν αὐτοῦ, καθαρίζων τὰς ἐρρυπωμένας καρδίας ἡμῶν ἀπὸ πάσης κακίας καὶ μολυσμοῦ[7].

Ε΄. Πρὸ πάντων τοίνυν τὰς θλίψεις καὶ στενοχωρίας καὶ ὕβρεις αἱρεῖσθαι ὀφείλομεν, οἱ εὐαρεστεῖν Θεῷ βουλομένοι, ὅπως σὺν αὐτῷ ζῆσαι καταξιωθῶμεν ὅλους αἰῶνας· τίς γάρ ἐστιν ἄξιος διὰ τὸν Κύριον πεινᾶσαι καὶ γυμνητεῦσαι καὶ ἐν τούτοις χαίρειν; Μακάριος ὁ τοιοῦτος, ὄντως μακάριος ὅτι παρρησίαν μεγάλην ἔμπροσθεν τοῦ Θεοῦ κέκτηται· βούλεται γάρ σε ὁ Κύριος ἐν τούτοις δοκιμασθῆναι, εἰ ἐν ταῖς θλίψεσιν οὐκ ἐπιλανθάνῃ αὐτοῦ· Εἰς πᾶσαν γάρ, φησίν, ὑπομονὴν καὶ μακροθυμίαν μετὰ χαρᾶς[8] καὶ ἀλλαχοῦ· θλίψεις καὶ ἀνάγκαι εὕροσάν με, αἱ ἐντολαί σου μελέτη μου[9]· αὕτη ἐστὶν ἡ ἄθλησις· ἐν τούτῳ εὐαρεστεῖται ὁ Θεός[10].

Ϛ΄. Οἱ πλεῖστοι δὲ τῶν ἀνθρώπων τῶν μὴ θελόντων εὐαρεστεῖν τῷ θεῷ διὰ ὑστέρησιν γνώσεως ἀληθοῦς σαρκὶ μόνον κάμνουσιν· ἀλλὰ τῇ διανοίᾳ καὶ τοῖς λογισμοῖς καὶ τῇ ἔνδον κρυπτῇ προαιρέσει δεῖ ἀγωνί-

---

1. Πρβλ. Α' Τιμ. 6,17. 2. Α' Τιμ. 2,4. 3. Πράξ. 10,34. 4. Πρβλ. Α' Κορ. 11,31. 5. Πρβλ. Ἰω. 14,23. 6. Πρβλ. Α' Κορ. 11,31. 7. Πρβλ. Β' Κορ. 7,1. 8. Κολ. 1,11. 9. Ψαλ. 118,143. 10. Πρβλ. Ἑβρ. 13,16.

ζεσθαι τὸν τοῦ θεοῦ ἄνθρωπον, ὅς ἐστιν ἀληθινὸς ἀγὼν παρὰ Θεῷ ψυχῆς πρὸς ἀοράτους τῶν πονηρῶν δυνάμεων διαλογισμούς. Οὐκ ἔστι γάρ, φησίν, ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα ἀλλὰ πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας[1]. Τὰ γὰρ πνευματικὰ τῆς πονηρίας[2] ἀόρατα καὶ ἀσώματα ὅσον πρὸς τὰ φαινόμενα τυγχάνουσιν· ὁμοίως καὶ ἡ ψυχὴ ἀόρατος καὶ ἀσώματος ὅσον πρὸς παχύτητα σωμάτων. Ἀόρατον τοίνυν καὶ ἀσώματον τὸν ἀγῶνα καὶ τὴν ἄθλησιν εἶναι δεῖ ἐν τῷ ἐνδοτάτῳ ἀνθρώπῳ. Ὅνπερ ἀγῶνα οἱ ἄνωθεν ἐξ ἀρχῆς πατέρες ἠγωνίσαντο, κἂν ἐν τοῖς φαινομένοις ὡς οἱ λοιποὶ ἐφαίνοντο ἄνθρωποι· οἱ οὕτως ἀγωνισάμενοι, εὐαρεστῆσαι[3] τῷ Θεῷ ἠδυνήθησαν.

Ζ΄. Ἀνδρεῖαι γὰρ καὶ γενναῖαι ψυχαὶ καὶ πάντων καταφρονοῦσαι ἀπέρχονται εἰς πόλεμον, καθὼς καὶ Μωϋσῆς περὶ τοῦ κρυπτοῦ τῶν πονηρῶν πνευμάτων πρὸς τὴν ψυχὴν πολέμου αἰνιττόμενος, καὶ οἷαι
32 ψυχαὶ ἐπιτήδειοι τυγχάνουσιν, ἔφη· Εἴ τις ἡρμόσατο γυναῖκα[4], μὴ ἐξέλθῃ εἰς πόλεμον καὶ εἴ τις ἐφύτευσεν ἀμπελῶνα[5], μὴ ἐξέλθῃ. Ταῦτα περὶ δεσμῶν ὑλικῶν λέγει μήποτέ τις πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἀθλῶν ἔν τισι πράγμασι δέδηται, ἐὰν γὰρ διὰ τὴν πρὸς τὰς ἡδονὰς καὶ τὰ κτήματα προσπάθειαν μὴ ἀθλήσῃ, ἀπόβλητος τῆς ἐπουρανίου εὐφροσύνης γίνεται, ὡς ἐν τῷ εὐαγγελίῳ ὁ Κύριος περὶ τῶν ἐν τοῖς γάμοις κληθέντων καὶ παραιτησαμένων φησί· Ὁ πρῶτος λέγει, ἀγρὸν ἠγόρασα, καὶ οὐ δύναμαι ἐλθεῖν· καὶ ὁ ἄλλος, γυναῖκα ἔγημα καὶ οὐ δύναμαι ἐλθεῖν, ἐρωτῶ σε ἔχε με παρῃτημένον[6]· συμφώνως τῷ Μωυσῇ λέγων.

Η΄. Γενναῖοι γὰρ καὶ ἕτοιμοι ὑπακούειν τῷ θελήματι τοῦ Θεοῦ ἐν τῷ πνευματικῷ πολέμῳ προχωροῦσιν· ἑτοιμασία δὲ καλὴ καὶ ἐπιτηδειότης πρὸς τὸν κατὰ τῶν ἀοράτων ἐχθρῶν πόλεμόν ἐστιν ὅταν τις καταλιπὼν πατέρα καὶ μητέρα[7] καὶ πάντα τὰ τοῦ βίου προσαγάγῃ ἑαυτὸν τῷ Θεῷ καὶ πρὸς τούτοις ἔτι καὶ τὴν ἑαυτοῦ ψυχὴν ἀρνήσηται, ἐπιδιδοὺς ὅσα κέκτηται καὶ διαφέρει αὐτῷ ἐκ τῶν σαρκικῶν γονέων χρήματα καὶ πάντα ᾧ καὶ τὴν ψυχὴν μετὰ Θεὸν ἐνεπίστευσε πνευματικῷ πατρὶ καὶ ἀσκητῇ, ὥστε διοικεῖν αὐτὰ καθ' ὃν αὐτὸς βούλεται τρόπον καὶ μὴ πολυπραγμονεῖν ὅπου χρὴ καὶ ὅπου οὐ χρή, ἵνα μὴ εὑρεθῇ κρίνων καὶ δοκιμάζων, ὃν ᾑρετίσατο κριτὴν καὶ διοικητὴν τῆς ψυχῆς αὐτοῦ, ὡς ἐμπείρῳ ταύτην ἐγχειρίσας προσαγαγεῖν τῷ Θεῷ καὶ διὰ τὰ εὐτελῆ τῆς ὕλης ἀποδοκιμάζων αὐτόν· δείκνυται γὰρ διὰ τούτων ἀσκητὴς μᾶλλον αὐτὸς ἢ τοῦ ἀσκητοῦ ὑποχείριος διὰ τὸν Θεόν.

Θ΄. Λέγε μοι γὰρ σὺ ὁ τοῦτο ποιῶν· τὴν ψυχὴν σεαυτοῦ ἐγχειρίσαι λέγεις τῷ ἀσκητῇ καὶ προσπίπτων αὐτοῦ τοῖς ποσὶ δέῃ, λέγων· Λάβε

---

1. Ἐφ. 6,12. 2. Ἔνθ' ἀν. 3. Πρβλ. Ἑβρ. 11,6. 4. Πρβλ. Δευτ. 20,7. 5. Πρβλ. Δευτ. 20,6. 6. Πρβλ. Λουκ. 14,18-19. 7. Πρβλ. Ματθ. 19,29.

μου τὴν ψυχὴν καὶ προσάγαγε τῷ Θεῷ, εἰδὼς ὅτι οὐκ ἀνθρώπῳ, ἀλλὰ τῷ Θεῷ τοῦτο ποιεῖς τῷ εἰπόντι· Ὁ ὑμῶν ἀκούων ἐμοῦ ἀκούει[1] καὶ ψευδόμενος καὶ ἀποστερῶν ἃ προσήγαγες τῷ Θεῷ οὐ δοκεῖς ἁμαρτάνειν; Ἢ δοκεῖς μὴ εἶναι ἁμαρτίαν, τὰ δοθέντα τῷ Θεῷ πάλιν ἀφαιρεῖσθαι; Πῶς δὲ ἀφαιρεῖς μάθε· ὅτι τῆς μὲν ψυχῆς σου ἀξιόπιστον ποιεῖς τὸν ἀσκητὴν ἱερέα ταύτην διδοὺς προσάγειν Θεῷ, περὶ δὲ τῶν ψυχρῶν καὶ οἰκτρῶν καὶ ταλαιπώρων πραγμάτων τῆς ὕλης τοῦ κόσμου τούτου κρίνεις αὐτὸν καὶ δοκιμάζεις. Πῶς οὖν οὐ δοκεῖς ἁμαρτάνειν ἁμαρτίαν οὐ τὴν τυχοῦσαν ἀλλ' αὐτὴν τὴν ἱεροσυλίαν, ἧς τὸ κρῖμα δείκνυσιν ὁ μακάριος Πέτρος ἐν ταῖς Πράξεσιν, ὅτε Ἀνανίαν καὶ Σάπφειραν ἐξελέγξας ὡς νοσφισα**33**μένους ἀπὸ τῆς τιμῆς τοῦ χωρίου, ὃ προσενέγκαντες ἐκελεύσθησαν πωλῆσαι, ὥστε εἰς διακονίαν τῶν ἀδελφῶν προχωρῆσαι, θανάτῳ τούτους πικρῷ κατεδίκασε καὶ φόβον μέγαν ἐνεποίησε πάσῃ τῇ ἐκκλησίᾳ[2]. Ἀλλ' ἐρεῖς· Οὐκ ἀφαιροῦμαι τὴν ὑποταγήν, ἀλλὰ δεόντως οἰκονομηθῆναι καὶ καλῶς προνοοῦμαι. Μάλιστα μὲν οὐδὲ δοκιμαστήν σε εἶναι τῶν μηκέτι ἀνηκόντων ὁ λόγος συγχωρεῖ, οὐ γὰρ ἐπίστασαι τὸ δέον ἢ μὴ δέον, ἐλέγχῃ δὲ ἀφαιρούμενος καὶ τὴν ἀποταγήν· ἐλέγχῃ πρὸς τούτοις καὶ ψευδόμενος ἐν τῷ λέγειν· Οὐκ ἀφαιροῦμαι.

Ι'. Λέγε γάρ μοι· οὐχὶ τὴν ψυχὴν ἔπειτα καὶ τὰ χρήματα ἔδωκας διὰ τῶν χειρῶν τοῦ ἀσκητοῦ τῷ Θεῷ; Οὐκοῦν οὐκέτι ἐν ἐξουσίᾳ σου ἐστὶ ταῦτα, ἀποταγὴ δέ ἐστι βεβαία καὶ ἀληθής, ψυχῆς μὲν ὅταν καθ' ὅλου τὰ ἴδια θελήματα μὴ ἐπιτελῇ, ἀλλά, καθάπερ ὕλη τεχνίτῃ, οὕτως ὑποθῇ τὰς αἰσθήσεις ἑαυτοῦ πάσας, ᾧ τὴν ψυχὴν παρέθετο μετὰ τὸν Θεόν, ἀτενὲς ἔχων τὸ ὄμμα πρὸς τὰ ὑπ' αὐτοῦ κελευόμενα. Καὶ ὡς ὕλη οὐκ ἀντερεῖ τῷ τεχνίτῃ ἔντιμον βουλομένῳ ποιῆσαι σκεῦος καὶ οὐκ ἄτιμον, ἄψυχος γὰρ ἅπαξ ὕλη καὶ ἀναίσθητός ἐστιν, οὕτως εἶναι καί σε ὁ λόγος ἀπαιτεῖ. Ὡς γὰρ ἐμπείρῳ τὴν ψυχὴν παραθέμενον καὶ οὐκ ὄντα ἑαυτοῦ αὐτὸς ἀγέτω σε καὶ φερέτω ὅπου βούλεται καὶ ὡς βούλεται. Εἰ δὲ περὶ ψυχῆς εἴρηται τοῦτο, πῶς περὶ τῶν γηΐνων σου καὶ φθαρτῶν κτημάτων, οἷς ἀποτάξασθαι λέγεις, ἀναισθητεῖν σε χρή;

ΙΑ'. Εἰ δὲ καταζητεῖς καὶ διατάσσῃ τῷ ἀσκητῇ, ὅρα πόσα δοκεῖς ἁμαρτάνειν· πρῶτον μέν, ἱεροσυλίαν ἐπισπώμενος κρῖμα, τοῖς θελήμασιν ἀποταξάμενος καὶ ἐπαναλαμβάνων αὐτά· δεύτερον, ὃν ᾑρετίσω, κριτὴν τῶν ὑπὸ σοῦ πραττομένων κατακρίνων· τρίτον, αὐθαδείας καὶ φιλαυτίας ἢ καὶ φιλαρχίας φέρειν νόσον· τέταρτον δέ, τοὺς πρώτους καὶ οὓς δοξάζειν ὤφειλες ἀδελφοὺς καταισχύνων ὡς πένητας καὶ μηδενὶ ἀποταξαμένους καὶ ὑποκύπτειν αὐτοὺς τῇ σῇ δυναστείᾳ βουλόμενος, ὅτι ἐσθῆτα καὶ σκεύη ἐν οἷς διακονοῦνται αὐτὸς παρέσχες· καὶ ὅθεν ἂν περιστραφῇς ἐν τῇ μονῇ, τὰ πάντα σὰ ὁρῶνται καὶ λογίζῃ ὡς πρὸ ἐμοῦ ταπεινότατος καὶ πτωχὸς ὑπῆρχεν ὁ

1. Λουκ. 10,16. 2. Πρβλ. Πράξ. 5,1 ἑξ.

ἀσκητής, ἐπ' ἐμοὶ δὲ καὶ διὰ τῶν ἐμῶν μικρὸν ἐπῆρε τὴν κεφαλὴν καὶ παρὰ τοῖς ἐπιδημοῦσι φίλοις διὰ τῶν ἐμῶν λαμπρὸς φανεὶς ὑπόληψιν εὗρε μεγάλην· πρὸ γὰρ τούτου, ἐσθὴς αὐτῷ εὐτελής, νῦν δὲ λαμπρά, δι' ἧς καὶ δεδόξασται. Καὶ ὅρα ὡς ἀναίσθητος **34** ἴσον ἔχειν με τῶν λοιπῶν βούλεται, καὶ διὰ τοῦτο περιτρέψαι καὶ τὸν ἀσκητὴν τὸ δίκαιον κρῖμα βιάζεται, ὥστε ὑποκρινάμενον τῇ βίᾳ ταύτῃ ἄρχοντα πάσης αὐτὸν χειροτονῆσαι τῆς ἀδελφότητος. Εἰ δὲ εἰδὼς εἴη καὶ γράμματα καὶ εἰς θρόνον αὐτὸν διδασκάλου καθέζεσθαι, εἶτα εὐλογεῖν τοὺς ἑαυτοῦ πατέρας ἄξιον ἑαυτὸν πεπίστευκεν, ὃς οὐδ' ἄκροις χείλεσι τῆς ἀσκήσεως ἐγεύσατο, τοὺς παντοίαις ἀσκήσεσι τῶν ἀρετῶν ἐναθλήσαντας, εἶτα καὶ τέλεον ἀποκινῆσαι τὸν ἀσκητὴν τῆς ἀρχῆς ἠβουλήθη τάχα· καὶ οἴεται ἐπὶ τούτοις πᾶσι μηδὲν παρατρέψαι μήτε ὑφελέσθαι, ὅτι τὰ χρήματα εἰς ἀνόπιν οὐκ εἴληφεν, οὕτως κακῶς καὶ ἀτόπως ἐν τῷ τὴν ψυχὴν ἆραι τῶν χειρῶν τοῦ ἀσκητοῦ διανοηθείς. Καὶ πόσῳ βέλτιον ἦν, εἰ τὰ χρήματα εἰληφὼς συντόμως ᾤχετο· σύντομος γὰρ ἀπαλλαγὴ ζημίας κερδαλεωτέρα παντὸς εὑρήματος ὑλικοῦ· ἀπηλλάγη γὰρ ἂν αὐτὸς περισσοτέρου τῶν ἀπηριθμημένων κακῶν διὰ τῆς τοιαύτης ἀποταγῆς κρίματος, τόν τε ἀσκητὴν ἀπήλλαξεν ἂν ὁμοῦ τῇ ἀδελφότητι κόπου καὶ πλημμελημάτων πλειόνων.

ΙΒʹ. Ἀλλὰ σύ γε, ὦ ἀθλητὰ εὐσεβείας καὶ ἀσκητά, εἰ βούλοιο ταύτην διαπλεῦσαι τὴν μεγάλην καὶ εὐρύχωρον θάλασσαν, διὰ τὸ ἀχανὲς ἐν μέσῳ καὶ ἄφατον πέλαγος, προκόψας ἀπὸ γῆς ἤδη καλῶς καὶ τῆς ὕλης ἀποσπάσας τὴν ναῦν, μὴ πάλιν εἰς γῆν ὁδηγοῦ, ζητῶν ἐπιστρέφειν, ἀλλὰ πρὸς οὐρανὸν ἀτενὲς ἔχε τὸ ὄμμα. Εὑρήσεις γὰρ ἀστέρας εἰς ὃν ἐγώ σέ φημι οὐρανὸν ἀφορᾶν, ὧν τὰ ὀνόματα καὶ τὸν ἀριθμὸν ὁ οὐράνιος ἐπίσταται κυβερνήτης. Εὑρήσεις ἐν αὐτῷ τοὺς φωστῆρας ἅπαντας, πατέρας, πατριάρχας, προφήτας, ἀποστόλους καὶ μάρτυρας, φωστῆρας ἀληθῶς ἀπλανεῖς, τὴν ἀφεγγῆ τοῦ βίου καταυγάζοντας νύκτα· πρὸς οὓς ἀποβλέπων ἀσφαλῶς ὁδηγήσεις τὴν τῆς εὐσεβείας ναῦν ἐπὶ λιμένα τῆς ἀναπαύσεως, Ἱερουσαλὴμ τὴν ἐπουράνιον, πάντα καταλελοιπὼς κατὰ μίμησιν αὐτῶν καὶ πρὸς μηδὲν αὐτῶν ἐπιστρεφόμενος.

ΙΓʹ. Οἱ γὰρ ἐνδιατρίβοντες τοῖς χείροσι πλείους, σπάνιοι δὲ οἱ τῆς εὐσεβείας ἐργάται. Σοῦ δὲ ἡ τῆς ἐπιπόνου ἀποταγῆς πρόθεσις οὐχὶ μετὰ τῶν πολλῶν γέγονε τῆς πλατείας, ἀλλὰ τῶν διὰ τῆς στενῆς καὶ τεθλιμμένης[1] εἰς τὴν αἰώνιον ζωὴν εἰσελθεῖν βιαζομένων καὶ ὀφείλεις ἄληστον ἔχειν ἐν τῷ νῷ τὸ ἐπάγγελμα καὶ οὕτω δυνήσῃ πάσας τὰς **35** θλίψεις φέρειν γενναίως. Οὐ γὰρ οἱ τυχόντες, ἀλλὰ γενναῖοι καὶ ἕτοιμοι τῷ θελήματι τοῦ Θεοῦ ὑπακούειν, τὴν στενὴν διαπορεύονται καὶ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἀδιάλειπτον ἔχουσι πό-

---

1. Πρβλ. Ματθ. 7,14.

λεμον, οἵτινες δικαίως τὴν βασιλείαν κληρονομοῦσιν ὡς ἐκλεκτοὶ στρατιῶται τοῦ Θεοῦ.

ΙΔ'. Καὶ ἑτέρως δὲ ὁ τοῦ Θεοῦ θεράπων Μωυσῆς αἰνιττόμενος τὰ διχηλοῦντα καὶ μηρυκώμενα τετράποδα καθαρὰ ἔλεγεν εἶναι τὰ δὲ μὴ οὕτως ἔχοντα ἀκάθαρτα[1]· ὅτι οὐ χρὴ ἑνὶ λογισμῷ ἀδιακρίτως ἀκολουθεῖν τὸν τοῦ Θεοῦ ἄνθρωπον συνδιαζῶντα καὶ συνηδόμενον τῷ τῆς κακίας συνόντι πονηρῷ λογισμῷ, ἀλλ' ἑκάστοτε διακρίνοντα ἑαυτὸν διὰ τοῦ λόγου ἀκριβῶς ἔχειν τῆς φύσεως τὸν ἴδιον λογισμὸν ἀνταγωνιστὴν τῶν πονηρῶν τῆς κακίας ἐπιτηδευμάτων, καὶ ἀναμηρυκᾶσθαι καὶ ἐμμελετᾶν καὶ γυμνάζειν τὸν νοῦν εἰς τὰ πιστὰ τῶν ἐντολῶν τοῦ Θεοῦ λόγια, ὅπως ἀεὶ ἐν τούτοις ὁ ἀνταγωνιστὴς καὶ εὐσεβὴς λογισμὸς ἐνδιαιτώμενος δυναμωθῇ κατὰ τῆς συνούσης κακίας, ἕως οὗ ἐνδύσηται τὴν ἐξ ὕψους δύναμιν[2], ἥτις ἐξουσιαστικῶς τὴν συνοῦσαν πονηρίαν ἀνελοῦσα καθαρὸν τὸν τῆς καθαρᾶς φύσεως λογισμὸν ἀναδείξει. Οἱ οὕτως οὖν ἀγωνιζόμενοι καὶ διακρίνοντες[3] ἑαυτοὺς καθαροὶ παρὰ Θεῷ λογίζονται, ἑκουσίων ἁμαρτημάτων ἐκτὸς καθεστῶτες, καὶ τὸ ἑαυτῶν θέλημα, ὅση δύναμις, Θεῷ μόνῳ παραστήσαντες.

ΙΕ'. Ὁ γὰρ γενέσθαι βουλόμενος ἐξ ἀληθείας Χριστιανὸς τὸν πόνον καὶ τὸν ἀγῶνα οὐ σαρκικὸν ὀφείλει κεκτῆσθαι, ἀλλὰ τῷ νῷ αὐτοῖς τοῖς λογισμοῖς. Τοῦτ' ἔστιν ἀεὶ τῇ τῶν ἀγαθῶν καὶ καθαρῶν ἐννοιῶν μελετῇ ὀφείλει ἑαυτόν, ὅση δύναμις, ἐθίζειν καὶ εἰς τὸ δεξιὸν μέρος τὸν νοῦν αὐτοῦ ἐκτείνειν, τὴν ἐπιφοίτησιν τοῦ πνεύματος πᾶσαν ὥραν ἐν πίστει προσδοκῶντα, ὅπως διὰ τοῦ τοιούτου ἀγῶνος τὸν καθαρισμὸν δέξασθαι δυνηθῇ, ἵνα πᾶν ὃ βλέπει ἐν κόσμῳ εἰς οἰκοδομὴν τῆς ψυχῆς λαμβάνῃ καθαρῶς ἐννοούμενος πάντα· οἷον διὰ τοῦ πλούτου καὶ τῶν λοιπῶν τοῦ κόσμου τερπνῶν τὸν ἄνω ἐπουράνιον πλοῦτον ἀληθινὸν ἢ τρυφὴν ἢ δόξαν ἀμάραντον, ὧν εἰσι ταῦτα σκιαί. Ὁ γὰρ κόσμος οὗτος τοῦ ἀληθινοῦ καὶ αἰωνίου εἰκὼν τυγχάνει· πᾶν οὖν ὅπερ ὁ ἄνθρωπος βλέπει ἔνδον ἐν τῇ ψυχῇ ἐπ' ὠφελείᾳ λαμβάνειν ὀφείλει, ἵνα μηδέποτε ἠρεμῇ ὁ νοῦς τῆς ἀπὸ τῶν ἀγαθῶν μελετῆς, ἐπειδὴ ταῦτα μετὰ πολλοῦ ἀγῶνος καὶ **36** ἱδρῶτος καὶ πόνου ψυχῆς δύναται κατορθωθῆναι· τὸ δὲ πᾶν αὐτὸς ὁ θεὸς καταρτίζει ἐν ἀληθείᾳ.

ΙϚ'. Τὸν γὰρ βουλόμενον διαφυγεῖν καὶ ῥυσθῆναι τοῦ πονηροῦ ἀεὶ τοὺς λογισμοὺς αὐλιστήριον καὶ καταφυγὴν εἰς τὸν Κύριον δεῖ κεκτῆσθαι καὶ ἀδιαλείπτως μνήμην Θεοῦ καὶ πεποίθησιν ἔχειν χρὴ καὶ οὕτω δυνήσεταί τις παλαίειν πρὸς τὰ κακὰ τὰ συνέχοντα τὸν ἄνθρωπον, ἤτοι τὰ κακὰ τοῦ κόσμου ἔξωθεν ἤτοι τὰς πονηρὰς δυνάμεις ἔνδοθεν καὶ πάσης συνηθείας καὶ προλήψεως ἀπαλλαγῆναι. Τοῦτον τὸν ἀγῶνα καὶ τὸν σκοπὸν ἔχοντες οἱ πατέρες τοῦ ἐλπίζειν ἐπὶ τὸν Θεὸν ἠδυνήθησαν εὐαρεστῆσαι· κἂν γὰρ ἐν τοῖς φαινομένοις γυναῖκας

---

1. Πρβλ. Λευϊτ. 11,3 ἑξ. 2. Λουκ. 24,49. 3. Πρβλ. Α' Κορ. 11,31.

καὶ τέκνα καὶ χρήματα ἐκέκτηντο, ἀλλ' ὁ νοῦς αὐτῶν ἀνώτερος ἦν τοῦ κόσμου· ὅθεν εἰς δοκιμασίας καὶ πειρατήρια εἰσελθόντες ἠνδραγάθησαν καὶ οὐδὲν ἐλύπει αὐτοὺς ἡ ἀφαίρεσις πάντων τῶν φαινομένων, ἐπειδὴ ἐκέκτηντο τὸ μέγα καὶ ἀληθινὸν κτῆμα, τὴν εἰς Θεὸν πεποίθησιν, ὡς ὁ Ἰὼβ πάσης τῆς φαινομένης ἐλπίδος ἐρημωθεὶς καὶ τὸ σῶμα τραυματισθεὶς ἐνίκησε μόνῃ τῇ πρὸς Θεὸν ἀγάπῃ· ἐκεῖ γὰρ μεταφέρων τὴν ἔννοιαν ἀνώτερος πάντων ἐγίνετο. Οὕτω καὶ ἡμεῖς μεγαλοψύχως πάντα τὰ ἀπαντῶντα καρτερεῖν καὶ ὑπομένειν ὀφείλομεν, τῇ πρὸς Θεὸν ἀγάπῃ τετρωμένοι.

ΙΖ'. Ὥσπερ γὰρ ἐὰν ἔχῃ γυνὴ ἄνδρα καὶ αὐτὸς μὲν ᾖ ἐν δεσμοῖς καὶ θλίψεσιν, ἡ δὲ ἐν τρυφῇ καὶ ἀμεριμνίᾳ διάγῃ, δηλονότι οὐκ ἔστι σώφρων, μὴ τὴν ὀφειλομένην εὔνοιαν τῷ ἀνδρὶ ἀποσῴζουσα, χρὴ γὰρ αὐτῷ συμπάσχειν καὶ συναλγεῖν· οὕτω καὶ ψυχαί, αἱ τῷ ἐπουρανίῳ νυμφίῳ συναφθῆναι ἐπιθυμοῦσαι καὶ συμβασιλεῦσαι, τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν[1] ὀφείλουσι διοδεύειν, ἐν ᾗ καὶ αὐτὸς ὥδευσε τύπον ἑαυτὸν παρέχων ἡμῖν· εἰ δὲ ἐκτρέπονται εἰς ἑτέραν ὁδόν, μὴ βαστάζουσαι τὰ στίγματα[2] καὶ τὰ παθήματα τοῦ Κυρίου, αἱ τοιαῦται ψυχαὶ ὡς πόρναι λογισθήσονται, καὶ ἀπόβλητοι τῆς βασιλείας ἔσονται.

ΙΗ'. Παρακαλέσωμεν οὖν τὸν Θεὸν ἐν πίστει καὶ πληροφορίᾳ, προσδοκῶντες τὸ ἔλεος παρ' αὐτοῦ, ἅτε δὴ ἔχοντες αὐτοῦ τὰς ὁμολογίας ἐγγράφως, ὅτι· Τῷ κρούοντι ἀνοιγήσεται[3] καὶ ὅτι· Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω[4], εἰ γὰρ ἄνθρωποι μυρίαις περισπώμενοι φροντίσι καὶ πειρασμοῖς ἐπισκοτούμενοι. Ὑφ' ὧν καὶ ἀναγκάζονται ψεύδεσθαι ἀφειδῶς, ἐπὰν ἐγγράφους ὁμολογίας ποιήσωνται, κἂν θελήσωσιν ἀγνωμονεῖν οὐ δύνανται, πόσῳ μᾶλλον ὁ ἀψευδὴς Θεὸς εἰς ἡμᾶς πληρώσει τὴν **37** ὁμολογίαν αὐτοῦ, ἤγουν τὴν τοῦ Ἁγίου Πνεύματος χάριν καὶ δωρεὰν[5] ἡμῖν καταπέμπων; Ἀλλ' ἡμεῖς ἐσμὲν ἀληθῶς ψεῦσται, μὴ ζητοῦντες αὐτὸν ὡς προσέταξεν ἐν πίστει ἀδιστάκτῳ. Ἀλλὰ τότε καὶ ἡμεῖς μετὰ πολλῆς παρρησίας αἰτεῖν αὐτὸν δυνησόμεθα, ἐπάν, ὅσον ἡμῖν ἐστι δυνατόν, ὅλους ἑαυτοὺς δῶμεν ἐκδότους τῷ Κυρίῳ, ἀπὸ τῶν ἰδίων θελημάτων ἀναχωροῦντες καὶ μὴ ὡς ἑαυτοῖς ζῶντες, ἀλλ' ὡς ἠγορασμένοι τιμίῳ αἵματι[6], κατὰ τὸ δεσποτικὸν θέλημα ποιοῦντες καὶ οὕτως ἀρνησάμενοι[7] ἑαυτοὺς καὶ ὑποθέντες ἑκουσίως μόνῳ τῷ ἀγοράσαντι ἡμᾶς, ὡς εὐγνώμονες καὶ πιστοὶ δοῦλοι εὑρεθέντες, τὸ τῆς ἐπαγγελίας[8] Ἅγιον Πνεῦμα ἀπολάβωμεν, δοξάζοντες Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα εἰς τοὺς αἰῶνας, ἀμήν.

---

1. Πρβλ. Ματθ. 7,14. 2. Πρβλ. Γαλ. 6,17. 3. Ματθ. 7,8. 4. Β' Κορ. 6,16. 5. Πρβλ. Πράξ. 2,38. 6. Πρβλ. Α' Πέτρ. 1,19. 7. Πρβλ. Τιμ. 2,12. 8. Πρβλ. Πράξ. 2,33.

ΟΜΙΛΙΑ ΝΔ'

38 Α'. Ἐρώτησις. Περὶ τῶν ἐκπιπτόντων ἀδελφῶν ἢ σφαλλομένων ἐν τῷ καθήκοντι βίῳ, τίς ἡ αἰτία τοῦ οὕτως ζῶντας ἁγνοὺς ἐν τῇ ἐρήμῳ, τοὺς μὲν ἀπατηθῆναι τὴν φρένα, τοὺς δὲ περιπαρῆναι τῇ ἀκολασίᾳ;

Ἀπόκρισις. Ταύτην οὖν ἡμῖν ἔδωκε τὴν ἀπόκρισιν Παφνούτιος ὁ γνωστικώτατος· πάντα τὰ γιγνόμενα διήρηται εἰς δύο· εἴς τε εὐδοκίαν Θεοῦ, καὶ εἰς παραχώρησιν· ὅσα μὲν γὰρ ἀγαθὰ καὶ ἐπωφελῆ καὶ κέρδος ψυχαῖς περιποιούμενα, ταῦτα γίνεται εὐδοκίᾳ θεοῦ· ὅσα δὲ πάλιν ἐπιζήμια καὶ ἐπικίνδυνα καὶ περιστατικά, ταῦτα γίγνεται κατὰ Θεοῦ συγχώρησιν· ἡ δὲ συγχώρησις ἐκ λόγου δικαίου, ἀδύνατον γὰρ τὸν ὀρθῶς φρονοῦντα καὶ ὀρθῶς βιοῦντα περιπεσεῖν πταίσματι αἰσχύνης ἢ πλάνῃ δαιμόνων.

Β'. Ὅσοι τοίνυν διεφθαρμένῳ σκοπῷ, νόσῳ ἀνθρωπαρεσκείας καὶ αὐθαδείας λογισμῷ, μετέρχεσθαι δοκοῦσι τὴν ἀρετήν, οὗτοι καὶ σφάλμασι περιπίπτουσι, τοῦ Θεοῦ πρὸς τὸ συμφέρον ἐγκαταλιμπάνοντος αὐτούς, ἵνα διὰ τῆς ἐγκαταλείψεως αἰσθόμενοι τὴν ἐκ τῆς μεταβολῆς ἀλλοίωσιν διορθώσωνται τὴν πρόθεσιν ἢ τὴν πρᾶξιν.

Γ'. Ποτὲ μὲν γὰρ ἡ πρόθεσις ἐξαμαρτάνει ὅταν κακῷ σκοπῷ γίγνηται, ποτὲ δὲ καὶ ἡ πρᾶξις, ὅταν διεφθαρμένως ἢ καθ' ὃν δεῖ τρόπον οὐ γίγνηται· συμβαίνει γὰρ πολλάκις τὸν ἀκόλαστον διεφθαρμένῳ μὲν σκοπῷ ποιεῖν ἐλεημοσύνην ἐπὶ νεωτέρας δι' αἰσχρὸν τέλος, πρᾶξιν δὲ εὔλογον ἐπιδείκνυσθαι, τὸ ὡς ὀρφανῇ ἢ καὶ μόνῃ καὶ ἀσκουμένῃ διδόναι ἐπικουρίαν· συμβαίνει δὲ καὶ σκοπῷ μὲν ὀρθῷ ποιεῖν ἐλεημοσύνην ἐπὶ νοσοῦντας ἢ γεγηρακότας ἢ ἐκπεπτωκότας πλούτου, φειδωλῶς δὲ καὶ μετὰ γογγυσμοῦ καὶ εἶναι τὸν μὲν σκοπὸν ὀρθόν, τὴν δὲ πρᾶξιν τοῦ σκοποῦ ἀναξίαν· δεῖ γὰρ τὸν ἐλεήμονα ἐν ἱλαρότητι[1] ἐλεεῖν καὶ ἐν ἀφειδείᾳ διδόναι.

Δ'. Ἔλεγε δὲ καὶ τοῦτο· ὅτι προτερήματά εἰσιν ἐν πολλαῖς ψυχαῖς· ἐν αἷς μὲν εὐφυΐα διανοίας, ἐν αἷς δὲ τῶν καλῶν ἐπιτηδειότης· ἐὰν οὖν οἱ τὰ προτερήματα κεκτημένοι μὴ ἐπιγράφωσι τῷ Θεῷ ταῦτα τῷ δοτῆρι τῶν ἀγαθῶν, ἀλλὰ τῇ ἰδίᾳ προαιρέσει καὶ εὐφυΐᾳ καὶ ἱκανότητι, οἱ τοι**39**οῦτοι καταλειφθέντες ἢ εἰς αἰσχρουργίαν ἢ αἰσχροπάθειαν ληφθέντες, διὰ τῆς ἐπιγενομένης ταπεινώσεως καὶ αἰσχύνης, ἠρέμα πως τὸν ἐν τῇ νομιζομένῃ ἀρετῇ ἀποτρίβονται τῦφον· ἐπειδὴ γὰρ ὁ πεφυσιωμένος ἐπὶ εὐφυΐᾳ λόγων ἐπαιρόμενος οὐκ ἐπιγράφει τῷ Θεῷ τὴν εὐφυΐαν οὔτε τὴν χορηγίαν τῆς γνώσεως, ἀλλὰ τῇ αὐτοῦ ἀσκήσει καὶ εὐφυΐᾳ, ἀφιστᾷ ὁ Θεὸς τὸν ἄγγελον τῆς προνοίας· οὗ ἀποστάντος καταδυναστευθεὶς ὑπὸ τοῦ ἀντικειμένου ὁ ἐπαιρό-

1. Πρβλ. Ρωμ. 12,8.

μενος ἐπὶ τῇ εὐφυΐᾳ περιπίπτει ἀκολασίᾳ· ἵνα ἡ κτηνώδης καὶ κυνώδης ἀκολασία ἀπελάσῃ τὴν δαιμονιώδη, ἥ ἐστιν ὑπερηφανία, ἵνα τοῦ μάρτυρος τῆς σωφροσύνης ἀφαιρεθέντος, ἀναξιόπιστα γένηται τὰ λεγόμενα παρ' αὐτοῦ· φευγόντων τῶν εὐλαβῶν τὴν ἐκ τοῦ τοιούτου στόματος διδασκαλίαν, καθάπερ πηγὴν βδέλλας ἔχουσαν, ὡς πληροῦσθαι τὸ γεγραμμένον· Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεὸς ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου[1];

Ε'. Ἐοίκασι γὰρ ἀληθῶς αἱ τῶν ἐμπαθῶν ψυχαὶ πηγαῖς διαφόροις· οἱ μὲν γαστρίμαργοι καὶ οἰνόφλυγοι πηγαῖς βορβορώδεσιν· οἱ δὲ φιλάργυροι καὶ πλεονέκται πηγαῖς βατράχους ἐχούσαις· οἱ δὲ ὑπερήφανοι καὶ βάσκανοι, ἐπιτηδειότητα δὲ γνώσεως ἔχοντες, πηγαῖς ὄφεις τρεφούσαις· ἐν αἷς ἐλλιμνάζει ὁ λόγος τῷ μηδένα ἡδέως ἀρύεσθαι ἐξ αὐτῶν διὰ τὴν πικρίαν τοῦ ἤθους. Ὅθεν ὁ Δαβὶδ παρακαλεῖ τρία αὐτῶν, χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν[2]· ἄνευ γὰρ χρηστότητος ἡ γνῶσις ἄχρηστος.

Ϛ'. Καὶ εἰ μὲν διορθώσεται ὁ τοιοῦτος, τὴν αἰτίαν τῆς ἐγκαταλείψεως ἀποθέμενος, τοῦτ' ἔστι τὸν τῦφον, καὶ ἀναλάβηται ταπεινοφροσύνην καὶ ἐπιγνῷ ἑαυτοῦ τὰ μέτρα, μήτε κατά τινος ἐπαιρόμενος καὶ τῷ Θεῷ εὐχαριστῶν, ἐπανέρχεται πάλιν πρὸς αὐτὸν ἡ ἐμμάρτυρος γνῶσις· λόγοι γὰρ πνευματικοὶ βίον σεμνὸν καὶ σώφρονα μὴ ἔχοντες συνιππάζοντα ἀστάχυές εἰσιν ἀνεμόφθοροι, τὸ μὲν σχῆμα ἔχοντες, τὸ δὲ τρόφιμον ὑποκλαπέντες.

Ζ'. Πᾶσα οὖν πτῶσις εἴτε διὰ γλώσσης εἴτε δι' αἰσθήσεως εἴτε διὰ πράξεως εἴτε δι' ὅλου τοῦ σώματος, πρὸς τὴν ἀναλογίαν τῆς ὑπερηφανίας κατ' ἐγκατάλειψιν γίνεται Θεοῦ, φειδομένου τῶν ἐγκαταλιμπανομένων· εἰ γὰρ μετὰ τῆς ὑπερηφανίας καὶ τῇ εὐφυΐᾳ αὐτῶν μαρτυρήσει τῇ χορηγείᾳ τῶν λόγων ὁ Κύριος, δαίμονας αὐτοὺς ἀπεργάσεται ἐπαιρομένους μεγάλα καὶ θρασέα.

Η'. Καὶ ταῦτα δὲ ἔλεγεν ἡμῖν ὁ ἀνήρ· ὅταν ἴδῃς τινὰ βίῳ μὲν χαλεπόν, λόγῳ δὲ πιθανόν, μνημόνευσον τοῦ δαίμονος τοῦ ἐν τῇ ἁγίᾳ Γραφῇ τῷ Χριστῷ ὁμιλοῦντος καὶ τῆς λεγούσης μαρτυρίας, ὅτι· Ὄφις φρονιμώτερος ἦν πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς[3], ᾧ ἡ φρόνησις μᾶλλον εἰς βλάβην γεγένηται, ἄλλης ἀρετῆς αὐτῷ μὴ συνδραμούσης· δεῖ γὰρ τὸν πιστὸν καὶ ἀγαθὸν φρονεῖν μὲν ἃ δίδωσιν ὁ Θεός, λαλεῖν δὲ ἃ φρονεῖ, ποιεῖν δὲ ἃ λαλεῖ· ἐὰν γὰρ τῇ ἀληθείᾳ τῶν λόγων ἡ τοῦ βίου μὴ συντρέχῃ συγγένεια, ἄρτος ἐστὶν ἄνευ ἅλατος κατὰ τὸν Ἰώβ· βρωθήσεται οὖν οὐδαμῶς ἢ βρωθεὶς εἰς καχεξίαν γενήσεται· Εἰ βρωθήσεται γάρ, φησίν, ἄρτος ἄνευ ἁλός· καὶ εἰ ἔστι γεῦσις ἐν ῥήμασι κενοῖς[4], μὴ πεπληρωμένοις τῇ μαρτυρίᾳ τῶν ἔργων;

Θ'. Τῶν οὖν ἐγκαταλείψεων ἡ μέν ἐστι διὰ κεκρυμμένην ἀρετὴν

1. Ψαλ. 49,16. 2. Ψαλ. 118,66. 3. Γεν. 3,1. 4. Ἰὼβ 6,6.

ἵνα φανερωθῇ, ὡς ἡ τοῦ Ἰώβ, τοῦ Θεοῦ χρηματίζοντος καὶ λέγοντος· Μὴ ἀποποιοῦ μου τὸ κρῖμα, μηδὲ οἴου με ἄλλως σοι κεχρηματικέναι, ἀλλ' ἵνα δίκαιος ἀναφανῇς[1]· ἐμοὶ μὲν γὰρ ἧς γνωστὸς τῷ ὁρῶντι τὰ κρυπτά, ἐπειδὴ δὲ ἠγνοοῦ τοῖς ἀνθρώποις ὑπονοοῦσι διὰ πλούτου σε θεραπεύειν με, ἐπήγαγον τὴν περίστασιν, ἐξεθέρισα τὸν πλοῦτον, ἵνα δείξω αὐτοῖς τὴν εὐχάριστόν σου φιλοσοφίαν· ἡ δὲ δι' ἀποτροπὴν ὑπερηφανίας, ὡς ἐπὶ τοῦ Παύλου, ἐγκατελείφθη γὰρ καὶ ὁ μακάριος Παῦλος, ἐν περιστάσεσι καὶ κολαφισμοῖς καὶ διαφόροις θλίψεσι βαλλόμενος, διὸ καὶ ἔλεγεν· Ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι[2]· μήποτε μετὰ τῶν θαυμάτων ἡ ἄνεσις καὶ εὐθηνία καὶ ἡ τιμὴ αὐτῷ προσγενομένη εἰς τῦφον αὐτὸν ἐμβάλλῃ διαβολικὸν χαυνωθέντα· ἐγκατελείφθη καὶ ὁ παράλυτος δι' ἁμαρτίας, ᾧ λέγει Χριστός· Ἰδοὺ ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε[3]· ἐγκατελείφθη καὶ Ἰούδας, προτιμήσας ἀργύριον τοῦ Θεοῦ λόγου, διὸ καὶ ἀπήγξατο[4]· ἐγκατελείφθη καὶ Ἡσαῦ περιπεσὼν ἀκολασίᾳ καὶ προτιμήσας κόπρον πονηρὸν εὐλογίας πατρικῆς[5]. Ὡς πάντα ταῦτα συναισθόμενον τὸν ἀπόστολον εἰπεῖν περί τινων· Ἐπειδὴ γὰρ οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν , ποιεῖν τὰ μὴ καθήκοντα[6]· ἑτέρων δέ τινων μνημονεύσας ἐν ἐπιγνώσει μὲν εἶναι δοκούντων Θεοῦ μετὰ διεφθαρμένης **41** δὲ γνώμης, οὕτω φησίν· Οἵτινες τὸν Θεὸν ἐπιγνόντες, οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ εὐχαρίστησαν, ἀλλ' ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία[7]· ὡς ἐκ τούτου γιγνώσκειν ἡμᾶς ἀδύνατον εἶναι περιπεσεῖν πτώματι τὸν εὐσεβῶς βιοῦντα, εἰ μὴ τῆς τοῦ θεοῦ γυμνωθῇ προνοίας.

Ι'. Ἔλεγε δὲ καὶ τοῦτο· ὅτι νοῦς ἀποστὰς μνήμης Θεοῦ ἢ θυμῷ περιπίπτει ἢ ἐπιθυμίᾳ· καὶ τὴν μὲν ἐπιθυμίαν ἔλεγε κτηνώδη, τὸν δὲ θυμὸν δαιμονιώδη· ἐμοῦ δὲ ἀντιλέγοντος καὶ θαυμάζοντος εἰ δυνήσεται νοῦς ἀνθρώπινος ἀδιαλείπτως εἶναι μετὰ Θεοῦ, ἔλεγεν ὅτι ἐν οἵῳ δ' ἂν νοήματι ἢ πράγματι θεϊκῷ ἡ ψυχὴ εὐσεβεῖ, μετὰ Θεοῦ ἐστιν.

ΙΑ'. Ἔλεγε δὲ καὶ ἄλλος τις τῶν ἁγίων ὅτι πᾶσα ὀρθὴ ψυχὴ μᾶλλον τοὺς λοιδοροῦντας καὶ θλίβοντας ἐπικερδεῖς ἡγεῖται ἢ τοὺς κολακεύοντας καὶ δοξάζοντας· φιλεῖ γάρ πως ἡ ἀκολασία ἡσυχίαν καὶ ὑγείαν καὶ εἰρήνην καὶ εὐθηνίαν· διὸ τοιαύτη οὖσα, ἐν τοῖς λυπηροῖς ὡς βδέλλα συστέλλεται. Δόξα τῷ Θεῷ, ἀμήν.

ΟΜΙΛΙΑ ΝΕ'

42 Α'. Ἰστέον ὅτι τινές εἰσι νεώτεροι φρόνιμοι καὶ συνετοὶ καὶ εὐλαβεῖς καὶ σύνεστιν αὐτοῖς ἡ χάρις· καὶ ἴδε ἄρχονται λαλεῖν λόγον καὶ ὁ λόγος αὐτοῖς καλός ἐστι· καὶ οἱ ἀκούοντες φρόνιμοι ὄντες

---

1. Ἰὼβ 40,8. 2. Β' Κορ. 12,7. 3. Ἰω. 5,14. 4. Πρβλ. Ματθ. 27,5. 5. Πρβλ. Γεν. 25,33-34. 6. Ρωμ. 1,28. 7. Ρωμ. 1,21.

ἄρχονται ἐπαινεῖν καὶ θαυμάζειν καὶ ἐντίμους αὐτοὺς ἔχειν, ἐπειδὴ λαλοῦσι λόγον Θεοῦ· πλὴν τὸ κακὸν ἔτι σύνεστιν αὐτοῖς ἐν τῷ νῷ καὶ ὑποβάλλει τοῦ φιλοδοξεῖν καὶ συνηδύνεσθαι ἐν τοῖς ἐπαίνοις, ἵνα ποιήσῃ αὐτοὺς κενοδοξεῖν.

Β'. Ὃν τρόπον δέ τις ἀποστρέφεται ἐπιθυμίαν σαρκὸς καὶ ἀντιτάσσεται τῷ νῷ, οὕτως ὀφείλει ἐν τῷ νῷ καὶ ἐν τοῖς λογισμοῖς ἀντιτάσσεσθαι τῇ κενοδοξίᾳ· καὶ εἰ ἀπὸ χάριτος λαλεῖ καὶ ἀναγκάζεται ὑπό τινος κηρύσσειν τὸν λόγον, αὐτὸς ὀφείλει ἀηδίζεσθαι καὶ φεύγειν ὡς ἀπὸ πυρὸς καὶ ἀντιτάσσεσθαι τῷ νῷ, ὥστε ἐπέχειν αὐτόν, ἵνα μὴ διὰ τοῦ λόγου αὐτοῦ εὑρεθῇ κενοδοξῶν. Καὶ γὰρ Μωσῆς ὁ θεράπων τοῦ Θεοῦ, ἀναγκαζόμενος λαλεῖν καὶ κηρύσσειν τῷ Ἰσραήλ, παρῃτήσατο λέγων ὅτι· Οὐκ εἰμὶ ἱκανὸς λαλῆσαι[1]. Ὁμοίως καὶ Ἱερεμίας ἠναγκάζετο εἰπεῖν, ἐκαίετο γὰρ ἡ καρδία αὐτοῦ ὡς πῦρ καὶ παρῃτήσατο λέγων· Νεώτερός εἰμι[2] καὶ οὐ δύναμαι, ἵνα μὴ διὰ τοῦ προφητεύειν δόξαν καὶ τιμὴν ἀπενέγκωμαι. Καὶ ὁ Παῦλος δέ φησιν· Εἰ μὲν ἑκὼν τοῦτο πράττω, μισθὸν οὐκ ἔχω· εἰ δὲ ἄκων οἰκονομίαν πεπίστευμαι[3]· ὥσπερ γὰρ ἐν τοῖς φαινομένοις ὁ ἀρχιτέκτων ἔργον ποιεῖ καὶ ὁ χαλκεὺς καὶ ὁ ἀργυροκόπος βάλλων σκεύη εἰς πῦρ ἔργον ἐπιτελεῖ, οὕτω καὶ οἱ τοῦ Θεοῦ ἄνθρωποι ἅπαξ εἰς τοῦτό εἰσιν εὐτρεπισμένοι, οὐχ ἵνα λαλήσωσι καὶ δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων[4], ἀλλ' ἵνα ὁ λόγος αὐτῶν θεϊκὸν ἔργον ἐπιτελέσῃ, ψυχὰς ἀνθρώπων οἰκοδομῶν καὶ βεβυθισμένον νοῦν καὶ καταπεποντισμένον εἰς κακὰ κοῦφον καὶ ἀνωφελῆ πρὸς οὐρανὸν ἀπεργαζόμενος. Τοὺς γὰρ τοιούτους φωτίζοντες καὶ ὁδηγοῦντες καὶ μεταβάλλοντες εἰς ἤθη καλὰ καὶ τρόπους ἀγαθούς, παρασκευάζουσιν ἀπελθεῖν εἰς ζωήν.

Γ'. Εἰσὶ δὲ πολλὰ ὀχυρώματα τῆς κακίας· τὰ μὲν πρῶτα ἐπιθυμία σαρκὸς καὶ φιλαργυρία· συμβαίνει γὰρ ὅτι ἔξωθεν μέν τις πτωχός ἐστι καὶ ἀκτήμων, ἔσωθεν δὲ συνήδεται τῷ πλούτῳ καὶ ἔστι φίλος πλου**43**σίων· καὶ ἐὰν συμβῇ ὑπό τινος καταλειφθῆναι αὐτῷ χρήματα, ἐκτρέπεται. Ζητεῖ οὖν τὸν τρόπον ὁ Θεὸς ἀνάργυρον· ἢ καὶ ἐὰν συμβῇ αὐτῷ ἐμπεσεῖν πλοῦτον, τότε μάλιστα ἀηδισθῆναι καὶ μισῆσαι καὶ φυγεῖν ὡς ἀπὸ πυρός. Μετὰ δὲ ταῦτά εἰσιν ἄλλα ὀχυρώματα τῆς κενοδοξίας· καὶ τῆς τυφώσεως καὶ τίς ἄρα δυνήσεται τούτους τοὺς φραγμοὺς καὶ τὰ μεσότοιχα διαρρῆξαι καὶ πόνον ἔχειν ἐν τῇ ψυχῇ διηνεκῆ, δάκρυά τε καὶ πεῖναν καὶ δίψαν;

Δ'. Εἰ οὖν ἐν τούτοις γένῃ ποτέ, λόγον ποιοῦ μετὰ τῆς ψυχῆς καὶ τοῦ σώματός σου. Εἰπὲ τῷ σώματί σου· τί ποιοῦμεν ἐν τῷ κόσμῳ τούτῳ; Ὀλίγος ἐστὶν ὁ καιρὸς ἡμῶν· μέλλεις φθείρεσθαι καὶ ἀπέρχεσθαι εἰς μνημεῖον. Εἰπὲ τῇ ψυχῇ σου· τι ποιεῖς ὧδε; Ἄπελθε πρόσπεσον τῷ κυρίῳ, μήπως κολασθῇς εἰς πῦρ αἰώνιον[5]· ἀντίστηθι πάλιν

---

1. Πρβλ. Ἐξ. 4,10. 2. Ἱερ. 1,6. 3. Α' Κορ. 9,17. 4. Πρβλ. Ματθ. 6,2. 5. Πρβλ. Ματθ. 17,15.

πρὸς τὸν πυκτεύοντά σοι ἐχθρὸν καὶ ἀφανίζοντα τὸν νοῦν σου. Μακάριοί εἰσιν οἱ παρελθόντες τοὺς φοβεροὺς τόπους ἐκείνου τοῦ σκότους καὶ τὴν δεινὴν νύκτα καὶ τοὺς αὐχμηροὺς τόπους καὶ νοσοποιοὺς ἀέρας τῆς ἁμαρτίας καὶ εἰσελθόντες εἰς κατάπαυσιν καὶ χαρὰν ἐν ἀγαλλιάσει Πνεύματος Ἁγίου, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

ΟΜΙΛΙΑ ΝϚ΄

44 Α΄. Τί ἐστι μονάζων καὶ κατὰ τίνα τρόπον ὄντως ὀνομάζεται, ὀφείλομεν γνῶναι· καθὼς οὖν ὁ Χριστὸς δίδωσι λέγομεν. Πρῶτον μὲν οὕτω λέγεται, ὅτι μόνος ἐστίν, ἀπεχόμενος γυναικὸς καὶ ἀποταξάμενος τῷ κόσμῳ ἔσωθέν τε καὶ ἔξωθεν· ἤγουν ἔξωθεν μὲν ταῖς ὕλαις καὶ τοῖς κοσμικοῖς πράγμασιν ἔσωθεν δὲ τοῖς τούτων διανοήμασιν, ἵνα μὴ καταδέχηται τοὺς λογισμοὺς τῆς κοσμικῆς φροντίδος. Δεύτερον δὲ λέγεται μονάζων, ὥστε παρακαλεῖν τὸν Θεὸν ἐν τῇ ἀδιαλείπτῳ εὐχῇ[1], ὅπως τὸν νοῦν αὐτοῦ καθαρίσῃ ἐκ τῶν πολλῶν καὶ χαλεπῶν λογισμῶν καὶ γένηται καθ' ἑαυτὸν μονάζων μόνος ὁ νοῦς πρὸς τὸν ἀληθινὸν Θεόν, μὴ καταδεχόμενος τοὺς ἐκ τῆς κακίας λογισμούς, ἀλλὰ πάντοτε καθαρεύειν ὡς δεῖ, καὶ μένειν εἰλικρινὴς πρὸς τὸν Θεόν.

Β΄. Τοῦτο γὰρ ἐν τῇ προαιρέσει τοῦ ἀνθρώπου ἐστίν· ἐὰν οὖν θελήσῃ δοῦναι τὴν προαίρεσιν μόνον πρὸς Κύριον, αὐτὸς ἐκριζοῖ τὰ πάθη καὶ τοὺς λογισμοὺς τῆς κακίας ἀπ' αὐτοῦ καὶ οὕτως καθαρίσας αὐτόν, ἐμφυτεύει ἐν αὐτῷ τοὺς καρποὺς τοῦ Ἁγίου Πνεύματος, ὅ ἐστιν, ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια[2]· περὶ ὧν λέγει ὁ ἀπόστολος· Κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος[3]. Ὅσον γὰρ ὁ Θεὸς ὁρᾷ τὴν προαίρεσιν τοῦ ἀνθρώπου σχολάζουσαν καὶ πρὸς αὐτὸν ἐγγίζουσαν ἀπερισπάστως ἀεί, τοσοῦτον καὶ αὐτὸς πολυπλασιάζει τὴν χάριν αὐτοῦ ἐν αὐτῷ καὶ πλουτίζει αὐτὸν ἐν αὐτῇ· ὅσον δὲ βλέπει τὴν προαίρεσιν ἡμῶν ἀμελοῦσαν καὶ μὴ ἐγγίζουσαν αὐτοῦ ἀλλὰ περισπωμένην ἐν ταῖς ὑλικαῖς πράξεσι, τοσοῦτον καὶ αὐτὸς ἀποχωρεῖ καὶ οὐ μέλει αὐτῷ περὶ ἡμῶν. Αὐτὸς γὰρ μόνον τῆς προαιρέσεως ἡμῶν χρείαν ἔχει, ἐπεὶ ἕτοιμός ἐστι πάντοτε τοῦ ἐλεῆσαι ἡμᾶς καὶ φωτίσαι, ἐὰν μόνον θελήσωμεν ἐπιδοῦναι ἑαυτούς.

Γ΄. Ἡ γὰρ ψυχὴ κτισθεῖσα ὑπὸ τοῦ Θεοῦ κατὰ φύσιν ἔχει τὸ ἀγαπᾶν αὐτὸν καὶ αὐτῷ προσδεδέσθαι· τὸ δὲ σῶμα ἐκ τῆς γῆς ληφθὲν τὰ ἐν τῇ γῇ φρονεῖ· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἐνεργεῖται ὑπὸ τοῦ Σατανᾶ καὶ καθέλκει τὴν ψυχὴν καὶ τὸν νοῦν εἰς τὰς γεώδεις φροντίδας· ὀφείλει οὖν ὁ μονάζων διακριτικὸς εἶναι καὶ ἀσφαλίζεσθαι ἐν τούτῳ τῷ μέρει μήποτε ἡττηθῇ κρυπτῶς ἀγνοῶν.

45 Δ΄. Ὀφείλομεν δὲ πάλιν μαθεῖν τί ἐστι τὸ ὑπὸ τοῦ Χριστοῦ

---

1. Πρβλ. Α΄ Τιμ. 5,17. 2. Γαλ. 5,23. 3. Ἔνθ' ἄν.

εἰρημένον· Ἆρον τὸν σταυρόν σου καὶ ἀκολούθει μοι[1]· μηδὲ γὰρ ὡς ὀφείλων ἐν ξύλῳ ἑαυτὸν κρεμάσαι καὶ ἀκολουθεῖν τῷ Κυρίῳ οὕτως νοεῖ, ἀλλὰ σταυρώσει ὁ μονάζων ἑαυτὸν ἐκ τῶν κοσμικῶν πραγμάτων, τοῦ μὴ ἅψασθαι αὐτῶν· καὶ πάλιν ἵνα σταυρώσῃ τὸν νοῦν αὐτοῦ διὰ παντὸς ἐν τῇ εὐχῇ, ὅπως μὴ ἀμελήσῃ τῆς σωτηρίας αὐτοῦ. Καὶ οὐκ ὀφείλει δέχεσθαι τοὺς πονηροὺς λογισμούς, ἀλλὰ διακρίνειν καὶ εἰδέναι, ὅτι τοῦ πονηροῦ εἰσι· χρὴ γὰρ λῦσαι τὸν νοῦν αὐτοῦ ἀπὸ παντὸς περισπασμοῦ, ἵνα μὴ ὀχλῆται ὑπ' αὐτῶν· ἐὰν γὰρ μὴ λύσῃ, μάτην καὶ εὔχεται· ὁ γὰρ νοῦς περὶ ἐκεῖνα ῥέμβεται καὶ δῆθεν εὔχεται καὶ ἡ εὐχὴ αὐτοῦ πρὸς[6] τὸν Θεὸν αὐτοῦ οὐκ ἀναβαίνει· ἐὰν γὰρ μὴ ἔχῃ εὐχὴν καθαρὰν ἐν πίστει πεπληρωμένην, οὐ προσδέχεται ὁ Θεός.

Ε'. Ὁ μονάζων ἀφ' ἑαυτοῦ οὔτε ἰσχύει οὔτε δύναται οὔτε τῷ διαβόλῳ ἀντιστῆναι οὔτε τοὺς λογισμοὺς τῆς ἁμαρτίας ἀπορρῖψαι ἀφ' ἑαυτοῦ οὔτε θέλημα τοῦ Θεοῦ ποιῆσαι οὔτε ἐντολὴν αὐτοῦ φυλάξαι οὔτε τοῖς πάθεσιν ἀντιστῆναι, εἰ μὴ μόνον τοῦτο ἰσχύει, τοῦ τὴν προαίρεσιν αὐτοῦ δοῦναι πρὸς τὸν Θεὸν καὶ εὔχεσθαι καὶ παρακαλεῖν αὐτόν, ἵνα αὐτὸς καθαρίσῃ αὐτὸν ἀπὸ τοῦ Σατανᾶ καὶ τῶν τούτου ἐνεργειῶν καὶ ἵνα εὐδοκήσῃ διὰ τῆς χάριτος αὐτοῦ ἐλθεῖν καὶ βασιλεῦσαι εἰς τὴν ψυχὴν αὐτοῦ καὶ αὐτὸς τὰς ἰδίας ἐντολὰς καὶ τὸ ἴδιον θέλημα ποιήσει ἐν αὐτῷ καὶ πᾶσαν ἀρετὴν δικαιοσύνης ἐμπιστεύσει αὐτῷ, πρῶτον μὲν πίστιν ἀληθινήν, εὐχὴν ἐνεργῆ, ἀγάπην τὴν ἐξ ὅλης ψυχῆς καὶ δυνάμεως, ἐλπίδα, νηστείαν, ἐγκράτειαν, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν, ὑπομονὴν καὶ τὰ ἑξῆς. Καὶ λοιπὸν ὁ τοιοῦτος οὐ δύναται καυχήσασθαι ἐν ἑαυτῷ καὶ εἰπεῖν, ὅτι ἐγὼ τί ποτε κατώρθωσα, ἀλλ' εὐχαριστεῖ τῷ Κυρίῳ πάντοτε ὅτι αὐτὸς παρακαλούμενος πάντα κατορθοῖ· ἡ γὰρ ὑπομονὴ τῆς εὐχῆς μεγάλα κατορθώματα ἀνύει· ἡ δὲ ὑπὸ τοῦ Σατανᾶ δεδομένη ἀμέλεια τοῖς ἀνθρώποις, μεγάλην μελανίαν καὶ σκότωσιν ἐμποιοῦσα τῇ ψυχῇ, ἀποπλανᾷ τὸν ἄνθρωπον ἀπὸ τοῦ Θεοῦ καὶ αἰχμαλωτίζει αὐτοῦ τὴν διάνοιαν.

Ϛ'. Ὀφείλομεν οὖν ἐγρήγοροι εἶναι ἐπιλεγόμενοι τὸ καλόν, εἰς ὃ δυνάμεθα σωθῆναι καὶ ἀγαπᾶν τὸν Θεὸν καὶ ἀλλήλους οὐχ ἁπλῶς ἀλλ' ἐν ἀληθείᾳ· ταύτην οὖν τὴν ἀγάπην διὰ τῆς λατρείας ὀφείλει ὁ μονάζων **46** κτήσασθαι ἐν ἑαυτῷ καὶ ἐν ἔργῳ αὐτὴν ἐπιτελέσαι, ὅτι πᾶν παράγγελμα ἐκεῖ τελεῖται. Ὁ μὲν γὰρ ἔγγραπτος νόμος πολλὰ διηγεῖται μυστήρια κρυπτῶς· ὁ δὲ μονάζων, ἐὰν σχολάζῃ τῇ εὐχῇ καὶ τῇ ὁμιλίᾳ τῇ πρὸς τὸν θεὸν ἀδιαλείπτως εὑρίσκει αὐτά. Καὶ τούτων φοβερώτερα τῶν ἐν ταῖς γραφαῖς ἡ χάρις αὐτῷ δείκνυσιν· οὔτε γὰρ ἐκ τῆς ἀναγνώσεως τοῦ ἐγγράπτου νόμου δύναταί τις κατορθῶσαί τι ποτε ὅσον ἐν τῇ λατρείᾳ τοῦ Θεοῦ· πάντα γὰρ ἐκεῖ τελειοῦνται. Ὁ οὖν τοῦτο ἐπιλεξάμενος, οὐ τοσοῦτον χρήζει τῆς τῶν γραφῶν ἀναγνώσεως· οἶδε γὰρ ὅτι πάντα ἐν τῇ εὐχῇ τελειοῦνται.

---

1. Πρβλ. Ματθ. 16,24.

Ζ΄. Περὶ δὲ τῶν παθῶν τῆς ἁμαρτίας πολὺν πόλεμον ἔχει καὶ βιάζεται ἑαυτὸν κατορθῶσαι αὐτά, καὶ οὐ δύναται· ἐὰν δὲ παραμείνῃ εὐχόμενος καὶ παρακαλῶν καὶ πάντα ἐπιτρέψῃ ἐπὶ τὸν Κύριον, αὐτὸς αὐτὰ ἐξολοθρεύσει ἐξ αὐτοῦ, ἐπειδὴ τὴν πᾶσαν μέριμναν αὐτοῦ τῷ Κυρίῳ ἀπέδωκε. Καὶ λοιπὸν ποιεῖ ἐν αὐτῷ ἡ χάρις τοῦ Θεοῦ πολλὰς ἐνεργείας· ἔρχεται γὰρ αὐτῷ πολλάκις ἐνέργεια ὥρας, ὅτι τοιοῦτος πόθος αὐτὸν λαμβάνει καὶ χαρὰ ἀνεκλάλητος, ὥστε αὐτὸν κλαίειν καὶ εἴπερ ἠδύνατο ἡ ψυχὴ ἀφιέναι τὸ σῶμα καὶ ἀπιέναι πρὸς τὸν Κύριον. Ἄλλοτε πάλιν εὐφραίνεται ἡ ψυχὴ αὐτοῦ ἔσωθεν ὑπὸ τῆς χάριτος τοῦ Κυρίου· ὁ γὰρ Κύριος καὶ ἀκριβής ἐστιν εἰς πάντα καὶ δαψιλής· πολλάκις δὲ ἔρχεται ὥρα καὶ συγχωρεῖ ἡ χάρις τοῦ Κυρίου τῷ Σατανᾷ πολεμῆσαι αὐτῷ καὶ ἐπεγείρεται ἐπ' αὐτὸν τὰ πάθη τῆς κακίας καὶ ἐπιφέρει αὐτῷ ὕπνον καὶ ἀκηδίαν καὶ ἀτονίαν καὶ ἄλλα πολλὰ ἅπερ οὐκ ἔνι ἐξειπεῖν, ἵνα θλιβόμενος καὶ καταπονούμενος παρακαλέσῃ τὸν Κύριον ἐν πίστει βεβαίᾳ καὶ κάμῃ δεόμενος. Καὶ τότε πάλιν αὐτὴ ἡ χάρις ἀπελαύνει ἀπ' αὐτοῦ πᾶσαν τὴν ἐπήρειαν τοῦ ἐχθροῦ, ἐὰν ἴδῃ αὐτὸν παραμένοντα καὶ ζητοῦντα τὸ ἔλεος τοῦ Θεοῦ ἐν ἀληθείᾳ καὶ λοιπὸν εὐφραίνει τὴν καρδίαν αὐτοῦ ὡς αὐτὴ θέλει καὶ καθαρίζει αὐτὸν ἀπὸ πάσης ἐπιβουλῆς τοῦ ἐχθροῦ· αὐτὴ γὰρ θέλει, ἵνα μετὰ καμάτου καὶ πολέμου κτήσηται αὐτὴν ὁ ἄνθρωπος· καὶ οὐ θέλει τὸν ἄνθρωπον πάντοτε εἶναι ἐν τῇ αὐτοῦ εὐφρασίᾳ, ἵνα μὴ ᾖ ἀργὸς ὁ νοῦς αὐτοῦ, ἀλλ' ἐγρηγορὼς καὶ ἀγωνιζόμενος μετὰ τοῦ Σατανᾶ· δόξα τῷ Θεῷ, ἀμήν.

ΟΜΙΛΙΑ ΝΖ΄

47 Α΄. Τὸ Πνεῦμα ὅπου θέλει πνεῖ[1]· πνεῖ δὲ εἰς τὰς φαιδρὰς καὶ λαμπρὰς καὶ θείας ψυχὰς καὶ ποθούσας αὐτὸ πάσῃ θεραπεῦσαι σπουδῇ· καὶ ἐὰν ὑπακούσωσι τῷ προσκυνητῷ Πνεύματι, δίδωσιν αὐταῖς φόβον Θεοῦ καὶ θέρμην ἐν τῇ ἀρχῇ· καὶ ὅτε παρῇ ἐν αὐταῖς, ποιεῖ αὐτὰς μισῆσαι ὅλον τὸν κόσμον καὶ πᾶν ἐν αὐτῷ βλαβερὸν ἐπιθύμημα εἴτε χρυσὸν εἴτε ἄργυρον εἴτε τινὰ κόσμον τοῦ σώματος ἀπατηλὸν ἢ πατέρα ἢ μητέρα ἢ γυναῖκα καὶ τέκνα καὶ ποιεῖ ἐν τῷ ἀνθρώπῳ γλυκὺ τὸ ἔργον τοῦ Θεοῦ ὑπὲρ μέλι καὶ κηρίον εἴτε πόνον νηστείας εἴτε ἀγρυπνίας εἴτε ἡσυχίαν καὶ διακονίαν εἴτε ἐλεημοσύνην καὶ πάντα τὰ τοῦ Θεοῦ γλυκαίνει αὐτῷ.

Β΄. Ὅτε δὲ ταῦτα πάντα διδάξει αὐτόν, δίδωσιν αὐτὸν εἰς τὸ πειρασθῆναι· καὶ λοιπὸν πάντα ἅπερ ἦν αὐτῷ γλυκέα, βαρέα αὐτῷ γίγνεται καὶ δύσκολα· πολλοὶ οὖν ἄπειροι ὅτε πειράζονται ἀπομένουσιν ἐν τῷ βάρει καὶ γίγνονται σαρκικοί· οὗτοί εἰσι, περὶ ὧν ὁ Παῦλός φησιν· Ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε[2]; Τοσαῦτα ἐπάθετε εἰκῇ; Τὸ δὲ εἰκῇ, τοῦτό ἐστιν ὅτι ὁ δια τὸν Θεὸν ὑπομείνας πόνους εἶτα

1. Ἰω. 3,8. 2. Γαλ. 3,3.

ἀποκακήσας παντελῶς καὶ μὴ ἀνακαλεσάμενος τούτους, οὐ μόνον τὸ ἐπὶ τοῖς πόνοις ἐζημιώθη κέρδος, ἀλλὰ καὶ βαρυτέρας κολάσεως ἔνοχος γίνεται, καταφρονήσας καὶ μὴ ἐκλεξάμενος τὴν ἐξ ὕψους δύναμιν.

Γ'. Ἐὰν δὲ ἀντιστῇ τῷ Σατανᾷ ὁ ἄνθρωπος ἐν τῷ πρώτῳ πειρασμῷ καὶ νικήσῃ αὐτόν, τότε ὁ Θεὸς δίδωσι θέρμην καθισταμένην ἥσυχόν τε καὶ ἀτάραχον· ἡ γὰρ πρώτη θέρμη ταραχώδης ἐστίν, ἀμφίβολός τε καὶ ἀκατάστατος· ἡ δευτέρα δὲ βελτίων ἐστὶν καὶ αὕτη γεννᾷ τὸ βλέπειν, ποιοῦσα ὑπομονήν, ἀτάραχος οὖσα καὶ πιστὴ καὶ ἀναμφίβολος· ὥσπερ πλοῖον ἐν εὐδίῳ λιμένι, τῶν δύο ἑλκυσθέντων ποδίων, οὕτως ἡ δευτέρα θέρμη ἀναπαυστική ἐστι παντὶ τρόπῳ.

Δ'. Νῦν οὖν, ἀγαπητά μου τέκνα, κτησώμεθα τὴν δευτέραν θέρμην ἑαυτοῖς, ἵνα ἐλαφρυνθῆτε κατὰ πάντα· ἡ γὰρ κατὰ Θεὸν αὕτη θέρμη, ἐκκόπτει πᾶν πάθος καὶ ἐκβάλλει πᾶσαν παχύτητα ἐκ τοῦ ἀνθρώπου **48**
καὶ ποιεῖ συνοικῆσαι τὴν θεότητα τῷ ἀνθρώπῳ, ἵνα γένηται ναὸς θεοῦ κατὰ τὸ γεγραμμένον· Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω[1].

Ε'. Εἰ οὖν θέλετε ἵνα ἡ ἀποστᾶσα θέρμη ἐπανέλθῃ ὑμῖν, ἡ ἐργασία αὐτῆς αὕτη ἐστίν, ἵνα ὁ ἄνθρωπος διάθηται διαθήκην μεταξὺ ἑαυτοῦ καὶ τοῦ θεοῦ καὶ εἴπῃ ἐνώπιον αὐτοῦ, ὅτι συγχώρησόν μοι ἃ πεποίηκα ἐν ἀμελείᾳ καὶ οὐκέτι παρακούω σου· καὶ ἵνα λοιπὸν φυλάξηται ἀπὸ πάσης ἀμελείας, ἐν μηδενὶ διδοὺς ἑαυτὸν ἀναπαύσει μιᾷ σώματος ἢ ψυχῆς, ἀλλὰ τετονωμένους τοὺς λογισμοὺς ἑαυτοῦ ἔμπροσθεν τοῦ Θεοῦ ποιήσῃ νυκτὸς καὶ ἡμέρας καὶ πᾶσαν ὥραν κλαύσῃ ἐνώπιον τοῦ Θεοῦ καὶ λυπούμενος ἐλέγξῃ τὴν ψυχὴν ἑαυτοῦ, ὅτι πῶς ἠμέλησας ἕως τὴν σήμερον, κεχερσωμένη οὖσα πάσας τὰς ἡμέρας; Καὶ ἵνα μνημονεύσῃ τῶν κολάσεων καὶ τῆς αἰωνίου βασιλείας ἐλέγχων ἑαυτὸν πάσῃ ὥρᾳ καὶ λέγων, ὅτι πῶς ὁ Θεὸς κεχάρισταί σοι πάσας τὰς τιμὰς ταύτας καὶ σὺ ἠμέλησας; Πᾶσαν τὴν κτίσιν ἐν ὑποταγῇ σου πεποίηκε καὶ οὐκ ἠθέτησας. Καὶ ὅταν ταῦτα εἴπῃ τῇ ψυχῇ αὐτοῦ, ἐλέγχων αὐτὴν νύκτα καὶ ἡμέραν καὶ πᾶσαν ὥραν, εὐθέως ἔρχεται πρὸς αὐτὸν ἡ τοῦ Θεοῦ θέρμη, ἡ κατὰ πάντα τῆς πρώτης βελτίων.

Ϛ'. Ὅτε γὰρ ὁ μακάριος Δαβὶδ εἶδε βάρος ἐλθὸν ἐπ' αὐτόν, εἶπε· Διελογισάμην ἡμέρας ἀρχαίας καὶ ἔτη αἰώνια ἐμνήσθην καὶ ἐμελέτησα[2], καὶ πάλιν· Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου· ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων, διεπετάσα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι[3]. Καὶ ὅταν ἀποστραφῇς δῷς ἑαυτὸν εἰς τὴν μελέτην τῶν τοῦ Θεοῦ θαυμασίων· τότε σωθήσῃ, χάριτι Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος εἰς τοὺς αἰῶνας, ἀμήν.

---

1. Β' Κορ. 6,12. 2. Ψαλ. 76,6. 3. Ψαλ. 142,6.

ΟΜΙΛΙΑΙ ΕΤΕΡΑΙ*

ΟΜΙΛΙΑ Α′ (=ΝΗ′)

1** Α′. Ἐρώτησις. Πῶς λέγει Παῦλος· «ἔθνη τὰ μὴ νόμον ἔχοντα» «ἑαυτοῖς εἰσι νόμος»[1]; Εἰ μὴ εἶχον τὸν φυσικόν, πῶς ἐγίνοντο ἑαυτοῖς νόμος;

Ἀπόκρισις. Διακρίσεως χρήζει ὁ λόγος· καὶ ἠμαύρωται ὁ ἔσω ἄνθρωπος καὶ οὐκ ἠμαύρωται καὶ τετύφλωται καὶ μερικῶς διήνοικται καὶ νεκρός ἐστι καὶ ἐν τῇ φύσει ζῇ. Οὐκ ἐγχωρεῖ δέ τινα «εἰσελθεῖν εἰς τὴν ζωὴν»[2], εἰ μὴ διὰ πολλῶν πειρατηρίων, διὰ πολλῶν γυμνασιῶν διὰ πολλῶν ἀτιμιῶν. Οὕτω γὰρ δεῖ τὸ σκεῦος τοῦτο γυμνασθὲν «εἰσελθεῖν εἰς τὴν βασιλείαν»[3], ἀγύμναστος δὲ οὐδεὶς εἰσέρχεται. Ὥσπερ γὰρ ἵνα ᾖ σκεῦος ἀπόσκληρον καὶ λάβῃ αὐτὸ τεχνίτης καὶ εἰσενέγκας αὐτὸ εἰς τὸ πῦρ, πάλιν αὐτὸ ἐκβάλλει, σφυροκοπεῖ, πάλιν αὐτὸ εἰσφέρει, ἕως ἂν γένηται ἁπαλὸν καὶ σκεῦος τίμιον ἀποτελεσθῇ καὶ προχωρήσῃ εἰς ὑπηρεσίαν τῷ δεσπότῃ[4]· ἢ ὥσπερ ἵνα ᾖ κηρός, οὗτος ὢν ἐν ψυχρῷ ἀέρι ἀπόσκληρός ἐστιν, ὅταν δὲ βληθῇ εἰς πῦρ καὶ ἄρχηται μαλάσσεσθαι καὶ ἁπαλύνεσθαι, τότε λαμβάνει τύπον καὶ εἰκόνα τελείαν τῆς σφραγῖδος—οὕτω καὶ αὐτὴ ἡ ψυχὴ πολλάκις εἰσερχομένη εἰς πῦρ καὶ δοκιμαζομένη χρήζει παιδαγωγίας πολλῆς, ἵν' οὕτω δυνηθῇ τὴν τελείαν εἰκόνα ἐντυπωθῆναι τοῦ Χριστοῦ καὶ φραγῖδα ἐπουράνιον. Καὶ «τὰ «σκεύη» δὲ τὰ «ὀστράκινα»[5] ὁ κεραμεὺς βάλλει εἰς πῦρ καὶ ὕδωρ
2 καὶ οὕτω δοκιμάζει, κἀκεῖ τὰ μὲν αὐτῶν γίνεται χρήσιμα, τὰ δὲ λύεται καὶ ἀφανίζεται. Οὕτω καὶ οἱ βαίνοντες εἰς τὰ πειρατήρια καὶ εἰς τὴν γυμνασίαν τοῦ πολέμου ὄντες τῶν δύο τὸ ἕτερον ἢ νικῶσιν ἢ καταπίπτουσι καὶ ἀπόλλυνται καὶ γίνονται μακρὰν τοῦ Θεοῦ καὶ ἀλλότριοι τῆς ζωῆς. Οἱ <δὲ> ὑπομένοντες τὰ πειρατήρια καὶ τὰς θλίψεις, πίπτοντες ἐγειρόμενοι, οἰκοδομοῦντες καταστρεφόμενοι, λαμβάνουσι

---

* Τὸ κείμενον τῶν ἐνταῦθα δημοσιευομένων ὁμιλιῶν βελτιωμένον κατὰ τὴν ἔκδοσιν Erich Klostermann καὶ Heinz Berthold, Neue Homilien des Makarius /Symeon, τύπος III, Akademie - Verlag - Berlin 1961, ἐπὶ τῇ βάσει τῶν κωδίκων Atheniensis 272, (ΙΑ′ αἰών), Ἰβήρων 1318 (ΙΗ′ αἰών), Παντελεήμονος 129 (ΙΕ′ αἰών), Vaticanus Gr. 694 (ΙΓ′ αἰών), Atheniensis 423 (ΙΔ′ αἰών), Vaticanus Gr. 710 (ΙΔ′ - ΙΕ′ αἰών), Vaticanus Gr. 703 (ΙΔ′ αἰών) καὶ Mosquensis 177.

** Οἱ ἀριθμοὶ παραπέμπουσιν εἰς τὰς σελίδας τῆς ὡς ἄνω κριτικῆς ἐκδόσεως Erich Klostermann καὶ Heinz Berthold.

1. Ρωμ. 2,14. 2. Πρβλ. Ματθ. 18,8. 19,17. 3. Πρβλ. Ματθ. 19,24. 4. Πρβλ. Β′ Τιμ. 2,21. 5. Πρβλ. Β′ Τιμ. 2,20.

τὰ νικητήρια καὶ οὕτω λοιπὸν ἄπτωτοί εἰσι καὶ ἀνίκητοι. Οὕτω γάρ ἐστιν ἡ ψυχὴ γυμναζομένη· ποτὲ πίπτει ποτὲ ἐγείρεται, οἰκοδομεῖ, καταστρέφεται, ἕως οὗ τὰ νικητήρια ἀπενέγκηται. Καὶ γὰρ ἐν τοῖς φαινομένοις τὰ παιδία πολλὰ ὁμοῦ ἀπέρχονται εἰς τὴν σχολήν· ἀλλ' οἱ μὲν αὐτῶν ἄτακτοι, οἱ δὲ θεατρικοί, οἱ δὲ ἀσελγεῖς, οἱ δὲ κυνηγοί, οἱ δὲ σχολαστικοὶ καὶ ἐξκέπτορες ἐξέρχονται· οὕτω καὶ εἰς τὰ μοναστήρια πολλοὶ ὁμοῦ εἰσιν ἀδελφοὶ καὶ διὰ τοῦ αὐτεξουσίου τινὲς αὐτῶν εἰσέρχονται εἰς τὴν ζωήν, τινὲς δὲ οὔ. Ὥσπερ γὰρ τὸ φυτόν, ἕως ὅτε νήπιόν ἐστιν, καὶ χαυνοῦται καὶ οὐ δύναται ῥιζωθῆναι εἰς τὴν γῆν καί, ἐὰν καταλάβωσιν ἀέρες σκληροί, ἀποκναίεται, καὶ ἄνεμοι, ὅταν ἐπέλθωσιν, συσσείουσι καὶ καταρρίπτουσιν, ὅταν δὲ ὄντως ῥιζωθῇ κατὰ βάθους εἰς τὴν γῆν οὔτε ἀέρες οὔτε χειμῶνες βλάψαι δύνανται, ἐπειδὴ κατὰ βάθους ἐρρίζωται καὶ ἔστιν ἰσχυρόν. Οὕτω καὶ οἱ ἀδελφοὶ ἀκμὴν παιδία εἰσί, νήπιοι χρήζοντες πολλῆς παιδαδωγίας, οἱ γὰρ μαθητευόμενοι «τῇ βασιλείᾳ τῶν οὐρανῶν»[1] πάντοτε χρήζουσιν ὁδηγῶν τῶν προδιοδευσάντων, ἕως ὅταν ῥιζωθῶσιν εἰς τὴν χάριν καὶ γένωνται ἄπτωτοι καὶ ἀσάλευτοι.

Β'. Οἱ γὰρ Χριστιανοὶ ἀνώτεροι γίνονται παθῶν καὶ δαιμόνων, δεσπόται εἰσὶ τῶν «ἀκαθάρτων πνευμάτων»[2] καὶ νυμφ<ῶνος υ>ἱοί[3] τοῦ Χριστοῦ καὶ «κληρονόμοι Θεοῦ»[4], οὗτοι ἔφθασαν εἰς τὴν τελειότητα τοῦ Χριστοῦ, **3** «εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας»[5] καὶ οὔτε πόνοι σωματικοὶ ἢ πυρετοὶ ἢ δαίμονες βλάψαι αὐτοὺς δύνανται· πάντων γὰρ δεσπόται εἰσὶ καὶ τὰ ἰοβόλα θηρία ὑποτέτακται αὐτοῖς. Καὶ γὰρ αὐτὸς «ὁ πρῶτος ἄνθρωπος»[6], δεσπότης ὢν τῶν κτισμάτων, παθῶν τε καὶ δαιμόνων ἐκυρίευε, μετὰ δὲ τὸ παραβῆναι αὐτὸν δοῦλος γέγονε παθῶν καὶ δαιμόνων καὶ πυρὸς καὶ ξίφους. Πάλιν δὲ ἐπελθόντος τοῦ Χριστοῦ οἱ ἄνθρωποι διὰ τῆς δυνάμεως τοῦ βαπτίσματος φθάνουσιν εἰς τὸ πρότερον μέτρον τοῦ Ἀδάμ, δεσπόται δαιμόνων καὶ παθῶν γίνονται, ὁ <«ἔσχατος> ἐχθρὸς» «ὁ θάνατος» «ὑπὸ τοὺς πόδας»[7] Ἀδὰμ κατετέθη. Χρὴ γὰρ τὸν Χριστιανὸν μακρὰν γενέσθαι τῶν βελῶν τῆς κακίας καὶ ζητεῖν σωθῆναι καὶ εἰς ὅλα τὰ ἆθλα συγκερασθῆναι. Εἰ δὲ τὸν μὲν ὀφθαλμὸν ἔχων τέλειον καὶ τὸ πρόσωπον τῆς ὄψεως αὐτοῦ, τὰς δὲ χεῖρας ἢ πόδας πέπληται, οὗτος δύο μέλη ἔσχε σῶα καὶ τὰ ἄλλα ἀσθενῆ εἰσιν. Ἀλλὰ χρὴ τὸν Χριστιανὸν ὅλα τὰ μέλη σῶα καὶ ὑγιῆ ἔχειν. Τὸ ἅρμα καὶ τὸ ὅπλον τοῦ Χριστιανισμοῦ καὶ ἡ ἕνωσις καὶ ἡ διαγωγὴ ὅλη ἐκτός ἐστι τοῦ κόσμου τούτου καὶ διὰ τοῦτο οἱ πολλοὶ τῶν ἀνθρώπων οὐκ οἴδασι τί ζητοῦσι. Γῆς τεχνῖται γίνονται εἰς οὐρανὸν οὐκ ἀτενίζοντες, οὐδὲ ζητοῦσι μαθεῖν τέχνην εἰς οὐρανοὺς ἀνάγειν δυναμένην. Καὶ εἰ εὑρίσκεις ἐμπόρους πολλάκις εἴτε φιλο-

---

1. Πρβλ. Ματθ. 13,52. 2. Πρβλ. Ματθ. 10,1. 3. Πρβλ. Ματθ. 9,15. 4. Ρωμ. 8,17. 5. Ἐφ. 4,13. 6. Πρβλ. Α' Κορ. 15,45. 7. Πρβλ. Α' Κορ. 15,26. 27.

σόφους, εὑρίσκεις ὅτι τοῦ αἰῶνος τούτου εἰσίν. «Τὸ» δὲ «μυστήριον» τοῦ Χριστιανισμοῦ «μέγα ἐστὶ»[1] καὶ περισπούδαστον μόνοις τοῖς ἐκτὸς τοῦ κόσμου εὑρισκομένοις. Ὥσπερ ἵνα ἡ πόλις μεγάλη καὶ ἐν αὐτῇ τῇ πόλει ὅλοι ὦσιν εὐγενεῖς, ὅλοι βασιλεῖς, ὅλοι ἱερεῖς, ὅλοι πλούσιοι, συμβῇ δὲ τούτοις διαμερισθῆναι ἕνα ἕνα εἰς πατρίδας τινάς, λοιπὸν ὅλοι οἱ οἰκήτορες τῶν μερῶν ἐκείνων, ἔνθα αὐτοῖς ἀπαντῶσιν, ὡς βάρβαροι καὶ ξένοι **4** αὐτοῖς παραφαίνονται, ἀλλὰ καὶ οὗτοι ἐκείνοις. Μόνον δὲ ἀλλήλους ὅταν ἴδωσιν ἐπιγινώσκουσιν, ὅτι ὁμόγλωσσοί εἰσι καὶ μιᾶς πόλεως. Οὗτοι γὰρ ἄλλου κόσμου εἰσίν, ἄλλης πόλεως πολῖται εἰσὶ (τῆς τῶν ἁγίων), ἄλλου αἰῶνος (ὅσοι γὰρ «ἐν Χριστῷ, καινὴ κτίσις»[2]), ἄλλης σοφίας, ἄλλου πνεύματός εἰσι μέτοχοι[3], ἄλλης αἰνέσεως, ἄλλου πλούτου, ἄλλου ἀξιώματος, ἄλλης προαιρέσεως, ἄλλον «νοῦν» ἔχουσιν («Χριστοῦ»[4]), υἱοί εἰσι «φωτός»[5], υἱοὶ «νυμφῶνος»[6], υἱοὶ «παρακλήσεως»[7], υἱοὶ «διαθήκης»[8] καινῆς.

Γ'. Ἀληθῶς οὖν τοῖς πολλοῖς ἀγνοεῖται τὰ τῶν ἀφθάρτων ἐν οὐρανοῖς καὶ μὴ παρερχομένων. Ὑπόθου, ὅτι ἐστὶ βασιλεύς, οὐ τοῦ αἰῶνος τούτου ἐστίν; Ῥήτωρ ἐστὶν ἢ φιλόσοφος, οὐ τοῦ αἰῶνος τούτου ἐστίν; Εἰ δέ ἐστιν ἐκείνου τοῦ αἰῶνος, οἶδεν ἐκείνην τὴν γλῶτταν καὶ μέτοχός ἐστιν ἐκείνης τῆς σοφίας· ἅπερ γὰρ ἀπὸ τοῦ οὐρανοῦ καὶ τῆς γῆς οὐχ εὑρίσκεται οὔτε ἐστὶν οὔτε ἀληθῶς δύναται ἔργῳ καὶ δυνάμει γνωρισθῆναι, ὅτι φαντασία ἐστὶ καὶ ὀφθαλμῶν πλάνη πάντα τὰ φαινόμενα. Καὶ διὰ πόσων δεῖ παρελθεῖν τινα καὶ ἐπιτυχεῖν τῆς ζωῆς; Διὰ πολλῶν πειρατηρίων. Οὐκ ἐγχωρεῖ γάρ τινα «εἰσελθεῖν εἰς τὴν ζωὴν»[9], ἐὰν μὴ παρέλθῃ τὴν τραχεῖαν ὁδὸν καὶ τοὺς φοβεροὺς τόπους. Ὥσπερ γὰρ ἡ ὁμίχλη ἐπίκειται τῷ ἀέρι, οὕτως ἡ δύναμις τοῦ σατανᾶ ἐπλήρωσε τὰς καρδίας τοῦ Ἀδὰμ καὶ ἐπίκειται ὅλαις ταῖς προαιρέσεσιν ὁ καπνός. καὶ λοιπόν εἰσι φιλαλήθεις καίτοι συνόντος τοῦ καπνοῦ σπουδάζοντες ἀντιστήκειν καὶ ἀγωνίζεσθαι, ἀλλ' οὐκ εὐθέως γίνονται τοῦ ἀγαθοῦ μέρους, εἰ μὴ διὰ πολλοῦ δρόμου καὶ ἀγῶνος. Οὗτοι τῶν μὴ ἀγωνιζομένων καλλίον(ές) εἰσιν. Ὅμως πολλοὶ μικρᾶς ἀναπαύσεως τυγχάνοντες καὶ αὐξανόμενοι ἐν χάριτι ἐπήρθησαν καὶ ἐτυφώθησαν καὶ ἐνόμισαν εἰς τὴν ἐλευθερίαν ἐφθακέναι καὶ εἶπαν ἑαυτοὺς τελείους, οἱ δὲ ὑποκλέπτονται ὑπὸ τῆς κακίας καὶ οὐκ οἴδασιν. Οὐδὲν γὰρ ἄλλο **5** ἀπώλεσε τὸ γένος τῶν Χριστιανῶν, εἰ μὴ ἡ ἔπαρσις· καὶ γὰρ καὶ τὸν Ἀδὰμ ὁ ὄφις ἐπλάνησεν, ὅτι «ὡς θεοὶ»[10] γίνεσθε. Πάνυ γὰρ τὸ θεῖον ἀντιτάσσεται τῇ ἐπάρσει· τὸ γὰρ σημεῖον τοῦ Χριστιανισμοῦ τοῦτό ἐστιν· ὃν βλέπεις πεινῶντα, διψῶντα, ἔχοντα πόνον, πτωχὸν «τῷ πνεύματι»[11], τεταπεινωμένον παρ' ἑαυτῷ, ἐπιζητοῦντα συνεχῶς νυκτὸς καὶ ἡμέρας, οὗτος ἐν ἀληθείᾳ στήκει·

---

1. Πρβλ. Ἐφ. 5,32. 2. Πρβλ. Β' Κορ. 5,17. 3. Πρβλ. Ἑβρ. 6,4. 4. Πρβλ. Α' Κορ. 2,16. 5. Πρβλ. Λουκ. 16,8. Ἰω. 12,36. 6. Ματθ. 9,15. 7. Πρβλ. Β' Κορ. 1,7. 8. Πρβλ. Πράξ. 3,25. 9. Ματθ. 18,8. 19,17. 10. Πρβλ. Γεν. 3,1. 5. 11. Πρβλ. Ματθ. 5,3.

εἰ δέ τις κεκόρεσται καὶ οὐκέτι δέεται, ἀλλα πλουτεῖ, οὗτος τῆς πλάνης ἐστὶ μέλος, ὥς φησιν· «ἤδη κεκορεσμένοι ἐστέ· ἤδη ἐπλουτήσατε»[1]· καὶ πάλιν λέγει· «οὐαὶ ὑμῖν τοῖς πλουσίοις»[2] τοῦ κόσμου τούτου, ἀλλὰ καὶ τοῖς ἤδη περὶ ἑαυτῶν ἔχουσιν, ὅτι ἐσμέν τι. Τῷ δὲ Θεῷ ἡ δόξα.

ΟΜΙΛΙΑ Β' (=ΝΘ')

6 Α'. Ἐρώτησις. Ἆρά γε ἀνιστάμενα τὰ σώματα τοῦ Ἀδὰμ γυμνὰ ἵστανται ἀντικρὺς τῆς θεότητος ἢ ἔχουσιν ἐπ' αὐτοῖς «σκεπάσματα»[3] καὶ <τρέφονται> τροφὴν ἄλλην, ὃν τρόπον ἐντεῦθεν ἐσκέπασται ἐν ἐνδύμασι τὸ σῶμα καὶ ἐν βρώμασι τρέφεται (ἀνάγκη γὰρ τοὺς ἐν τῷ αἰῶνι τούτῳ ὄντας ἄνδρας τε καὶ γυναῖκας περιβεβλῆσθαι καὶ σκέπεσθαι τὴν ἀσχημοσύνην καὶ τρέφεσθαι τὴν ἀπολλυμένην βρῶσιν); Εἰ οὖν ἔτι συναναστάντα ἀπὸ τῆς διαλύσεως τῆς γῆς καὶ πρὸς τὴν ἀρχαίαν σύμπηξιν ἐπανελθόντα τῶν αὐτῶν ἐπιδέονται ἢ οὔ;

Ἀπόκρισις. Τοῦτό μοι ἀπρεπὲς καὶ ἀλόγιστον καταφαίνεται· οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ τῆς κτίσεως «εὐπρέπεια»[4] καὶ ἁρμολογία καταργεῖται λυομένη καὶ οὐκέτι ἡ γῆ ἐκφέρει καρποὺς πρὸς τὴν τοῦ σώματος διατροφήν, παρέρχεται δὲ καὶ ὁ οὐρανὸς[5] σὺν παντὶ τῷ κόσμῳ αὐτοῦ. Πόθεν οὖν ἔτι τοῖς ἀνθρώποις ἡ τροφὴ χορηγηθήσεται καὶ τὰ περιβόλαια κατασκευασθήσεται λυομένων τῶν ὁρωμένων κατὰ τὴν **7** τοῦ Κυρίου ἀπόφασιν; Ἢ δῆλον ὅτι ἕτερόν τί ἐστι πέρα τῶν ὁρωμένων τὸ μέλλον δίδοσθαι; Δεῖ γὰρ καὶ περιβεβλῆσθαι καὶ τρέφεσθαι. Εἰ δὲ τοῖς Ἰσραηλίταις τὸ μάννα ὃ ἐδόθη ἐν τῇ ἐρήμῳ ξένον ἦν καὶ ἀλλότριον τῆς φύσεως αὐτῶν (γέγραπται γὰρ ὅτι «ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος»[6]), πόσῳ μᾶλλον ἐν τῷ μέλλοντι αἰῶνι τροφὴν δίδωσιν ὁ Θεὸς καὶ περιβόλαια τοῖς ἀνθρώποις ξένα τῆς φύσεως αὐτῶν· ὅσοι οὖν ἐντεῦθεν λαμβάνουσι «τὸν ἀρραβῶνα τοῦ πνεύματος ἐν ταῖς καρδίαις»[7]· αὐτῶν καὶ τὸν ἐπουράνιον θησαυρὸν καὶ ὅσοι νῦν φοροῦσιν ἐνδύματα ἔνδοξα καὶ ἐπουράνια καὶ ὅσοι σπείρονται τὴν γῆν τῆς καρδίας σπόρον ἐπουράνιον καὶ πνευματικόν, οὗτοι ἀναμφιβόλως ἀπολαύσουσι καὶ τῆς τοῦ σώματος δόξης. Τὸ γὰρ νῦν κρυπτόμενον καὶ ἐμπολιτευόμενον τοῦ Θεοῦ κάλλος τῇ ψυχῇ ἐν τῇ ἀναστάσει προκύψαν καὶ ἐπιχυθὲν καλύψει καὶ δοξάσει τὸ ἔξωθεν σῶμα τῷ αἰωνίῳ φωτί. Ἀνάγκη δὲ τὸν νοῦν τίμιον ὄντα ἐντεῦθεν εὐαγγελι-

---

1. Α' Κορ. 4,8. 2. Λουκ. 6,24. 3. Πρβλ. Α' Τιμ. 6,8. 4. Πρβλ. Ἰακ. 1,11. 5. Πρβλ. Ματθ. 24,35. 6. Ψαλ. 77,25. 7. Β' Κορ. 1,22.

σθῆναι καὶ ὑποδέξασθαι τὸ τοῦ Θεοῦ Πνεῦμα καὶ οὕτω μετὰ ταῦτα συνδοξασθήσεται τὸ σῶμα. Ὁ γὰρ Θεὸς ἀπὸ τοῦ νῦν τὴν ψυχὴν περιβαλὼν τῇ δόξῃ καὶ καταποθεῖσθαι ὑπὸ τοῦ πυρὸς αὐτοῦ ποιήσας ἐν τῷ προσδοκωμένῳ καιρῷ καὶ τὸ σῶμα περιβαλεῖ καὶ «σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ»[1] ἀποδείξει, διδοὺς ἐκεῖ λοιπὸν ἀνάπαυσιν βρωμάτων καὶ ἐνδυμάτων ἐπουρανίων καὶ ἐργασίαν ἄφθαρτον τὴν τῶν ἀγγέλων.

Β'. Ἐν τοῖς ὁρωμένοις δὲ πράγμασιν ἴδιον ἔργον ἔχει ἡ νὺξ καὶ ἴδιον ἔργον ἡ ἡμέρα. Καὶ τὰ μὲν τῆς νυκτὸς ἔργα πονηρά· ἐν αὐτῇ γὰρ οἱ κακοῦργοι τὴν ἀνομίαν ἐνδείκνυνται, βοηθούμενοι γὰρ ὑπὸ τοῦ σκότους ἐπιβουλεύουσι καὶ κλέπτουσι καὶ πορνεύουσι καὶ μοιχεύουσι ἀδεῶς ὑπὸ μηδενὸς ἐλεγχόμενοι. Τὰ δὲ τῆς ἡμέρας ἔργα φωτεινά, ἔργα δικαιοσύνης καὶ θεοσεβείας, πᾶν γὰρ τὸ ἐν φωτὶ γινόμενον «φῶς ἐστιν»[2], ἐν τῷ Θεῷ εἰργασμένον. Οὕτω καὶ οἱ τὴν ἀνομίαν ἐργαζόμενοι ὡς ἐν νυκτὶ νῦν μὲν λελήθασι πολλούς, ὕστερον δὲ «τὰ πάντα ἐλεγχόμενα **8** ὑπὸ τοῦ φωτὸς φανεροῦνται»[3]. Οἱ γὰρ ἀπὸ τοῦ νῦν συλλαμβάνοντες σπόρον τοῦ πονηροῦ ἐν ταῖς καρδίαις αὐτῶν, τοῦ νοῦ συναπτομένου τοῖς αἰσχροῖς τοῦ πονηροῦ ἔργοις, λανθάνειν σπεύδουσι καὶ κρύπτειν ἑαυτῶν τὰ πονηρὰ ἔργα, ἀλλ' οὐ δύνανται λαθεῖν τὸν Θεόν· «πάντα» γὰρ αὐτῷ «γυμνὰ καὶ τετραχηλισμένα», «πρὸς ὃν ἡμῖν ὁ λόγος»[4]. Τὸ γὰρ σκότος τὸ νῦν καλύψαν τὴν ψυχὴν καὶ τὴν καρδίαν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ τὸ σῶμα συσκοτάσει καὶ καλύψει, καταποθεῖται γὰρ ὑπὸ τῶν σκοτεινῶν κόλπων τοῦ πονηροῦ, τὰ δὲ καλὰ ἔργα τῶν δικαίων ἐκλάμψει «ὡς ὁ ἥλιος»[5], οὐδὲ γὰρ αὐτὰ κρυβῆναι δύνανται. Ὥσπερ δὲ τὰ κάρπιμα ξύλα κατὰ τὸν τῆς κινήσεως χρόνον ἔνδον κυοφορήσαντα τοὺς καρπούς, οὐκέτι κρύπτειν τὸ ἐμπεριεχόμενον δύνανται τοῦ καιροῦ ἑλκτικῇ τινι δυνάμει καὶ βίᾳ προφέροντος τοὺς καρποὺς εἰς βρῶσιν καὶ ὥσπερ τὸ σῶμα τοῦ κόκκου εἰς γῆν θαπτόμενον πρῶτον μὲν ἐν τῷ ἀφανεῖ ἐν τῇ κοιλίᾳ τῆς γῆς ῥιζοῖ καὶ κυοφορεῖ καὶ οὕτως αὐξάνον καὶ πρὸς τὴν ἐπιφάνειαν τῆς γῆς προκύπτον φανεροῦται τρεφόμενον καὶ εἰς καλάμην ὑψούμενον καὶ εἰς «στάχυν»[6] πλήρη καὶ κόκκον ἀποδίδωσιν, καὶ ὃν τρόπον τὸ κλῆμα ἐν τῇ ἀμπέλῳ κινούμενον πρῶτον ἔνδον ἐν τῇ καρδίᾳ κυοφορεῖ καὶ οὕτως εἰς φανέρωσιν προφέρει τὸ συλληφθὲν καρποφορούμενον καὶ τὸν οἶνον «ἐν καιρῷ»[7] ἀποδίδωσι—τὸν αὐτὸν τρόπον καὶ οἱ Χριστιανοὶ οἱ ἀπὸ τοῦ νῦν σπαρέντες καὶ ἀπὸ τοῦ νῦν φυτευθέντες ἐν τῇ ἐπουρανίῳ ἀμπελῶνι ῥίζας γλυκυτάτας εἰς τὴν γῆν τῆς καρδίας πήξαντες οὐ δύνανται ἀποκρύψαι τοὺς καρπούς, ἀλλὰ τὸ ἔνδον συλληφθὲν ἐν τῇ ἡμέρᾳ τῆς ἀναστάσεως συμπεριλάμψει καὶ τὸ σῶμα καὶ αὐτὸ εὐφραῖνον καὶ χαροποιοῦν. Οὕτω πάλιν καὶ τὰ τῶν ἁμαρτωλῶν ἔργα φανεροῦνται. Ὥσπερ

---

1. Φιλιπ. 3,21. 2. Πρβλ. Ἐφ. 5,14. 3. Ἐφ. 5,13. 4. Ἑβρ. 4,13. 5. Πρβλ. Ματθ. 13,43. 6. Πρβλ. Μάρκ. 4,28. 7. Πρβλ. Λουκ. 20,10.

δὲ σώφρων παρθένος εἰς πορνείαν ἐμπεσοῦσα καὶ συλλαβοῦσα καὶ κρύπτειν σπεύδουσα τὴν δυσώδη αὐτῆς ἀκολασίαν οὐ δύναται λαθεῖν, τὸ γὰρ ἔμβρυον εἰς τελείαν **9** σύμπηξιν ἐλθὸν πρόεισιν ἐλέγχον τῆς τεκούσης τὴν παρανομίαν, οὕτω καὶ οἱ ἐν τῇ καρδίᾳ συλλαμβάνοντες τὴν ἁμαρτίαν καὶ γεννήσαντες τέκνα ἀνομίας οὐ δύνανται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐκφυγεῖν τὸ φοβερὸν καὶ ἄφατον πῦρ, ἀλλ' αἱ ψυχαὶ καὶ τὰ σώματα αὐτῶν ὁμοῦ καταδικάζονται.

Γ'. Τοῦτο οὖν ἐστι τὸ ζητούμενον, ἵνα ἀπὸ τοῦ νῦν σπουδάσωμεν εἰς τὸν ὀλίγον καιρὸν τοῦτον καταξιωθῆναι ὑποδέξασθαι καὶ συλλαβεῖν ἐν ταῖς καρδίαις ἡμῶν τὸ Ἅγιον Πνεῦμα τοῦ Θεοῦ, ἵνα δι' αὐτοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ τὰ σώματα ἡμῶν ἐνδυθῇ δόξαν καὶ ἀνάπαυσιν, ἀποκαθιστᾷ γὰρ αὐτοὺς εἰς αἰῶνα καινὸν καὶ ἄφθαρτον, κτίζων αὐτοῖς «οὐρανὸν καινὸν καὶ γῆν καινὴν»[1] καὶ φωστῆρας νέους, καὶ δίδωσιν αὐτοῖς τὴν ἰδίαν εἰκόνα καὶ πᾶσαν «τὴν ἐπαγγελίαν»[2] «τῆς κληρονομίας». Καὶ οἱ τοιοῦτοί εἰσι λίθοι τίμιοι[3] καὶ μαργαρῖται ἐπίλεκτοι ἑστῶτες κατενώπιον τῆς θεότητος· οἱ γὰρ δίκαιοι λίθοι ἐκλήθησαν τίμιοι καὶ ἀετοὶ[4] καὶ περιστεραί[5]. Ὁ δὲ ἀρχιτέκτων Χριστὸς λύει οἰκοδομὰς σκότους τῶν πονηρῶν διαλογισμῶν, περὶ ὧν εἴρηται· «λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ»[6] (ταῦτα γὰρ εἰσιόντα ὡς ἐν ἐρήμῳ ὠρύονται ἐν ταῖς καρδίαις ἡμῶν) καὶ καθελὼν τίθησι τὸν θεμέλιον καὶ τὴν ἰδίαν πέτραν καὶ κυλίων τοὺς λοιποὺς λίθους (λέγω δὴ τοὺς τῆς φύσεως λογισμοὺς) ἀναφέρει ἕως τοῦ ἄκρου οἰκοδομήματος τῶν ὑψωμάτων τοῦ οὐρανοῦ συναρμολογῶν τῷ ἁγίῳ σώματι τοῦ Χριστοῦ καὶ συνάπτων τῇ οἰκοδομῇ τῶν ἁγίων ἀποστόλων. Ἐκ δύο δὲ οὐσιῶν σύγκειται ἡ θεία οἰκοδομή· ἀνάγει αὐτὸς πρῶτον τὸν ἔσω ἡμῶν ἄνθρωπον εἰς τὴν οἰκοδομὴν τοῦ σώματος[7] αὐτοῦ καὶ ἀγγέλων καὶ πνευμάτων ἁγίων τετελειωμένων καὶ αὖθις αὐτὸς ἄνωθεν κάτεισι πρὸς τοὺς ἐπιγείους καὶ φωλεύει σκηνὴν ἑαυτῷ πήξας ἐνταῦθα καὶ ἐπιλεξάμενος ἑαυτῷ τόπον καταμένει.

Δ'. Ὥσπερ δὲ οἱ τῆς αἰσθητῆς ὄψεως ὀφθαλμοὶ ὁρῶσι τὸν αἰσθητὸν **10** ἥλιον, οὕτω δεῖ τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς ὁρᾶν τὸ νοερὸν φῶς τοῦ ἡλίου τῆς «δικαιοσύνης»[8] καὶ ὥσπερ αἱ χελιδόνες κατὰ τὸν τοῦ χειμῶνος καιρὸν ἀναχωρήσασαι, ὅτε οὐ δύνανται φέρειν τῶν ἀέρων τὴν τραχύτητα καὶ τῶν πάγων τὴν σκληρότητα, ἐν τῷ τοῦ ἔαρος καιρῷ ἐπανερχόμεναι, ὅτε εὔδιον καὶ γαληνιῶντα εὑρίσκουσι τὸν ἀέρα θερμαινομένης ὅλης λοιπὸν τῆς γῆς, ἐλθοῦσαι δὲ ὡς εἰς ἰδίους οἴκους εἰσίασιν εἰς τοὺς οἴκους τῶν ἀνθρώπων καὶ ἀδεῶς εἰσπηδῶσαι καὶ καλιὰς αὐταῖς οἰκοδομήσασαι νοσσοποιοῦσι καὶ ὡς ὡραῖα λαλοῦσι ταῖς τῆς φύσεως φωναῖς—οὕτω καὶ ὁ κύριος παραγενάμενος εἰς τοὺς οἴκους τῶν

---

1. Ἀποκ. 21,1. Πρβλ. Ἡσ. 65,17. 2. Πρβλ. Ἑβρ. 9,15. 3. Πρβλ. Α' Κορ. 3,12. 4. Πρβλ. Ματθ. 24,28. 5. Πρβλ. Ματθ. 10,16. 6. Β' Κορ. 10,4. 5. 7. Πρβλ. Ἐφ. 4,12. 8. Πρβλ. Μαλ. 3,20.

ψυχῶν ἡμῶν ἀναπαύεται εἰς τὴν καλιὰν τῆς καρδίας ἡμῶν κἀκεῖ οἰκεῖ, παρερχομένων λοιπὸν τῶν κυμάτων καὶ τοῦ ἀγρίου χειμῶνος καὶ τοῦ σκότους, κἀκεῖ αὐτοῦ λάμπουσιν αἱ ἀκτῖνες φωτὸς ἡδυτάτου γέμουσαι, εἰρήνης βαθείας ἐπεισελθούσης τῷ τοιούτῳ οἴκῳ. Ἐν τῷ καιρῷ τοίνυν τοῦ ἔαρος, ἐγγιζούσης λοιπὸν καὶ ἐγχρονιζούσης τῆς θέρμης τοῦ ἡλίου ἡ γῆ θάλλει κινουμένη σὺν πᾶσι τοῖς ἐν αὐτῇ καρποῖς καὶ φυτοῖς· ἄμπελοί τε γὰρ καὶ πάντα τὰ ξύλα τοῦ δρυμοῦ καὶ ἄρουραι δασύνονται κατασκιαζόμεναι τοῖς ἀνθηροῖς φύλλοις καὶ κοσμούμεναι τοῖς φαιδροῖς ἄνθεσιν. Ἔτι μὴν καὶ τὰ ἄλογα τῶν ζῴων καρποφορεῖ ἐκ τῆς γαστρὸς προφέροντα τὰ ἔμβρυα, ὥστε εἶναι λοιπὸν καὶ νέα σώματα ἀρνίων τε καὶ τῶν ἄλλων ζῴων καὶ καρδίας ἀκάκους καὶ ἀφελεῖς τῶν ἀρτιγενῶν παίδων καὶ πάντα δὲ σχεδὸν τὰ πρὸ βραχέως στυγνάζοντα καὶ συνεσταλμένα καὶ ἀκίνητα καὶ ἄκαρπα νῦν μεταβέβληται καρποφοροῦντα καὶ κινούμενα καὶ τρεφόμενα. Ἥ τε γὰρ ὑπὸ τοῦ κρύους συμπεμπηγμένη γῆ διαλυθεῖσα καταλάμπεται ταῖς ποικίλαις τῶν ποῶν βοτάναις καὶ τὰ ἔρημα ὄρη ταῖς χλοαῖς ἐνδυθέντα ἀποβάλλει τὴν ἀγριότητα καὶ πᾶσαι αἱ πηγαὶ πλουτήσασαι τῇ προσθήκῃ τοῦ ὕδατος ἡδὺ καὶ διειδὲς προχέουσι νᾶμα, σκιρτᾷ δὲ καὶ ἀγαλλιᾷ πᾶν γένος ζῴων πετεινῶν καὶ τετραπόδων συμμεταβαλλόμενα τῷ ἡδυτάτῳ καὶ εὐκραεῖ καιρῷ καὶ ἀφθόνως τρεφόμενα χαίρει.

11 Ε'. Ταῦτα δὲ πάντα τύποι εἰσὶ τῶν πνευματικῶν καὶ νοερῶν πραγμάτων, ἀπὸ γὰρ τῆς δεινῆς ἀχλύος καὶ τῶν πικρῶν ἀνέμων συνδεδεμένος καὶ πεπεδημένος καὶ ἄκαρπός ἐστιν ὁ νοῦς καὶ πάντες οἱ λογισμοὶ δεδουλωμένοι ἐν λύπῃ εἰσὶ πολλῇ· πολλοὶ γὰρ ἐκεῖ ἀνέρχονται διαλογισμοὶ ξένοι τῆς φύσεως καὶ ἕκαστος διαλογισμὸς κακὸς ἐκ τοῦ σατανᾶ ἐστιν. Ἐν δὲ τῷ «καιρῷ» τῆς «ἐπισκέψεως»[1] τοῦ Πνεύματος τοῦ Ἁγίου πολλή τις γίνεται μεταβολὴ καὶ ἀλλαγή. Ἄρχεται γὰρ ὁ νοῦς ἐξανθεῖν καὶ καρποφορεῖν καρποὺς πνευματικοὺς ἐκ τῆς γῆς τῆς καρδίας, οἱ τρίβολοι καὶ οἱ φραγμοὶ καὶ οἱ πονηροὶ δαίμονες διαρρήγνυνται ὑπὸ τῆς δυνάμεως τοῦ Ἁγίου Πνεύματος. Ἄρχεται δὲ καὶ αὐτὴ ἡ καρδία κινεῖσθαι καὶ συλλαμβάνειν τὸν οὐράνιον σπόρον καὶ γεωργεῖσθαι ὑπὸ τοῦ ἀληθινοῦ γεωργοῦ. Πολλὴ γαλήνη ἐκεῖ, πολλὴ εἰρήνη καὶ μακάριοι οἱ ἐπισκεφθέντες καὶ γεωργηθέντες ὑπὸ τοῦ Ἁγίου Πνεύματος. Ὥσπερ δὲ οἱ περιστεραὶ ἐπὶ τὰς θυρίδας τρέχουσαι τὴν νοσσιὰν καταλαμβάνουσιν, οὕτως οἱ δίκαιοι ἐπὶ τὴν δόξαν τοῦ σώματος τοῦ Χριστοῦ τρέχουσιν εἰς τὴν κατάπαυσιν («ὅπου» γὰρ «τὸ πτῶμα, ἐκεῖ καὶ οἱ ἀετοὶ συναχθήσονται»)[2]. Αὐτῷ ἡ δόξα.

ΟΜΙΛΙΑ Γ' (=Ξ')

12 Α'. Ξύλον ἄνοπλον, σταυρὸς ἄνευ σιδήρου καὶ σῶμα νεκρὸν ἐνίκησε καὶ ἐθανάτωσε τὸν διάβολον καὶ τοὺς ἀγγέλους αὐτοῦ[3]· διὰ

1. Πρβλ. Ἱερ. 28,18. 2. Ματθ. 24,28. 3. Πρβλ. Ματθ. 25,41.

γὰρ τῆς ἰδίας αὐτοῦ πανοπλίας <«ἰσχυρότερος»>[1] τὸν ἰσχυρὸν ὁπλίτην ἐθανάτωσε νικήσας. Καὶ νῦν δὲ πρὸς πᾶσαν ψυχὴν ζητοῦσαν αὐτὸν ἐξ ἀληθείας ἔρχεται καὶ πλησιάζων τῇ ψυχῇ συντρίβει καὶ ἀναιρεῖ τὴν δύναμιν τοῦ σκότους τὴν φυλακήσασαν καὶ πεδήσασαν τὴν ψυχήν. Τοσοῦτον δὲ πόθον καὶ τοσοῦτον ἔρωτα ὀφείλει ἔχειν ἡ ψυχὴ πρὸς τὸν ἡρμοσμένον αὐτῇ νυμφίον Χριστόν, ὅσον γυνὴ σώφρων καὶ φίλανδρος ὁρῶσα πολλάκις τὸν ἄνδρα ἐν φυλακῇ ἢ ἐν δεσμοῖς ἢ ἐν ἑτέρᾳ κολάσει διὰ τὴν πρὸς αὐτὸν ἀγάπην συνδεδέσθαι καὶ συμπάσχειν δοκεῖ καὶ μᾶλλον αἰκίζεται βασανιζομένη τοῖς σπλάγχνοις ἢ ὁ κατεχόμενος. Καὶ ὃν τρόπον Μαρία τοῦ Κυρίου σταυρουμένου παρεστῶσα[2] ἐδάκρυε κλαίουσα διὰ τὸ τοῦ πόθου κέντρον καὶ συσταυροῦσθαι ἐδόκει, οὕτω καὶ ψυχὴ ἡ ἀγαπήσασα τὸν Κύριον καὶ ζῆλον φίλτρου ἀναλαβοῦσα καὶ σπεύδουσα ἐν ἀληθείᾳ συνάπτεσθαι τῷ ἑαυτῆς νυμφίῳ Χριστῷ ὀφείλει συμπάσχειν τοῖς παθήμασιν αὐτοῦ, πρὸ ὀφθαλμῶν ἀεὶ ἔχουσα καὶ μεμνημένη τῶν στιγμάτων αὐτοῦ τῶν δι' αὐτὴν γενομένων, ὅσα δι' αὐτὴν πέπονθεν ὁ ἀπαθὴς καὶ πῶς δι' αὐτὴν ἐκολάσθη ὁ πάσης ἀνώτερος κολάσεως καὶ πῶς «ἐν μορφῇ Θεοῦ» ὢν «μορφὴν δούλου»[3] ἀνέλαβεν καὶ οὕτως ἐν πᾶσι συμπάσχειν[4] καὶ συνδεδέσθαι αὐτῷ·
13 οὕτω γὰρ καὶ συνδοξασθήσεται. Καὶ ὡς τότε τῇ δυνάμει τοῦ Θεοῦ ὁ λίθος ἀπεκυλίσθη τοῦ μνημείου[5] καὶ εἶδε Μαρία τὸν Κύριον[6], οὕτω δυνάμει καὶ ἐπισκέψει τοῦ Ἁγίου Πνεύματος ὁ λίθος ὁ ἐπικείμενος τῇ ψυχῇ, «τὸ κάλυμμα»[7] τῆς ἁμαρτίας, ἀποκυλίεται καὶ ἐκ μέσου αἴρεται καὶ καταξιοῦται ἡ ψυχὴ τὸ πρόσωπον τοῦ Χριστοῦ ἰδεῖν καὶ ἀναπαῆναι ἐν τῷ πνεύματι αὐτοῦ λυθεῖσα καὶ ἐλευθερωθεῖσα τοῦ ἐπικειμένου λίθου τῆς ἁμαρτίας. Πᾶσα γὰρ ψυχὴ ἀγαπῶσα τὸν Κύριον θλίβεται ὑπὸ τῶν πονηρῶν δαιμόνων πολεμούντων αὐτὴν καὶ μὴ ἐώντων προσελθεῖν τῷ ζωοποιῷ Χριστῷ. Τοῦτο δὲ κατὰ συγχώρησιν καὶ ἐπιτροπὴν Θεοῦ γίνεται· δοκιμάζει γὰρ αὐτήν, εἰ ἀληθῶς ἀγαπᾷ τὸν δεσπότην, εἰ παραμένει τῇ προθέσει καὶ τῶν πόνων ὀχλούντων, εἰ μήποτε ὀκνήσασα ἀπείπηται αὐτὸν παραιτουμένη τὸν τῆς ὁδοῦ κόπον καὶ τὸν «πρὸς τὰ πνευματικὰ τῆς πονηρίας»[8] πόλεμον ἀποφεύγουσα, παραμείνασα δὲ καὶ πολυετῆ χρόνον διατρίψασα τοῖς πειρασμοῖς τῆς κακίας, ἐν παρρησίᾳ κρίνεται πρὸς τὸν Κύριον ὡς ἐγκαταλελειμμένη καὶ μηδεμιᾶς ἀξιωθεῖσα βοηθείας.

Β'. Καὶ ὁ Κύριος τὸ ἀνδρεῖον τῆς ψυχῆς καὶ τὴν ἐν τοῖς πειρασμοῖς ὑπομονὴν θεασάμενος καὶ ὅτι πειραζομένη δόκιμος εὑρέθη, ἐπιφαίνεται τῇ χρηστότητι αὐτοῦ, ἐμφανίζων ἑαυτὸν καὶ καταλάμπων αὐτὴν τῷ ὑπερλάμπρῳ αὐτοῦ φωτὶ καὶ προσκαλούμενος αὐτὴν πρὸς ἑαυτὸν λέγει· «ἐλθὲ» ἐν εἰρήνῃ «ἡ πλησίον μου»[9] καὶ αὐτὴ δὲ προσδραμοῦσα

1. Πρβλ. Λουκ. 11,21. 22. 2. Πρβλ. Ἰω. 19,25. 3. Πρβλ. Φιλιπ. 2,6. 7. 4. Πρβλ. Ρωμ. 8,17. 5. Πρβλ. Ματθ. 28,2. 6. Πρβλ. Ἰω. 20,14. 7. Πρβλ. Β' Κορ. 3,15. 16. 8. Ἐφ. 6,12. 9. Πρβλ. Ἀσμ. 2,10.

αὐτῷ ἐγκαλεῖ αὐτῷ καί φησιν· διὰ τί, Κύριε, τοσοῦτον χρόνον ἐγκατέλιπές με πολλὰ πάσχουσαν καὶ ὑβριζομένην ὑπὸ τῶν ἐχθρῶν; «Εὗρόν με» γὰρ ζητοῦσάν σε «οἱ φύλακες» τῆς νυκτὸς οἱ περικυκλοῦντες τὴν πόλιν[1] καὶ ἠνώχλησαν. Ὁ δὲ Κύριος φωτὸς ἀρρήτου πλήρης ἀποκρίνεται ἀναπείθων καὶ παρακαλῶν καὶ λέγων πρὸς αὐτήν· καλῶς λέγεις, «ἐλθὲ ἐν εἰρήνῃ «ἡ πλησίον μου, καλή μου, περιστερά μου»[2]. Κρίνεται δὲ μετ' αὐτῆς δεικνύων αὐτῇ τοὺς τύπους τῶν ἥλων καὶ λέγων· ἴδε οἱ τύποι τῶν ἥλων, ἴδε αἱ μάστιγες, ἴδε τὰ ἐμπτύσματα, ἴδε τὰ τραύματα. Ταῦτα πάντα διά σε πέπονθα τὴν πολλοῖς τραύμασιν τραυματισθεῖσαν[3] καὶ ὑπὸ πολλῶν ἐχθρῶν ἑλκομένην ἐν πολλῇ δουλείᾳ· κἀγὼ τῇ ἐμῇ φιλανθρωπίᾳ **14** ἦλθον ἐπὶ τὴν σὴν ζήτησιν καὶ ἐπὶ τὴν σὴν ἐλευθερίαν, ἐπειδὴ ἀπ' ἀρχῆς εἰκόνα ἐμὴν ἐποίησά σε καὶ εἰς ἐμὴν νύμφην ἔκτισά σε καὶ διά σε πέπονθα ὁ ἀπαθὴς καὶ ὁ ἀνύβριστος πολλὰς ὑπήνεγκα ὕβρεις διὰ τὴν σὴν ἀπολύτρωσιν. Σὺ δὲ διὰ σεαυτήν, τὴν τοσαῦτα κακὰ ἔχουσαν καὶ εἰς τοσοῦτον σκότος βεβυθισμένην, οὐκ ὤφειλες παθεῖν καὶ θλιβῆναι; Κρινόμενος δὲ εἰρηνικῶς καὶ προσδιαλεγόμενος τῇ ψυχῇ ἀποδείκνυσιν, ὅτι καὶ τὸ ὑπομεῖναι αὐτὴν θλιβομένην αὐτὸς ἔδωκεν αὐτῇ καὶ αὐτὸς ἐνεδυνάμου ἐν τοῖς πειρασμοῖς καὶ παρεθάρσυνε κρυπτῶς.

Γ'. Ἀκούσασα δὲ ταῦτα ἡ ψυχὴ γινώσκει, ὅτι οὐδὲν ἴδιον ἔσχεν, ἀλλὰ πάντα τὰ τοῦ κυρίου τοῦ καλοῦ καὶ ὡραίου νυμφίου[4]. Αὐτὴ δὲ τὴν πρόθεσιν καὶ τὴν ἀγάπην καὶ τὸ θέλημα, ὃ ἔδωκεν αὐτῇ, ἐξ ὅλης καρδίας καταγνοῦσα ἀποκρίνεται καὶ λέγει· ἴδε Κύριε, ἴδε σῶμα ἁγνόν, ἴδε ψυχὴν καθαράν, ἀπόλαβέ με ὅλην ὑπὸ τὴν σὴν δεξιὰν σκεπομένην[5] καὶ ἐν τοῖς σοῖς κόλποις ἀναπαυομένην. Δείκνυσιν αὐτῇ ἑαυτὸν ὁ Κύριος ἐν δυσὶ προσώποις, ἔν τε τοῖς στίγμασιν αὐτοῦ καὶ ἐν τῇ δόξῃ τοῦ φωτὸς αὐτοῦ καὶ θεωρεῖ ἡ ψυχὴ τὰ πάθη, ἃ ὑπὲρ αὐτῆς ἔπαθεν, θεωρεῖ δὲ καὶ τὴν ὑπέρλαμπρον δόξαν τοῦ ἐνθέου φωτὸς αὐτοῦ[6], «τὴν αὐτὴν εἰκόνα» μεταμορφουμένη «ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος» καὶ ἐν ἀμφοτέροις τοῖς προσώποις προκόπτουσα, ἔν τε τῷ τοῦ πάθους καὶ ἐν τῷ τοῦ ἐνδόξου φωτός, τρόπον τινὰ λήθην λαμβάνει τῆς φύσεως καταλαμφθεῖσα ὑπὸ τοῦ θεοῦ καὶ συγκραθεῖσα καὶ μιγεῖσα τῷ ἐπουρανίῳ ἀνθρώπῳ[7] καὶ τῷ Πνεύματι τῷ Ἁγίῳ, πνεῦμα καὶ αὐτὴ γεναμένη. Ὡς γάρ τις προσαίτης καὶ σφόδρα πενόμενος καὶ θύραν ἐκ θύρας ἀμείβων« τῆς ἐφημέρου τροφῆς»[8] ἕνεκεν, ἀθρόως ἐκ τοῦ αἰφνιδίου βασιλεύσας ἐπιλανθάνεται τῆς πτωχείας διὰ τὴν ἐν χερσὶν εὐδαιμονίαν, οὕτως ἡ ψυχὴ πλουτήσασα πλοῦτον ἐπουράνιον οὐκέτι μνημονεύει τῆς πρώτης πενίας. Εἰ γὰρ ὁ Χριστὸς φύσει «ἐν μορφῇ θεοῦ ὢν»[9] τρόπον τινὰ ἐπελάθετο τοῦ ἀξιώματος

---

1. Ἀσμ. 5,7. 2. Ἀσμ. 2,10. 3. Πρβλ. Ἀσμ. 5,7. 4. Πρβλ. Ἀσμ. 1,16. 5. Πρβλ. Ἀσμ. 2,6. 6. Β' Κορ. 3,18. 7. Πρβλ. Α' Κορ. 15,47. 48. 8. Πρβλ. Ἰακ. 2,15. 9. Φιλιπ. 2,6.

«μορφὴν δούλου λαβὼν καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος»[1], πόσῳ μᾶλλον ἡ ψυχὴ οὐσίαν καὶ δύναμιν καὶ φύσιν θεοῦ προσλαβοῦσα ἐπιλαμβάνεται τῆς προτέρας αἰσχρότητος.

15 Δ'. Παρακαλέσωμεν οὖν τὸν Κύριον καὶ προσδοκήσωμεν αὐτὸν ἐν ἀγάπῃ ἐπιφανῆναι καὶ λυτρώσασθαι ἡμᾶς ἀπὸ τοῦ νῦν ἐκ τοῦ σκότους, ἵνα οὕτως ἐν τῇ ἀναστάσει καὶ τὸ σῶμα τῆς ἀσθενείας ἀπὸ τοῦ ἐγκαθέτου καὶ ἐλλάμψαντος τῇ ψυχῇ φωτὸς λάμψῃ καὶ αὐτὸ συνδοξαζόμενον τῇ ψυχῇ. «Ὁ κύριος ἐγγύς»[2] ἡμῶν ἐστι, μόνον ἡμεῖς ἐν ἀληθινῇ καρδίᾳ ζητήσωμεν αὐτόν. Πᾶς οὖν ὁ ἀκούων τοὺς λόγους ἐλπιζέτω δέξασθαι τὸν ἐν ὑποστάσει ὄντα λόγον καὶ παρ' αὐτοῦ μαθεῖν πᾶσαν δικαιοσύνην. Ὅρα δέ, ὦ οὗτος, ὁ Θεὸν ἐλπίζων κληρονομῆσαι καὶ τὴν ψυχὴν τῷ πνεύματι τοῦ κυρίου συγκραθῆναι, ὁποίαν σε χρὴ πολιτείαν καὶ σεμνότητα βίου ἀναδέξασθαι καὶ ἐν ποίᾳ πολιτείᾳ διάγειν σε καὶ ἀναστρέφεσθαι χρή· ταῦτα γὰρ πάντα ὅση δύναμις ἀφ' ἑαυτοῦ ποιεῖν καὶ ἐπιδείκνυσθαι ὀφείλεις. Ἀμήν.

ΟΜΙΛΙΑ Δ' (=ΞΑ')

16 Α'. Ἔστι κόσμος ἀτελὴς καὶ ἔστι κόσμος τέλειος. Πολλὰ εἴδη ἔχει ὁ ἀτελὴς καὶ παρερχόμενος ὅμοια τοῦ τελείου καὶ αἰωνίου. Ἔστιν ἐνταῦθα παλάτιον καὶ βασιλεὺς ἐνδεδυμένος πορφύραν καὶ στέφανον ἐκ λίθων τιμίων συγκείμενον καὶ οἱ διάκονοι αὐτοῦ καὶ οἱ ὑπερασπισταί, οἱ μὲν ἐν αὐτῷ διατρίβοντες τῷ παλατίῳ, οἱ δὲ κόμητές εἰσι καὶ ἄλλοι ἄλλου ἀξιώματος, ἐνδεδυμένοι καὶ αὐτοὶ ἐσθῆτα λαμπρὰν καὶ ἔντιμον. Ἔστιν ἐν οὐρανῷ παλάτιον καὶ ὁ βασιλεὺς Χριστὸς ἐνδεδυμένος τὴν βασιλικὴν πορφύραν. Στρατεύονται ἐκεῖ παλατινοὶ καὶ κόμητες καὶ ἀξιωματικοί, καὶ αὐτοὶ τὴν ἴσην ἐνδεδυμένοι δόξαν καὶ στεφάνους περικείμενοι ἐκ λίθων τιμίων (ἔθου γὰρ «ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθων τιμίων»[3]). Εἰσὶν ἐν τῇ γῇ ταύτῃ πολεμισταὶ καὶ στρατηγοὶ πολλοὺς διελθόντες ἀγῶνας καὶ πολλοὺς νικήσαντες πολέμους καὶ μυρία κατὰ τῶν πολεμίων ἄραντες τρόπαια. Εὑρίσκονται καὶ ἐνταῦθα ἀνδρεῖοι πολλοὶ καὶ πολεμισταὶ νικήσαντες τὸν διάβολον καὶ τοὺς ἀγγέλους αὐτοῦ[4] καὶ εἰς προκοπὰς ἐλθόντες. Εἰσὶν ἐν τῷ φαινομένῳ τῶν Ῥωμαίων παλατίῳ ἄνδρες ἔντιμοι, παντὸς θορύβου καὶ ἀγῶνος ἀπηλλαγμένοι, ὑπὸ μηδενὸς ἀναγκαζόμενοι ὅπλα βαστάζειν ἢ εἰς παράταξιν εἰσιέναι, οἱ λεγόμενοι βασιλικοὶ εὐνοῦχοι, ὑπὸ παντὸς ἀνθρώπου τιμώμενοι καὶ ὑπ' αὐτοῦ τοῦ βασιλέως ἀγαπώμενοι, βαστάζοντες καὶ ἐμπεπιστευμένοι τὴν πορφύραν, οἱ δὲ τὸ διάδημα, ἄλλοι δὲ ἄλλο τι ἔντιμον καὶ βασιλικόν, εἰσὶ δὲ καὶ ἐν τοῖς οὐρανοῖς τετιμημένοι ὑπὸ τοῦ ἐπουρανίου βασιλέως ἄνδρες, οἱ ἀληθινοὶ εὐνοῦχοι[5] οἱ **17** εὐνουχισθέντες καὶ

---

1. Φιλιπ. 2,7. 2. Πρβλ. Φιλιπ. 4,5. 3. Ψαλ. 20,4. 4. Πρβλ. Ματθ. 25,41. 5. Πρβλ. Ματθ. 19,12.

καθαρθέντες ἐκ τοῦ πολέμου τῆς ἁμαρτίας· τούτοις πατρίδες ἐνεπιστεύθησαν εὐλογημέναι ἔχουσαι εἰρήνην καὶ ἀνάπαυσιν, καὶ ἐπάνω εἰσὶ τεταγμένοι τῆς βασιλικῆς πορφύρας καὶ τῶν ἐπουρανίων θησαυρῶν· οὗτοι παντάπασιν ἠλευθέρωνται τοῦ πολέμου ἐν ἀμεριμνίᾳ λοιπὸν διάγοντες. Εἰσὶν ἐκεῖ τεχνῖται καὶ σοφοὶ καὶ πάλιν ἐνταῦθά εἰσι σοφοὶ σοφισθέντες τῇ σοφίᾳ τῇ πνευματικῇ ὑπὸ τοῦ πανσόφου Χριστοῦ, <οἷς> ἐστιν ἐνδύματα φωτεινὰ καὶ πλοῦτος πνευματικὸς ὁ μηδέποτε παρερχόμενος. Καὶ διὰ τοῦτο τὸ ἔργον τῶν Χριστιανῶν τιμιώτερόν ἐστι πάσης ἐπινοίας καὶ παντὸς ἐπιτηδεύματος σαρκικοῦ. Ἐργάζονται γὰρ ἔργον θεϊκὸν ὃ ὁ κόσμος οὐκ οἶδεν.

Β΄. Νοῦς νοὸς διενήνοχε καὶ ἄνθρωπος ἀνθρώπου τιμιώτερος. Καὶ πάντα μοι τὰ ὁρώμενα πράγματα ἀντικείμενα καὶ ξένα τῶν νοητῶν καταφαίνεται. Ἔστι γὰρ νοῦς διοδεύων καὶ τρέχων ἕως τοῦ οὐρανοῦ καὶ βαδίζων διὰ τῆς ὁδοῦ τῶν καθαρῶν αὐτοῦ λογισμῶν καὶ δι' αὐτῆς φθάνων τὰς ἀτραποὺς καὶ τὰς ὁδοὺς τὰς εὐτρεπισμένας τοῖς ἁγίοις ἐν τοῖς ἐπουρανίοις. Καὶ ἔστιν ἕτερος νοῦς ἕρπων ἐπὶ τῆς γῆς καὶ ἐν ταῖς ὁδοῖς τῆς σαρκὸς κυλιόμενος. Ἔστι νοῦς σαρκικὸς καὶ ἔστι νοῦς πνευματικός. Πολὺ δὲ τοῦ σαρκικοῦ ὁ πνευματικὸς νοῦς διενήνοχεν. Ὡς γὰρ τὰ πτερωτὰ τῶν ζῴων κούφῳ τῷ πτερῷ ἐπαιρόμενα τὸν ἐν μέσῳ διαπερᾷ ἀέρα ὑπὸ τῶν πτερύγων βοηθούμενα καὶ ὑπ' αὐτοῦ τοῦ ἀέρος κουφιζόμενα (πτερυσσόμενα γὰρ ὥσπερ ἄνεμόν τινα προσλαμβάνονται ὑποβαστάζοντα καὶ συνεργοῦντα τῇ πτήσει), τὰ δὲ ἄπτερα καὶ χαμαὶ κείμενα κἂν παρῇ τῇ προθυμίᾳ εἰς ἀέρα ἐπαίρεσθαι οὐκ ἰσχύουσιν—οὕτως ὁ καθαρεύσας νοῦς καὶ πτέρυγας πνευματικὰς προσλαβόμενος ὁρμῇ ὀξυτάτῃ χρώμενος ἄνεισιν εἰς τὸν οὐρανόν, εἰς τὸν ἀέρα τῆς θεότητος ἀναλαμβανόμενος, ὁ δὲ θηριώδης καὶ ἄγριος καὶ ὑλικὸς νοῦς εἰς γῆν κυλινδούμενος ἕρπει τὰς ἐρήμους μεταδιώκων, μὴ δυνάμενος καταλαβεῖν ἢ γνῶναι τὸν προειρημένον νοῦν. Ἔστι γένη δένδρων ἃ οὔτε ἐν θέρει οὔτε ἐν χειμῶνι φυλλορροεῖ, ἀλλὰ πάντοτε περιβέβληται καὶ κεκόσμηται τοῖς ἄνθεσιν ὡς ἐλαία καὶ κυπάρισσος καὶ τὰ ὅμοια καὶ πάλιν ἕτερά ἐστι γυμνούμενα καὶ ἀποβάλλοντα ἐν χειμῶνι τὰ φύλλα. Ἔοικε τὸ ὑπόδειγμα τοῖς Χριστιανοῖς· δένδρα[1] γὰρ προσηγορεύθησαν ὑπὸ τῆς γραφῆς καὶ οὐδέποτε ἀποβάλλουσι[2] τὸν **18** κόσμον καὶ τὴν εὐπρέπειαν τῶν φύλλων, οὐκ ἀνέμων ἀγρίων κινουμένων, οὐκ αὐχμῶν θερινῶν καταλαβόντων, ἀλλὰ πάντοτε ἐνδέδυται τὴν δόξαν τοῦ πνεύματος. Τοῦτό ἐστι τὸ εἰρημένον· «ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται»[3] καὶ εἰσὶν ἕτεροι κουφότερον νοῦν ἔχοντες, οἵτινες διὰ τὴν περικειμένην ἀσθένειαν ἐπερχομένων τῶν πειρασμῶν καὶ χειμώνων καὶ ἀνέμων οὐκ ἀνθίστανται οὔτε ὑπομένουσιν.

Γ΄. Οἱ οὖν πνευματικοὶ κατὰ τὸ φρόνημα ἐχθροί εἰσιν τῶν σαρκι-

1. Πρβλ. Ματθ. 7,17. 12,33. 2. Πρβλ. Ψαλ. 1,3. 3. Αὐτόθι.

κῶν. Ὃν τρόπον γὰρ τὰ ἐν ὕδασι διαιτώμενα καὶ τρεφόμενα οὐ φέρουσι τὴν τῆς ἠπείρου ζωὴν ἀλλὰ διαφθείρονται τῶν ὑδάτων χωριζόμενα καὶ πάλιν τὰ τὴν γῆν νεμόμενα τὴν ἐν τοῖς ὕδασι διατριβὴν φεύγει τὴν ἐν τῷ βυθῷ μισοῦντα ζωήν, οὕτω καὶ οἱ Χριστιανοὶ ἐπασχολούμενοι καὶ ἑλκόμενοι εἰς τὰ τοῦ αἰῶνος τούτου πράγματα συνέχονται καὶ τρόπον τινὰ πνίγεσθαι δοκοῦσιν. Οὕτως οἱ σαρκικοὶ ἀναχωρήσαντες τῶν ὑλικῶν καὶ τοῖς πνευματικοῖς προσέχειν ἀναγκαζόμενοι ἰλιγγιῶσιν, συνεχόμενοι καὶ πνιγόμενοι. Διόπερ σπάνιοι πάνυ οἱ ἀνδρεῖοι καὶ «μέχρι τέλους»[1] ἐν ὑπομονῇ διανύοντες τὸ ἔργον αὐτῶν. Χρήζουσι δὲ οὗτοι πολλῆς ἀναιδείας καὶ ὀξύτητος πρὸς τὴν αἴτησιν τοῦ Θεοῦ «ἐν τῷ νῦν καιρῷ»[2]. Ὡς γὰρ τὰ ὀξύπτερα τῶν ὀρνέων κούφῳ τῷ πτερῷ χρώμενα ἐπάνω γίνονται τῶν παγίδων καταγελῶντα τῆς ἐπιβουλῆς τῶν θηρευόντων, οὕτω καὶ ὁ ἀγχίνους καὶ ὀξὺς τοῖς λογισμοῖς ἀποφεύγει τὰς ἐπιβουλὰς καὶ παγίδας τοῦ διαβόλου. Πολλὰ γὰρ πνεύματα συνέχουσι τὴν ψυχὴν καὶ ὅλα <τὰ> εἰς τὴν γῆν ἕρποντα πρὸς ἑαυτὰ ἕλκει καὶ ἀσχολεῖ καὶ ῥεμβάζει τὸν νοῦν. Διόπερ ὡς ἀληθὴς καὶ ἀγωνιστὴς ὀφείλει εἶναι ὁ Χριστιανός. Ὥσπερ δὲ ἄνθρωπος ξένος καὶ τῶν κατὰ πόλιν πραγμάτων ἄπειρος ἐπιδημήσας πόλει τινὶ ὀχλαγωγουμένῃ καὶ εὐθηνούσῃ ἐν πλήθει καὶ μὴ θαρρῶν ἑαυτοῦ τῇ ἀπειρίᾳ καὶ τῇ ἀσθενείᾳ δραμὼν ἐπιλαμβάνεταί τινος προστάτου ἐμπείρου δυναμένου ἐκβαλεῖν τὴν τῶν ὄχλων βίαν—οὗτος, ἕως μὲν κατὰ πόδας τρέχει τοῦ προηγουμένου ἀμετεωρίστως, εὐθεῖαν διανύει τὴν ὁδόν, μετεωριζόμενος δὲ καὶ τοῖς ἐν τῇ πόλει δήμοις διὰ νωχέλειαν περιφερόμενος μακρύνεται καὶ ἀφίσταται ζημιούμενος τὴν βοήθειαν. **19** Εἰ δὲ ἄρα σπουδάσει καὶ πόνων καταφρονήσει περιζωσάμενος ἐν ἰσχύι «τὴν ὀσφύν»[3], διαρρήσσει τὴν τῶν ὄχλων βίαν καὶ καταλαμβάνει τὸν προστάτην καὶ τῆς παρ' αὐτοῦ βοηθείας ἀξιοῦται. Τοῦτον ἔχουσι τὸν τρόπον καὶ αἱ ψυχαὶ τῶν ἀνθρώπων, πόλις Θεοῦ προσηγορεύθησαν[4] καὶ ἔχουσι νῦν ἐν ταῖς ἀγοραῖς ὄχλον πνευμάτων καὶ πλήθη διαλογισμῶν ἐν ταῖς πλατείαις τοῦ νοὸς καὶ τῆς καρδίας, προορῶσι δὲ τὸν ἑαυτῶν δεσπότην καὶ κηδεμόνα Ἰησοῦν Χριστὸν τὸν φρόνιμον καὶ δοτῆρα τῶν μεγάλων ἀξιωμάτων, διόπερ καὶ αὗται ἐν πολλῇ ἀναιδείᾳ καὶ ἀπονοίᾳ διασκεδάζειν καὶ διαρρήσσειν τὸν συνέχοντα τῶν ὄχλων θόρυβον ὀφείλουσιν. Οὕτω γὰρ δύνανται ὑπερισχύσασαι ἐλθεῖν πρὸς τοὺς εὐλογημένους κόλπους τοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ε′ (=ΞΒ′)

20 Α′. Οἱ ἀναχωρήσαντες τοῦ κόσμου καὶ γνησίως λόγον Θεοῦ ἐπακούσαντες καὶ σεμνῶς πολιτευόμενοι, ὄντες δὲ ἔτι ὑπὸ τὸ τῶν παθῶν

---

1. Πρβλ. Ἑβρ. 3,14. 2. Πρβλ. Ρωμ. 3,26. 3. Πρβλ. Ἐφ. 6,14. 4. Πρβλ. Ἀποκ. 3,12.

κάλυμμα, ὅπερ διὰ τῆς παρακοῆς τοῦ Ἀδὰμ πάντες ἐκτήσαντο (τοῦτ' ἔστι τὸ σαρκικὸν τῶν πονηρῶν λογισμῶν φρόνημα, ὅπερ θάνατον ὁ ἀπόστολος καλεῖ λέγων· «τὸ φρόνημα τῆς σαρκὸς θάνατος»[1]), οὗτοι οὖν ἐοίκασιν ἀνθρώποις ἐν νυκτὶ βαδίζουσιν· ὑπὸ γὰρ τῶν ἄστρων (τοῦτ' ἔστι τῶν ἁγίων γραφικῶν ἐντολῶν) καταυγαζόμενοι ὅμως ἐν νυκτί εἰσιν, τῇ ἀοράτῳ τῶν παθῶν ἐνεργείᾳ καὶ προσκόπτουσι καὶ πάντα ἀκριβῶς καθορᾶν οὐ δύνανται διὰ τὴν τοῦ σκότους τῶν παθῶν ἐνέργειαν. Διὸ χρὴ αὐτοὺς πόνῳ καὶ πολλῇ πίστει ἐν ἀρεταῖς διάγοντας δεηθῆναι πολὺ τοῦ ἐπουρανίου δεσπότου, ἵνα διαυγασάσης τῆς ἡμέρας τοῦ ἡλίου τῆς «δικαιοσύνης»[2] ἐν ταῖς καρδίαις αὐτῶν πάντα κατιδεῖν ἀκριβῶς δυνήσωνται καὶ τῶν νοητῶν θηρίων τὴν ποικίλην καὶ διάφορον βλάβην καὶ τῶν ἐν τῷ ἀφθάρτῳ κόσμῳ ἀπολαύσεων τὴν ἄρρητον ποικιλίαν τῶν ἀγαθῶν καὶ τὰ ἐξαίσια κάλλη, ἅπερ οἱ πνευματικοὶ καὶ τέλειοι ἄνδρες, οἷς ἐνεργῶς τὸ νοητὸν φῶς ἐν ταῖς καρδίαις διηύγασεν, γνωρίζουσιν ἐν ἀληθινῇ διακρίσει καὶ τῶν κρειττόνων τὰς ἀρετὰς καὶ τῶν χειρόνων τὴν δεινότητα κατὰ τὴν ἑκάστου διάφορον ἐνέργειαν, καθὼς ὁ μακάριός φησι Παῦλος· «τελείων ἐστὶν ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ **21** τε καὶ κακοῦ»[3], καὶ ὁ μακάριος δὲ Πέτρος λέγει· «καὶ ἡμεῖς ἔχομεν τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες ὡς λύχνῳ φαινομένῳ ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν»[4], καὶ ἀλλαχοῦ· «ὑμῖν» δὲ «τοῖς φοβουμένοις» τὸν Κύριον «ἀνατελεῖ ἥλιος δικαιοσύνης καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτῶν»[5]. Οἱ δὲ τῷ κόσμῳ ἐμπεφυρμένοι πολλοὶ ἐοίκασιν ἀνθρώποις περιπατοῦσιν ἐν νυκτὶ ζοφερᾷ νεφέλαις καὶ ὁμίχλῃ πεπληρωμένῃ, ἐν ᾗ οὔτε ὀλίγον αὖγος φωτὸς ἄστρου λάμπει (τοῦτ' ἔστι λόγου θείου τὴν ψυχὴν διαυγάζοντος), ὡς ἐοικέναι αὐτοὺς σχεδὸν τυφλοῖς. Οὕτως οἱ τὸ ὅλον ἐν ταῖς ὑλικαῖς περιπλοκαῖς ἐμπεφυρμένοι καὶ Θεοῦ φόβῳ μήτε ἐντολὰς ἢ ἄλλας τινὰς ἀγαθοεργίας ἐργαζόμενοι, ἀλλὰ τὸ ὅλον τῇ ματαιότητι τοῦ κόσμου ἐν τοῖς χαλεποῖς ἔργοις ἠπατημένοι. Ὅσοι δὲ βιοτικοὶ ὑπὸ ἐντολῶν Θεοῦ ὥσπερ ἄστρων καταυγάζονται, πίστει καὶ φόβῳ Θεοῦ ἀναστρεφόμενοι οὐκ εἰσι τὸ ὅλον ἐν γνοφώδει καὶ ζοφερᾷ νυκτί· διὸ καὶ ἐλπίδα σωτηρίας ἔχειν δύνανται.

Β'. Ὥσπερ γὰρ ἐκ διαφόρων τεχνῶν καὶ ἐκ διαφόρων ἐπιτηδευμάτων οἱ ἄνθρωποι ἐν τῷ κόσμῳ τούτῳ τὸν πλοῦτον συνάγουσι, ὁμοίως δὲ καὶ ἐκ διαφόρων ἐν ταῖς ἀρχοντικαῖς στρατιαῖς τάξεων τὸ κέρδος τοῦ χρυσοῦ πορίζουσι καὶ ἐκ διαφόρων κτημάτων ἢ ζῴων ἢ ἄλλων τινῶν τῷ οἰκοδεσπότῃ ὁ χρυσὸς συνάγεται, οὕτως ἐκ διαφόρων χαρισμάτων (καθὼς εἴρηται· «ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα»[6]) καὶ ἐκ διαφόρων ἀσκήσεων καὶ δικαιωμάτων καὶ

---

1. Ρωμ. 8,6. 2. Πρβλ. Μαλ. 3,20. 3. Ἑβρ. 5,14. 4. Β' Πέτρ. 1,19. 5. Μαλ. 3,20. 6. Ρωμ. 12,6.

ἀρετῶν διὰ Θεὸν γινομένων ἕκαστος τὸν ἐπουράνιον χρυσὸν (τοῦτ' ἔστι τὸν ἐπουράνιον πλοῦτον τοῦ πνεύματος τῆς αἰωνίου ζωῆς), κατὰ τὴν καλὴν ἐπιτήδευσιν καὶ σπουδὴν καὶ πίστιν πορίζονται. Τούτου ἕνεκεν οὐ χρὴ ἕκαστον τὸν πλησίον κρίνειν ἢ καταγινώσκειν ἢ ἐξουδενεῖν, **22** μόνον τρεχέτω ἕκαστος διὰ Θεὸν πιστῶς καὶ ἀγωνιζέσθω καὶ ποριζέτω τὸ πνευματικὸν κέρδος.

Γ'. Πλὴν φαίνονται οἱ χρυσὸν ὀρύσσοντες οἱ αὐτὰς τὰς φλέβας τοῦ χρυσοῦ ἀναζητοῦντες, τοῦτ' ἔστιν οἱ σκοπῷ ἀκροτάτῳ τοῦ φθάσαι εἰς «τὴν τελειότητα»[1] ἀπαύστως καὶ ἀνενδότως τρέχοντες. Οἱ γὰρ διὰ μακροθυμίας καὶ ὑπομονῆς τὰς τέχνας ἐργαζόμενοι ἤτοι οἱ ἐν τῇ γῇ κατ' ἐλπίδα ἐμπονοῦντες κατὰ μέρος πλουτοῦσιν, οἱ καὶ ἔνδοξοι ἐν τῷ κόσμῳ γίνονται, οἱ δὲ μίσθιοι· Εἱλῶται οἱ ὀκνηροί, οἱ εὐθέως τὸ ἐμπῖπτον ἐσθίοντες, μὴ μετὰ μακροθυμίας κάμνοντες, ἀεὶ γυμνοὶ καὶ πένητες ἀπομένουσιν. Οὕτως ὅσοι ἐπ' ἐλπίδι τὰ τῆς ἀρετῆς ἔργα μετὰ μακροθυμίας καὶ ὑπομονῆς σπουδαίως ἐμπονοῦσι καὶ πιστῶς ἀπεκδέχονται τὴν ἐπουράνιον ἐλπίδα καὶ τὴν ἀντίληψιν τῆς χάριτος πρὸ ὀφθαλμῶν ἔχοντες, ἀληθῶς οὗτοι τὸν πλοῦτον τοῦ πνεύματος συνάγουσι διὰ τῆς ὑπομονῆς αὐτῶν καὶ μακροθυμίας καὶ πόνου καὶ δεήσεως, διὸ καὶ ἔνδοξοι ἐν τῷ αἰῶνι ἐκείνῳ παρὰ Θεῷ εὑρίσκονται, οἱ δὲ ἀνυπομόνητοι, οἱ μόνον τοῦ λαβεῖν τὴν χάριν ἕτοιμοι, τοῦ δὲ πονεῖν καὶ κάμνειν καὶ ἐν πᾶσι Θεῷ εὐαρεστεῖν μὴ ὑπομένοντες ἐν πάσῃ μακροθυμίᾳ, ἀπογυμνοῦνται καὶ ἧς κατηξιώθησαν χάριτος. Πάντοτε γὰρ ἡ ἀσθενὴς καὶ ὀκνηρὰ προαίρεσις ἀσύμφωνος οὖσα τῇ χάριτι, γυμνὴ ἀπὸ καλῶν ἔργων καὶ πενιχρὰ ἀπὸ ἀρετῶν εὑρισκομένη, ἀδόκιμος καὶ ἄδοξος παρὰ Θεῷ ἐν ἐκείνῳ τῷ αἰῶνι ἀποδείκνυται.

ΟΜΙΛΙΑ Ϛ' (=ΞΓ')

23 Α'. Οἱ ἐξερχόμενοι ἐκ τοῦ κόσμου καὶ πτωχείαν ἀγαπῶντες καὶ γινόμενοι ξένοι κοινωνίας σαρκικῆς καὶ τῶν φαινομένων πάντων τῶν ἐν τῷ κόσμῳ[2], δόξης καὶ τῶν δοκούντων ἐν βίῳ ὡς μεγάλων εἶναι καταφρονοῦντες καὶ στήκοντες ἐν πτωχείᾳ καὶ προσέχοντες τῷ Κυρίῳ, καλῶς κατανοοῦσι καὶ ἀγαθὸν καὶ ἐνάρετον σκοπὸν ἐνεστήσαντο. Προσέχουσιν οὖν οὗτοι τοῦ εἰσελθεῖν εἰς τὴν ἔνδοξον πόλιν τῶν ἁγίων, εἰς πατρίδα ἐπουράνιον, εἰς οἰκοδομὰς καὶ οἴκους ἀχειροποιήτους[3] καὶ ἐπειδὴ ὁ νοῦς αὐτῶν ἐκεῖ προσέχει, ὡς ὅτι ἤδη εἰσῆλθαν καὶ ἐδοξάσθησαν καὶ εἰσὶ κληρονόμοι αὐτῆς, οὕτως εἰσὶν ἐν ἑαυτοῖς καὶ ταῦτα ὥς εἰσιν ἐν τῇ σαρκὶ διάγοντες διὰ τὴν καλὴν αὐτῶν πρόθεσιν καὶ τὸν σκοπόν, ἀπεκδέχονται γὰρ ὥς εἰσιν ἐν τῷ αἰῶνι τούτῳ εἰσελθεῖν εἰς «πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός»[4]. Αἱ γὰρ οἰκο-

---

1. Πρβλ. Ἑβρ. 6,1. 2. Πρβλ. Α' Κορ. 5,10. 3. Πρβλ. Β' Κορ. 5,1.
4. Πρβλ. Ἑβρ. 11,10.

δομαὶ τοῦ αἰῶνος τούτου σαθραί εἰσι καὶ οὐκ ἔχουσι στερεὸν θεμέλιον. «Ἐν» γὰρ «τῇ συντελείᾳ τοῦ αἰῶνος»[1] ὅλα αὐτοῦ τὰ ἔργα καὶ αἱ οἰκοδομαὶ φθείρονται· «ὁ οὐρανὸς» γὰρ «ὡς βιβλίον ἑλιγήσεται»[2] «καὶ ἡ γῆ παρελεύσεται»[3]. Ποῦ οὖν τὰ ἔνδοξα καὶ μεγάλα τοῦ βίου, ὅταν ἐπιστῇ ὁ καιρὸς ὁ λύων αὐτά; Συνάγαγέ μοι τὸν πλοῦτον, τὸν χρυσόν, τὸν ἄργυρον, τὰς κτήσεις καὶ πᾶσαν τὴν ἐν τῷ πλούτῳ καλλονὴν καὶ πεποίθησιν καὶ ἄρξαι οἰκοδομεῖν πόλιν δι' αὐτῶν, τὴν σοφίαν, τὴν δόξαν, τὰ ἀξιώματα, τὰς δυναστείας, ταῦτα οἰκοδόμησον ὥσπερ τεῖχος τῆς πόλεως καὶ πᾶσαν τὴν κόσμησιν τοῦ αἰῶνος τούτου — καὶ ὅταν τελέσῃς τὴν πόλιν, οὐκ ἔχει ἑδραίωμα οὐδὲ στερεότητα ἡ πόλις. Ἰδοὺ γὰρ **24** σαθροὶ οἱ θεμέλιοι τοῦ τείχους καὶ πίπτουσιν, καὶ πάντα τὰ ἐν τῇ πόλει φθείρεται καὶ ἀφανίζεται. Οὕτως ἐστὶ πᾶσα ἡ ποικιλία τοῦ αἰῶνος τούτου φθειρομένη καὶ ἀφανιζομένη.

Β'. Ὑμεῖς δὲ καλῶς ποιεῖτε οἰκοδομοῦντες οἰκοδομὰς ἀκαταλύτους καὶ μηδέποτε φθειρομένας· τὸν γὰρ θεμέλιον ὑμῶν ἐπὶ τὴν πέτραν[4] σπουδάζετε θεῖναι καὶ ὁ ἐπὶ τὴν πέτραν οἰκοδομούμενος θεμέλιος οὐδέποτε πίπτει· λέγει γὰρ ἡ γραφή· «ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν»[5] «ἀνδρὶ φρονίμῳ»[6] «ὅστις ἔσκαψε καὶ ἐβάθυνε καὶ ἔθηκε θεμέλιον ἐπὶ τὴν πέτραν· γενομένης δὲ πλημμύρας»[7] καὶ τῶν ἀνέμων προσκρουσάντων «οὐκ ἔπεσεν· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν»[8]. Καὶ τίς ἐστιν αὕτη ἡ οἰκοδομὴ ἡ ἀχειροποίητος; Ψυχαὶ πισταὶ αἱ ἀγαπῶσαι τὸν Κύριον· οἰκοδομοῦνται γὰρ ὑπὸ τοῦ σοφοῦ ἀρχιτέκτονος[9] Ἰησοῦ Χριστοῦ «ἐπὶ τὴν πέτραν»[10], ἐπ' αὐτὸν τὸν Κύριον, ἐπὶ τὸν λόγον αὐτοῦ τὸν ζωοποιόν, ἐπὶ τὴν θείαν δύναμιν, ἐπὶ τὸ Ἅγιον Πνεῦμα. Καὶ τίνες εἰσὶν οἱ λίθοι; Οἱ καθαροὶ καὶ ἀγαθοὶ λογισμοὶ τῆς φύσεως τοῦ Ἀδάμ· ἐοίκασιν γὰρ οὗτοι τῷ ἐπουρανίῳ λίθῳ καὶ κατὰ τὸ μέτρον αὐτοῦ οὕτως ἐποικοδομοῦνται. Τί λέγει ἡ Γραφή; Ἕως οὗ φθάσωμεν «εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ»[11]. Ἀλλά ἐστι καὶ ἑτέρα οἰκοδομὴ <ἡ> «ἐπὶ τὴν ἄμμον»[12], ψυχαὶ ἁμαρτωλαί, νοῦς κοσμικός, οἱ καταφερόμενοι εἰς τὰ πάθη τῆς σαρκός. Οἰκοδομοῦνται οὗτοι εἰς τὸν πονηρὸν λογισμόν, ἐπὶ τὸ πνεῦμα τοῦ διαβόλου. Καὶ τίνες εἰσὶν οἱ λίθοι; Οἱ κακοὶ λογισμοὶ οἱ ἀγαπῶντες τὰς ἡδονὰς τῆς ἁμαρτίας. Ἡ οὖν τοιαύτη οἰκοδομή, ἡ «ἐπὶ τὴν ἄμμον», πεφθαρμένη ἐστὶ καὶ λελυμένη.

Γ'. Οἱ οὖν ἐν τῷ παρόντι χρόνῳ κρούοντες «τὴν θύραν»[13] καὶ τὰ μέλλοντα ὡς παρόντα λογιζόμενα πολὺ συνετ<ότερ>οί εἰσιν. Ἀναλογιζόμενοι γὰρ τὴν φθορὰν καὶ λύσιν τοῦ αἰῶνος τούτου, καταφρονοῦσιν κοινωνίας σαρκικῆς, εἰδότες ὅτι μετὰ ταῦτα λύσις γενήσεται τῶν σω-

1. Πρβλ. Ματθ. 13,40. 49. 2. Ἡσ. 34,4. 3. Ματθ. 24,35. 4. Πρβλ. Λουκ. 6,48. 5. Πρβλ. Ματθ. 13,31. 6. Πρβλ. Ματθ. 7,24. 7. Λουκ. 6,48. 8. Ματθ. 7,25. 9. Πρβλ. Α' Κορ. 3,10. 10. Πρβλ. Ματθ. 7,25. 11. Ἐφ. 4,13. 12. Πρβλ. Ματθ. 7,26. 13. Πρβλ. Λουκ. 13,25.

μάτων, πάλιν ἀναλογιζόμενοι, ὅτι φθορᾷ ὑπόκειται καὶ γυμνότητι ὁ φαινόμενος πλοῦτος, καταφρονοῦσι πάντων τῶν ὁρωμένων, ἀναμνημονεύοντες δὲ καὶ τὰς γινομένας κατακρίσεις τοῖς ἁμαρτωλοῖς καὶ τὰς ἐπι**25**φερομένας αὐτοῖς διαφόρους κολάσεις στήκουσιν εἰς μέριμναν καὶ φόβον καὶ ἀσφαλίζονται τὰς ψυχὰς αὐτῶν, μὴ ἐμπέσωσιν εἰς γέενναν καὶ βασάνους. Ἀναλογιζόμενοι δὲ πάλιν καὶ τὴν πόλιν τῶν ἁγίων καὶ τοὺς μεγιστᾶνας, τοὺς πατέρας ἡμῶν, τοὺς προφήτας, τοὺς ἀποστόλους, τοὺς μάρτυρας καὶ τὰ κάλλη τὰ ἐπουράνια καὶ τὰς δόξας τὰς θεϊκάς, ἃς ἐνδύσονται οἱ ἅγιοι διὰ τὴν καλὴν αὐτῶν πρόθεσιν, εἰ καί εἰσιν ἐν τῷ αἰῶνι τούτῳ, ἀλλ' ὡς ἤδη ἀπολαύοντες ἐκείνων τῶν ἀγαθῶν οὕτως εἰσίν. Καὶ ἐν ταύτῃ ὄντες τῇ γυμνασίᾳ ἐοίκασι τῷ Πατρὶ αὐτῶν τῷ οὐρανίῳ· ἐπειδὴ γὰρ μετὰ τὴν παράβασιν καὶ τὰ καλὰ καὶ τὰ κακὰ ἐξ αὐτοῦ τοῦ ἀνθρώπου βρύει, προέλαβον οὗτοι καὶ ἐποίησαν πόλεμον μετὰ τῆς κακίας καὶ ᾔτησαν ὅπλον παρὰ τοῦ Πατρὸς αὐτῶν τοῦ οὐρανίου καὶ δι' αὐτοῦ ἐποίησαν πόλεμον καὶ νίκην καὶ κατέσβεσαν «τὰ πεπυρωμένα βέλη»[1] τῆς ἁμαρτίας. Διὰ τοῦτο, ὅπου εἰσέρχονται οὗτοι, «ἐπιθυμοῦσιν ἄγγελοι παρακῦψαι»[2]· ἐπιτίθενται γὰρ αὐτοῖς στέφανοι τίμιοι «ἐπὶ τὰς κεφαλὰς αὐτῶν»[3]. Ἄρχονται οὖν οἱ ἄγγελοι εἷς τῷ ἑτέρῳ λέγειν· τίνες εἰσὶν ἄρα οὗτοι οἱ τοιαύτης δόξης καὶ τοιούτων στεφάνων καταξιωθέντες, ὅτι εἰς τιμιωτέρους ἡμῶν τόπους εἰσάγονται; Καὶ λέγει αὐτοῖς ὁ Κύριος· δικαίως ὑμῶν προτιμῶνται, οὗτοι γάρ εἰσιν οἱ «διὰ τὸ ὄνομά μου»[4] καὶ τὴν ἐντολήν μου ἐξελθόντες ἐκ τοῦ κόσμου καὶ καταφρονήσαντες ἐκείνου τοῦ αἰῶνος, πτωχοὶ γενόμενοι, μυκτηριζόμενοι, χλευαζόμενοι εἰς τὸν ἐκεῖ κόσμον, πολεμούμενοι ὑπὸ τοῦ σατανᾶ καὶ ἀγωνιζόμενοι καὶ ἀθλοῦντες κατ' αὐτοῦ καὶ μὴ ἡττηθέντες ὑπ' αὐτοῦ, οἱ ἔχοντες πόνον καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν πληροῦντες δακρύων νυκτὸς καὶ ἡμέρας διακονοῦντές μοι, οἱ τὴν ὕβριν τοῦ σταυροῦ μου βαστάσαντες ἐν τοῖς ὤμοις αὐτῶν καὶ τὰ πάθη μου ἐν τοῖς σώμασιν αὐτῶν. Παραλαμβάνει οὖν τὰς τοιαύτας ψυχὰς ὁ Κύριος καὶ προσφέρει αὐτὰς τῷ Πατρὶ λέγων· ἴδε πάρεισιν αἱ καθαραὶ παρθένοι, αἱ ὑπακούσασαι τῆς ἐντολῆς σου, προσλαβοῦ αὐτὰς εἰς τὰς ἀγκάλας τοῦ πνεύματός σου καὶ εἰς τοὺς κόλπους τοῦ φωτός σου τοὺς εὐλογημένους. Ὑπὲρ τούτων γὰρ ἐγὼ ἔκλινα γόνυ ἐπὶ τῆς γῆς καὶ ἐπλή**26**ρουν τοὺς ὀφθαλμούς μου δακρύων λέγων· «πάτερ ἅγιε»[5], «ἁγίασον αὐτοὺς»[6] καὶ διατήρησον «ἐκ τοῦ πονηροῦ»[7], καὶ ἵνα γένωνται μεθ' ἡμῶν εἰς ἓν[8] σῶμα καὶ ἓν πνεῦμα. Οὐ μόνον δὲ ἐν τῷ τότε καιρῷ δι' ἐκείνους μόνους παρεκάλουν σε καὶ προσηυχόμην, ἀλλὰ καὶ δι' ὅλην τὴν ἐκκλησίαν τῶν ἁγίων (ἡ γὰρ μακροθυμία αὐτοῦ καὶ ἡ παράστασις τοῦ αἰῶνος εἰς τοῦτο γέγονεν,

---

1. Πρβλ. Ἐφ. 6,16. 2. Α' Πέτρ. 1,12. 3. Πρβλ. Ἀποκ. 4,4. 4. Πρβλ. Ματθ. 24,9. 5. Πρβλ. Ἰω. 17,11. 6. Πρβλ. Ἰω. 17,17. 7. Πρβλ. Ἰω. 17,15. 8. Πρβλ. Ἰω. 17,22.

διὰ τοὺς μέλλοντας γίνεσθαι διακόνους αὐτοῦ καὶ γενέσθαι αὐτῷ εὐαρέστους καὶ συμπληρωθῆναι αὐτῶ<ν> τῇ ἐπουρανίῳ ἐκκλησίᾳ τὴν εἰρηνικὴν αὐτοῦ βασιλείαν). Καὶ ὁ Πατὴρ ἀγαλλιᾶται ἐπ' αὐτοῖς λέγων· «κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν»[1], ἐγὼ καὶ ὁ Υἱός μου ἅμα ὑμῖν εἰς ἓν πνεῦμα καὶ εἰς μίαν κοινωνίαν ἐσόμεθα. Καὶ ἀποφέρει τὰς τοιαύτας ψυχὰς εἰς ἀνάπαυσιν καὶ εἰς τοὺς ἐνδόξους θρόνους καὶ εἰς εὐφροσύνην. Μαρτυρεῖ δὲ τούτοις καὶ ἡ παρεμβολὴ τῶν ἀγγέλων ἡ συνοῦσα αὐτοῖς, ὅτε ἠγωνίζοντο καὶ ὅτε ἦσαν ἐν τῇ ἀθλήσει παραμένοντες καὶ τὰς εὐχὰς αὐτῶν καὶ τὰς νηστείας καὶ τὰς ἀγρυπνίας προσέφερον τῷ Κυρίῳ.

Δ'. Στήκοντες οὖν ἐν τῇ πτωχείᾳ διὰ ταύτης τῆς πτωχείας ἐπισπάσασθε ἑαυτοῖς τὸν οὐράνιον πλοῦτον. Καὶ γὰρ ἐν τῇ χαμευνίᾳ τὰ σώματα ὑμῶν γυμνάζοντες, ἐν τῇ γονυκλισίᾳ, ἐν τῇ προσευχῇ καλλίον<ες> ἔσεσθε τῶν ἐν πορφύρᾳ διαγόντων. Ἐκεῖνοι γὰρ ἐν τῇ πορφύρᾳ διάγοντες οὐ λειτουργοῦσι τῷ Κυρίῳ, ὑμεῖς δὲ ἐν τῇ σκληραγωγίᾳ καὶ τῷ φαινομένῳ χόρτῳ ἔρχεσθε εἰς τὸ προσκυνεῖν καὶ δοξολογεῖν τὸν Θεόν. Ἀλλὰ ἐν ταύτῃ ὄντες τῇ πτωχείᾳ καὶ τῇ γυμνότητι μὴ γίνεσθε ἀπρόθυμοι, ἔχοντες ὑπογραμμὸν καὶ σκοπὸν τὸν Κύριον τὸν οὕτως διοδεύσαντα τὴν ὁδόν. Ὅταν πονέσῃ σου τὸ σῶμα καὶ κοπιάσῃς, μνημόνευσον τοῦ σώματος τοῦ Κυρίου, πῶς ὑπὸ Πιλάτου ἐτύπτετο καὶ ἔκαμνεν ὁδοιπορίαις[2]. Ὅταν λείψῃ σοι οἶκος, μνημόνευσον, ὅτι ὁ Κύριος τῶν κτισμάτων ἐλθὼν ἐπὶ τῆς γῆς τοῦτο εἶπεν· «αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ»[3] καὶ ἀναπαῇ. Ὅταν περιπατήσῃς, μνημόνευσον ὅτι οἱ πόδες τοῦ Κυρίου κεκονιορτημένοι ἦσαν, ὅσον χρόνον **27** ἐποίησεν ἐπὶ τῆς γῆς, εἰ μὴ μόνον διὰ τὴν προφητείαν ἅπαξ ἐπ' ὄνου ἐκαθέσθη[4]. Ὅταν πληρώσῃς σου τοὺς ὀφθαλμοὺς δακρύων, μνημόνευσον ὅτι ὁ Κύριος ἔκλαιε τὴν πτῶσίν σου προσευχόμενος πρὸς τὸν Πατέρα «μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων»[5] πολλῶν, ἵνα ῥυσθῇς ἐκ τοῦ θανάτου. Ὅταν μυκτηρίζωσί σε οἱ ἄνθρωποι, πρόσχες τοῖς ῥαπίσμασιν αὐτοῦ καὶ τοῖς ἐμπτύσμασιν αὐτοῦ[6], καὶ ὑπόμεινον ἐν τῇ ταπεινώσει σου. Ὁμοίως δὲ καὶ ἡ χαμευνία σου οὐκ ἔστι σκληροτέρα τοῦ ἀκανθίνου στεφάνου[7] τοῦ ἐπιτεθέντος ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. Οὕτω δὲ πάντες οἱ ἄγγελοι καὶ αἱ παρεμβολαὶ χαίρουσι τῶν ἁγίων ἐπὶ τῷ νυμφίῳ καὶ τῇ νύμφῃ ἐν σάλπιγξι καὶ κιθάραις. Ὥσπερ ἐπὶ φαινομένῳ γάμῳ πλουσίου, ἐν οἷς πᾶσα ἡ πόλις συντρέχει καὶ δῆμοι, αὐτοὶ δε μεσῖταί εἰσι συσπεύδοντες τῷ νυμφίῳ καὶ τῇ νύμφῃ, οὕτω καὶ πᾶσα ἡ ἐπουράνιος ἐκκλησία συντρέχει, ψυχὴ δέ ἐστιν ἡ κοινωνοῦσα τῷ ἐπουρανίῳ νυμφίῳ. Ὥσπερ δὲ ἐν τῷ καιρῷ

1. Ματθ. 25,34. 2. Πρβλ. Μάρκ. 15,15. 3. Ματθ. 8,20. Λουκ. 9,58. 4. Πρβλ. Ματθ. 21,7. 5. Πρβλ. Ἑβρ. 5,7. 6. Πρβλ. Μάρκ. 14,65. 7. Πρβλ. Μάρκ. 15,17.

τοῦ θέρους ἕκαστος ὃ πρὸ καιροῦ ἔσπειρεν ἐκεῖνο προσδοκᾷ θερίσαι καὶ ἀπολαβεῖν ἐκ τῆς γῆς τοὺς καρπούς, οὕτω καὶ εἴ τίς τι εἰργάσατο «ἐν τῷ νῦν καιρῷ»[1] ἐκεῖνο προαπαντᾷ αὐτῷ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Εἰσὶ γὰρ Χριστιανοὶ ἐν λόγῳ καί εἰσι Χριστιανοὶ ἐν ἔργῳ. Εὐξώμεθα οὖν ἔργῳ καὶ δυνάμει τὰ λαλούμενα ἐν ἡμῖν καὶ ἐν πάσῃ πληροφορίᾳ ἐπιτελεσθῆναι· ἡ γὰρ πεῖρα πολὺ βεβαιοτέρα ἐστὶ τῶν στηκόντων ἐν λόγοις ψιλοῖς. Δόξα τοῖς οἰκτιρμοῖς τοῦ Χριστοῦ καὶ τῷ ἀπείρῳ αὐτοῦ ἐλέει εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ζ′ (=ΞΔ′)

28 Α′. Ὥσπερ τὸ εἰς βρῶσιν προχωροῦν ἀνθρώποις ζῷον πρότερον τυθῆναι δεῖ καὶ εἶθ' οὕτω τὴν δορὰν σὺν ταῖς θριξὶ περιαιρεθῆναι καὶ τότε διὰ τῆς ἀνατομῆς τὴν ἔνδον ἐγκειμένην ἐν τῇ κοιλίᾳ κόπρον[2] ἐκπλυθῆναι καὶ πάλιν τὰ τῆς λεγομένης δευτέρας κοιλίας λεπτότερα καὶ δυσχερέστερα κόπρια ὑποκρυπτόμενα ἐν τοῖς πτερυγίοις τῆς δευτέρας κοιλίας ἀκριβῶς διὰ τοῦ ὕδατος πλῦναι καὶ τότε τὰ κρέα τῷ πυρὶ παραδιδόμενα καὶ κατ' ὀλίγον ἑψούμενα γλυκαίνεται καὶ οὕτως εἰς βρῶσιν καὶ ἀπόλαυσιν τῷ οἰκοδεσπότῃ γίνεται, τὸν αὐτὸν τρόπον καὶ ὁ Χριστιανὸς ἀναχωρῶν τοῦ κόσμου καὶ ὥσπερ νεκρούμενος ἐκ τῆς προτέρας κακίστης ζωῆς καὶ ὡς δορὰν σὺν θριξὶ καὶ αἵματι τὸν κόσμον ἀποδυσάμενος, ἀλλ' ὅμως ἔτι τὴν δυσώδη κόπρον τῶν πονηρῶν διαλογισμῶν ἔνδον κέκτηται, τὰς τῶν κακῶν ἔργων μνήμας, τὰ πρόδηλά τε καὶ φαῦλα καὶ ἕτερα λεπτότερα καὶ δυσεξεύρετα πάθη, τὰ καὶ δυσχερῶς καταλαμβανόμενα. Χρὴ οὖν τὸν τέλειον Χριστιανὸν ἐπιθυμοῦντα γενέσθαι νεκρῶσαι ἑαυτὸν ἐκ τῶν τοῦ κόσμου πονηρῶν ἔργων, ὧν ἔπραττε πρότερον καὶ ὥσπερ δορὰν σὺν ταῖς θριξὶ τὸν αἰῶνα τοῦτον ἔξωθεν ἀποδύσασθαι διὰ τῆς τελείας ἀναχωρήσεως καὶ παντελοῦς ἀποτάξεως καὶ εἶθ' οὕτω διὰ τῆς ἀνατομῆς (τουτέστι τῆς ἐπισκέψεως τῆς θείας χάριτος) τὴν κόπρον τῶν πονηρῶν διαλογισμῶν τῶν ἐν τῇ καρδίᾳ ἔνδοθεν ἀποπλῦναι δισσῷ τρόπῳ τὰ πρόδηλα καὶ
29 τὰ λεπτότερα καὶ δυσεξεύρετα πάθη καὶ τότε τῷ ἐπουρανίῳ πυρὶ τοῦ Ἁγίου Πνεύματος πυρωθέντα καὶ πᾶσαν ὠμότητα προαιρέσεως ἀποθέμενον καὶ πᾶσαν μεταβολὴν τελείαν δεξάμενον χρήσιμον καὶ ἡδὺν ἐν τῇ ἐπουρανίῳ τραπέζῃ εἰς ἀπόλαυσιν τοῦ ἐπουρανίου βασιλέως γενέσθαι καὶ κληρονόμον τῆς βασιλείας, καθὼς εἴρηται ἐν τῷ εὐαγγελίῳ ὑπὸ τοῦ Κυρίου· «ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με καὶ τελειώσω αὐτοῦ τὸ ἔργον»[3].

Β′. Ἀλλ' ὥσπερ τὸ πρὶν ἐν τῷ νόμῳ ἐμωμοσκοπεῖτο τὸ πρόβατον[4] καὶ τότε εἰς θυσίαν προεχώρει καὶ διὰ τῆς λιπασίας τοῦ ζῴου καὶ τῆς

---

1. Πρβλ. Ρωμ. 3,26. 2. Πρβλ. Λευϊτ. 4,11. 8,17. 3. Ἰω. 4,34. 4. Πρβλ. Λευϊτ. 22,20.

κνίσσης τῆς διὰ τοῦ πυρὸς διαχεομένης ὁλοκαύτωμα τῷ θεῷ «εἰς ὀσμὴν εὐωδίας»[1] προσεφέρετο, οὕτω καὶ ἐνταῦθα νῦν μωμοσκοπεῖται ψυχὴ ἡ ἑαυτὴν καὶ τὸ σῶμα αὐτῆς «θυσίαν ζῶσαν ἁγίαν εὐάρεστον τῷ Θεῷ»[2] προσενέγκαι βουλομένη ὑπὸ τοῦ ἐπουρανίου ἀρχιερέως Χριστοῦ, καὶ εἰ τὴν πιότητα τοῦ πνεύματος ἔχει, ἣν διὰ τῶν καλῶν νόμων τῶν διδασκαλιῶν τῆς χάριτος καὶ τῶν ἀρετῶν προσεκτήσατο ὄντως ὁλοκάρπωμα καὶ θυσία ζῶσα[3] ἐν τῷ πνευματικῷ πυρὶ διὰ τοῦ ἀληθινοῦ ἀρχιερέως Χριστοῦ τῷ ἐπουρανίῳ Πατρὶ εἰς τὴν ζῶσαν τῶν οὐρανῶν βασιλείαν προσκομίζεται, κληρονόμος τῶν αἰωνίων ἀγαθῶν γενέσθαι καταξιωθεῖσα. Χρὴ οὖν ἕκαστον ἐν πᾶσι πάντοτε ἑαυτὸν ἀνακρίνειν καὶ δοκιμάζειν, εἰ κατὰ τὸν τῆς ἀληθείας λόγον πολιτεύεται καὶ «τοῖς ἴχνεσι»[4] τοῦ Κυρίου ἀκολουθεῖ (ἤτοι ὑπὸ τῶν πνευματικῶν ἀνδρῶν ἀνακρίνεσθαι δοκιμάζεται) καὶ ἀεὶ ἐκζητεῖν τοὺς τὸν τῆς ἀληθείας λόγον κηρύσσοντας καὶ τὸν Χριστιανισμὸν «ἐν ἔργῳ καὶ ἀληθείᾳ»[5] κατέχοντας. Ὥσπερ γὰρ πολλῶν ποτηρίων ἐπιδιδομένων ἀνθρώποις τοῦ πιεῖν φανερά εἰσι τὰ οἴνῳ ἡδυτάτῳ κεκερασμένα καὶ τὰ μόνον ὕδατος πεπληρωμένα (τὰ γὰρ οἴνῳ κεκερασμένα νόστον καὶ ἰσχὺν καὶ εὐφροσύνην τῷ πίνοντι παρέχει), οὕτω πολλῶν ἐν κόσμῳ διὰ λόγων ποικίλων καὶ σοφιῶν προπινόντων ἀνθρώποις ἐκεῖνοί εἰσιν οἱ εὐφραίνοντες ψυχὰς εὐφροσύνην ἐπουράνιον καὶ εἰς **30** μεταβολὴν ἀγαθὴν ἄγοντες, οἱ Πνεύματι Ἁγίῳ λαλοῦντες[6] καὶ χάριτι ἠρτύμενοι, οἱ ζώσῃ φωνῇ καρδίας φθεγγόμενοι καὶ οὐ ψόφοις καὶ κόμποις χειλέων τοὺς πολλοὺς ἐξυδαρούμενοι ποτίζοντες, οἱ δύναμιν καὶ εὐφροσύνην οὐράνιον τῇ ἀκουούσῃ ψυχῇ παρέχοντες διὰ τῆς ἐν αὐτοῖς λαλούσης χάριτος καὶ μεταβάλλοντες ἀνθρώπους εἰς τὴν ὁμοίαν τῆς χάριτος ἁγιότητα. Ὥστε ἐκείνους χρὴ ἀνερευνᾶσθαι καὶ ζητεῖν, καθὼς προείπαμεν, τοὺς ζώσῃ καρδίᾳ ἐν Πνεύματι φθεγγομένους, κἀκείνοις προσκαρτερεῖν παρ' ὧν τὴν ὄντως κατὰ Θεὸν ὠφέλειαν λαμβάνειν δύνανται, τοῖς ὄντως σοφοῖς ἐν Κυρίῳ καὶ οὐκ ἐν κόσμῳ, περὶ ὧν εἴρηται· σοφὸν «ἐὰν ἴδῃς, ὄρθριζε πρὸς αὐτὸν καὶ βαθμοὺς θυρῶν αὐτοῦ ἐκτριβέτω ὁ πούς σου»[7]· ἐξομοιωθῆναι γὰρ αὐτοῖς οἱ ὑπήκοοι διὰ τῆς πρὸς αὐτοὺς παραμονῆς τῷ χρόνῳ δύνανται.

Γ'. Ὥσπερ γὰρ ἐν τῷ κόσμῳ τούτῳ εἰσὶ πολλοί, οἵτινες χρυσὸν πολὺν ἔνδον κέκτηνται καὶ οὐκ εἰσι πᾶσι καταφανεῖς, ἀλλ' ὅσον πρὸς τοὺς πολλοὺς μετριάζουσι μηδὲν κομπάζοντες ἑαυτοὺς ἢ ἐν κτήσεσιν ἢ ἐν οἰκίαις ἢ ἐν σκεύεσι διαφόροις ἢ οἰκέταις ἢ ζῴοις καὶ οὕτω μετὰ πάσης ἀσφαλείας τὸν θησαυρὸν αὐτῶν κεκρυμμένον ἔχουσιν, καὶ ἄλλοι εἰσὶ πολλοὶ οἵτινες παντάπασιν χρυσὸν μὴ κεκτημένοι, διὰ δέ τινων πολλῶν σκευῶν καὶ οἴκων ζωγραφίας ὑπονοεῖσθαι ἑαυτοὺς ποιοῦσιν,

1. Πρβλ. Λευϊτ. 8,21. Ἐφ. 5,2 κ.ἀ. 2. Ρωμ. 12,1. 3. Πρβλ. Ρωμ. 12,1. 4. Πρβλ. Α' Πέτρ. 2,21. 5. Πρβλ. Α' Ἰω. 3,18. 6. Πρβλ. Β' Πέτρ. 1,21. 7. Σ. Σειρ. 6,36.

ὡς ὅτι πολὺν χρυσὸν κέκτηνται, τῷ φαινομένῳ κόμπῳ τοὺς πολλοὺς ἀπατῶντες, καὶ ὡς πλούσιοι νομίζονται ὄντες πένητες καὶ ἐνδεεῖς — οὕτω καὶ ἐν τοῖς Χριστιανοῖς εἰσιν ἐν δυνάμει τὸν ἐπουράνιον θησαυρὸν τοῦ Πνεύματος ἐν ἑαυτοῖς κεκτημένοι καὶ οὔκ εἰσι τοῖς πᾶσι καταφανεῖς, ἀλλὰ κρύπτουσιν ἑαυτοὺς ὡς μετριάζοντες καὶ μὴ βουλόμενοι ὅ εἰσι γνωρισθῆναι, καί εἰσιν ἕτεροι οἵτινες διά τινων φαινομένων ὀλίγων ἀρετῶν, νηστειῶν ἢ ἀγρυπνιῶν ἢ ἡσυχίας ἢ λόγου «σοφίας»[1] ἢ διά τινων τοιούτων, νομίζεσθαι βούλονται ὡς πνευματικοί, μὴ ἔχοντες τὴν ἐνέργειαν καὶ δύναμιν τοῦ Πνεύματος. Ὥσπερ γὰρ κατὰ τὸ ὑπόδειγμα, ἐὰν βουληθῇ ὁ κεκρυμμένον ἔχων τὸν πολὺν αὐτοῦ πλοῦτον μέρος τοῦ χρυσοῦ προκομίσαι ὀλίγου χρήματος ὠνεῖται πᾶσαν τὴν περιουσίαν τοῦ ἐπιδεικνυμένου ἑαυτὸν ὡς πλούσιον καὶ ὃ μή ἐστι νομίζεσθαι **31** βουλομένου· ἀλλ' ἐὰν τὸν πλοῦτον αὐτοῦ ἀποκαλύψῃ καὶ φανερὸν ἑαυτὸν πᾶσι καταστήσῃ, εἰς φθόνον πολὺν κατ' αὐτοῦ ἐγείρονται πολλοὶ θαμβούμενοι, πῶς ὁ ὡς πτωχὸς τοῖς πᾶσι νομιζόμενος αἰφνίδιον τοσοῦτον πλοῦτον κέκτηται καὶ ἄρχονται εἰς λειτουργίας καὶ πολλὰς ζημίας τοῦτον ἐμβάλλειν, ἀλλὰ καὶ οἱ κλέπται καὶ οἱ λησταὶ νύκτα καὶ ἡμέραν τοῦτον ἐπιτηροῦσιν ἀναιρῆσαι καὶ ἀφελέσθαι αὐτοῦ τὸν πλοῦτον καὶ πάντοθεν εἰς κινδύνους καὶ ζημίας καὶ θλίψεις ἀδοκήτους περιπίπτει, ἐπειδὴ ἀξίωμα ἢ ἐξουσίαν τινὰ οὐδέπω παρὰ τοῦ βασιλέως ἔλαβεν. Διόπερ ὁ φρόνιμος ἀνὴρ ὁ χρυσὸν πολὺν κεκρυμμένον ἔχων ἀξίωμα δὲ μὴ εἰληφὼς κρύπτει πάσῃ ἀσφαλείᾳ τὸν ἑαυτοῦ πλοῦτον, ἵνα μὴ γνωρισθεὶς τοῖς πολλοῖς καὶ φθόνῳ ὑποπεσὼν ἢ ἐπιβούλοις ἀνθρώποις ἀπολέσῃ σὺν τῷ πλούτῳ αὐτοῦ καὶ τὴν ζωήν. Εἰ δὲ ἀξίωμα παρὰ χειρὸς βασιλικῆς δέξεται ἀρχῆς τινος ἢ ἐξουσίας, ὁ τοιοῦτος, κἂν ἀποκαλύψῃ αὐτοῦ τὸν πλοῦτον τοῦ θησαυροῦ, οὐ δέδοικεν, μᾶλλον δὲ καὶ ἐν αὐτῷ δοξάζεται, κτήσεις μεγάλας συνωνούμενος καὶ οἴκους ἐνδόξους κτίζων, οἰκετῶν τε πλῆθος καὶ διαφόρων ζῴων μυριάδας διὰ τοῦ θησαυροῦ κτώμενος, ἄφοβός τέ ἐστιν ἀπὸ ἐφόδου ληστρικῆς, τὴν ἐξουσίαν τῆς μαχαίρης κατὰ τῶν ἐπιβούλων καὶ κακοποιῶν ἀνθρώπων παρὰ τοῦ βασιλέως εἰληφὼς καὶ οὕτω διὰ τοῦ ἀξιώματος μᾶλλον πλοῦτον πλούτῳ ἐπισυνάγει καὶ χρυσὸν χρυσῷ διὰ πασῶν κτήσεων προστίθησιν, ἕως οὗ ὁλόπλουτος γένηται σχεδὸν μηδὲ εἰδὼς λοιπὸν ὅσα κέκτηται.

Δ'. Οὕτω καὶ ὁ Χριστιανὸς ὁ εὑρὼν ἐν ἑαυτῷ πνευματικὸν χάρισμα καὶ εὐφραινόμενος ἐν παρακλήσει θείας χάριτος ἀσφαλῶς κρυπτέτω ἐν ἑαυτῷ τὴν τοῦ Πνεύματος παράκλησιν ἢ μυστηρίων ἐπουρανίων γνῶσιν, μὴ καυχώμενος καὶ ἐπιδεικνὺς ἑαυτὸν τοῖς πλησίον, ἵνα μὴ φθόνῳ τῷ τῆς κακίας ὑποπεσὼν ὑπὸ τῶν ἀοράτων ληστῶν εὐλογοφανῶς ὑποκλεπτόμενος συληθῇ μάλιστα, ἕως οὐδέπω εἰς οἰκονομίαν τινὰ πνευματικοῦ ἀξιώματος ὑπὸ τοῦ ἐπουρανίου βασιλέως ἐτάγη.

---

1. Πρβλ. Α' Κορ. 12,8.

Οἱ γὰρ οἰκονόμοι τῶν «μυστηρίων τοῦ Θεοῦ»[1] καὶ οἱ ὄντως ὠφελεῖν ψυχὰς δυνάμενοι καὶ εἰς τοῦτο ὑπὸ τοῦ Πνεύματος προκεχειρισμένοι, **32** οὗτοι τὸν ἐπουράνιον πλοῦτον ἀδιαλείπτως κεκτημένοι ἐν ἐξουσίᾳ φθέγγονται ἀκαυχήτως καὶ ἀκενοδόξως. «Οὕτω» (γάρ φησι) «λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλ' ὡς Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν»[2], καὶ πάλιν «κατενώπιον τοῦ Θεοῦ ἐν Χριστῷ λαλοῦμεν»[3]. Μετὰ γὰρ τοσούτου πόθου ὀφείλουσιν οἱ Χριστιανοὶ περὶ τὰ «κρείττονα» καὶ «μείζονα» τοῦ Πνεύματος «χαρίσματα»[4] ἐπείγεσθαι, ἀκορέστως ἔχοντες περὶ τὸν οὐράνιον πλοῦτον καὶ οὕτω πεινᾶν καὶ διψᾶν «τὴν δικαιοσύνην»[5], ἥτις ἐστὶν ἡ τελεία καὶ ἄτρεπτος ἀγάπη «τοῦ Πνεύματος»[6], εἰς ἣν ὁ μακάριος Παῦλος παραινεῖ καὶ προτρέπεται τοὺς ἐν μεγάλοις χαρίσμασιν ὄντας μὴ ἐναπομένειν ἐν οἷς κέκτηνται τοῦ Πνεύματος δωρήμασιν, ἀλλ' ἐκεῖνο σπουδάσαι διὰ πάσης δεήσεως κτήσασθαι, ὅθεν οὐκέτι πεσεῖν δυνατόν[7], ὅπερ ἐστὶν ἡ τελεία καὶ ἄτρεπτος «τοῦ Πνεύματος»[8] ἀγάπη, ἥτις πάντα τὰ χαρίσματα ἐν ἑαυτῇ κέκτηται, μᾶλλον δὲ αὐτὴ ὁμοῦ «καθ' ὑπερβολὴν»[9] ὁδὸς ὑπὸ τοῦ ἀποστόλου τοῖς μαθηταῖς ἀποκαλυφθεῖσα. Τοῖς γὰρ ἐν τοιούτοις καταντήσασι μέτροις καὶ τὰ πάθη τῆς κακίας κατήργηται (καθὼς εἴρηται· «ἡ ἀγάπη» «οὐ ζηλοῖ», «οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς», «οὐ λογίζεται τὸ κακόν»[10] καὶ τὰ ἑξῆς) καὶ ἡ ζῶσα πηγὴ τοῦ Πνεύματος ἐκ τῆς ἀβύσσου τῆς θεότητος ἐν αὐτοῖς ἀπαύστως καὶ ἀδιαλείπτως βρύει, καθὼς εἴρηται· «ὁ πίνων ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ «γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον»[11], εἰς ἐπουράνια μυστήρια «ἄρρητα»[12] ἁρπάζουσα πάντοτε τὸν νοῦν καὶ πτεροῦσα «ἀπὸ δόξης εἰς δόξαν»[13], ἀπὸ αἰώνων εἰς αἰῶνας, ἀπὸ μυστηρίων εἰς μυστήρια, ἀπὸ δυνάμεων εἰς δυνάμεις, ἀπὸ ἀναπαύσεων εἰς ἀναπαύσεις ἀνεκδιηγήτους, ἀπὸ ἀρετῶν εἰς ἀρετάς, ἀπὸ ὑπερκοσμίων φώτων εἰς ὑπερουράνια φῶτα.

Ε'. Καὶ τὸ ὅλον περὶ τὰ θεῖα καὶ κρείττονα ἀσχολουμένη ἡ τῆς τοιαύτης ψυχῆς διάνοια εὑρίσκεται ἐκκαιομένη πνευματικῷ ἔρωτι καὶ ἐπιθυμίᾳ κρείττονι ἐπὶ τὰ ἐνδοξότερα καὶ φωτεινότερα κάλλη τοῦ πνεύματος, ἀκορέστῳ πόθῳ «τετρωμένη»[14] περὶ τὸν ἐπουράνιον νυμφίον καί, ἵν' οὕτως εἴπω, κατασπαταλῶσα λοιπὸν τῶν ἐλαττόνων περὶ τὰ **33** κρείττονα καὶ μείζονα τὴν ἐπιθυμίαν ἔχει τὰ μηκέτι μήτε λόγῳ ῥηθῆναι δυνατὸν μήτε ἐννοίᾳ ἀνθρωπίνῃ ἐλλαμφθῆναι. Καὶ οὕτως ἐστίν, ὥσπερ βασιλέως † υἱὸς ἢ θυγάτηρ † κατασπαταλῶσα τῶν γονέων τὰ τίμια ἀποβάλλει καὶ τὰ τιμιώτερα ἐπιζητεῖ, ὑπόθου ἀντὶ ἀργυρῶν δίσκων χρυσοῦς ἐπιζητεῖ, ἀντὶ λαμπρῶν ἐνδυμάτων καὶ τι-

---

1. Πρβλ. Α' Κορ. 4,1. 2. Α' Θεσ. 2,4. 3. Β' Κορ. 2,17. 4. Πρβλ. Α' Κορ. 12,31. 5. Πρβλ. Ματθ. 5,6. 6. Πρβλ. Ρωμ. 15,30. 7. Πρβλ. Α' Κορ. 13,8. 8. Πρβλ. Ρωμ. 15,30. 9. Πρβλ. Α' Κορ. 12,31. 10. Πρβλ. Α' Κορ. 13,4. 5. 11. Ἰω. 4,14. 12. Πρβλ. Β' Κορ. 12,4. 13. Πρβλ. Β' Κορ. 3,18. 14. Πρβλ. Ἆσμ. 2,5.

μίων ὁλοσηρικῶν διάλιθα καὶ χρυσοϋφῆ ἐπιλέγεται, ἀντὶ παλαιοῦ οἴνου καὶ χρηστοῦ[1] προπάλαιον καὶ τιμιώτερον ἐπιθυμεῖ, αὐτὰ τὰ τίμια τῇ ἐπιθυμίᾳ τῶν κρειττόνων ἐξευτελίζει καὶ ὥσπερ χυδαΐζει ἐπιζητοῦσα τὰ βελτίονα παρὰ τῶν γονέων — οὕτως αἱ βασιλικαὶ ὄντως ψυχαὶ αἱ τοῦ βασιλικοῦ καὶ ἡγεμονικοῦ πνεύματος τυχεῖν καταξιωθεῖσαι καὶ ἄτρεπτον τὴν τῆς ἀγάπης[2] δύναμιν ἐν ἑαυταῖς δεξάμεναι καὶ τελείῳ ἔρωτι πρὸς τὸν ἐπουράνιον νυμφίον τετρωμέναι οὐκέτι περὶ τὰ τάθη τῆς κακίας ἠσχόληνται. Πολλῷ γὰρ πόνῳ καὶ τόνῳ καὶ χρόνῳ καὶ τελείῳ ἀγῶνι διὰ πίστεως τούτων ὑπὸ τοῦ πνεύματος ἐλυτρώθησαν καὶ ἡρπαγμέναι εἰσὶ πάντοτε εἰς ἐπουράνια μυστήρια τοῦ πνεύματος καὶ εἰς τὰ διάφορα κάλλη τῆς θεότητος ἀπησχόληνται, τὰ κρείττονα καὶ μείζονα ἐν πολλῇ ἐπιθυμίᾳ ἐπιζητοῦσαι. Ἔχει γὰρ διάφορα καὶ πολυποίκιλα κάλλη ἄρρητα καὶ ἀνεννόητα ἡ τοῦ πνεύματος θεότης, ἅπερ εἰς τέρψιν καὶ χαρὰν καὶ ζωὴν καὶ ἀνάπαυσιν ταῖς ἀξίαις ψυχαῖς ἐπιδείκνυται εἰς τὸ πάντοτε σφοδροτέρῳ καὶ ἐμπυρεστέρῳ ἔρωτι πρὸς τὸν ἐπουράνιον νυμφίον τὴν ἁγίαν ψυχὴν τιτρωσκομένην μηκέτι τὰ ἐπὶ γῆς περιβλέπεσθαι, ἀλλὰ ὅλην ἐξ ὅλου τῷ πόθῳ πρὸς αὐτὸν ἀσχολεῖσθαι.

Ϛʹ. Οὐκ ὀφείλει τοίνυν ψυχὴ Χριστιανὴ ἡ χάριτος μέτοχος γεναμένη ἐναπομένειν καὶ ἐμπληροφορεῖσθαι ὡς «ἤδη»[3] τι καταλαβοῦσα, ἀλλὰ πρὸς τὸν προειρημένον σκοπὸν τοῦ ἀποστόλου ἀφορῶσα σπεύδειν πάντοτε ἀγῶνι καὶ πόνῳ πολλῷ διὰ πίστεως τυχεῖν τῆς ἐπηγγελμένης τοῦ πνεύματος τελείας ἀγάπης, ἥτις «ἔξω βάλλει τὸν φόβον»[4], καθὼς Ἰωάννης εἴρηκε, καὶ πεινᾶν καὶ διψᾶν πάντοτε χρὴ «τὴν δικαιοσύνην»[5] καὶ ὡς ἀρχομένη πάντοτε οὕτως ἐν ἑαυτῇ διακεῖσθαι διὰ «τὸν ὑπερ**34**βάλλοντα» τοῦ Πνεύματος «πλοῦτον»[6] τὸν τοῖς πιστεύουσιν ἐπηγγελμένον, ἵνα οὕτως ἔχουσα ἡ εὐλαβὴς ψυχὴ περὶ τὴν πολλὴν τῶν κρειττόνων ἐπιθυμίαν καὶ ἃ κέκτηται καλὰ οὐκ ἀπόλλυσιν, ἀλλὰ καὶ ἃ μηδέπω ἔχει ἐκεῖνα προσλαμβάνει. Οὐχ ὡς μίσθιος γὰρ ἢ «δοῦλος»[7] καιροσκοπεῖν ὀφείλει ἐπὶ τῷ καμάτῳ ὑποστελλόμενος ὁ Χριστιανός, ἀλλ᾽ ὡς «υἱὸς καὶ κληρονόμος»[8] ἐν πάσῃ εὐνοίᾳ καὶ προθυμίᾳ τῷ πατρὶ ἕως τέλους δουλεύσας, τῶν πατρικῶν ὑπαρχόντων οὕτως ἔσται κληρονόμος. Πάντες γὰρ ἐν τῷ αἰῶνι τούτῳ ζωῆς δοκοῦσιν ἐναπολαύειν ἀπὸ βασιλέως ἕως ἐπαίτου καὶ ἕκαστος πληροφορεῖται ὅτι ζῇ, ἀλλ᾽ ἐὰν συγκρίνῃς τὴν ζωὴν καὶ τὴν τρυφὴν τῶν πλουσίων πρὸς τὴν τῶν πενήτων, πολλὴν διαφορὰν εὑρήσεις. Κατὰ γὰρ τὴν ἀπόλαυσιν τῆς τρυφῆς τῶν διαφόρων ἐδεσμάτων καὶ οἴνου διαφόρου καὶ ἐνδυμάτων διαφόρων χρυσοῦ τε καὶ ἀργύρου καὶ τῶν λοιπῶν κτημάτων συγκρίνων τὸν πένητα τῷ πλουσίῳ εὑρήσεις τοῦτον πρὸς ἐ-

---

1. Πρβλ. Λουκ. 5,39. 2. Πρβλ. Ἀσμ. 2,5. 3. Πρβλ. Φιλιπ. 3,12. 4. Α' Ἰω. 4,18. 5. Πρβλ. Ματθ. 5,6. 6. Πρβλ. Ἐφ. 2,7. 7. Πρβλ. Γαλ. 4,7. 8. Πρβλ. ἔνθ' ἀν.

κεῖνον νεκρόν· ὁ γὰρ πλούσιος χρυσὸν μόνον μετὰ χεῖρας ψηλαφᾷ καὶ νομίσματα ἀριθμεῖ, ὁ δὲ πένης καὶ χαλκοῦν νουμμίον ἐὰν εὕρῃ ἐν κοπρίᾳ οὐκ ἐπαισχύνεται κύψαι καὶ λαβεῖν αὐτὸ διὰ τὴν ἔνδειαν τὴν πολλήν. Ἐὰν οὖν συγκρίνῃς τὴν τοῦ πένητος πρὸς τὸν πλούσιον ζωήν, εὑρήσεις ὡς μὴ οὖσαν παρὰ οὖσαν καὶ ὡς νεκρὸν παρὰ ζῶντα. Οὕτως καὶ εἰς τὸ πνευματικόν. Πάντες Χριστιανοὺς νομίζουσιν ἑαυτοὺς εἶναι διὰ τὴν ὁμολογίαν τῆς εἰς Χριστὸν πίστεως ἢ καὶ δι' ὀλίγας τινὰς ἀρετάς, ἀλλὰ οἱ ἀληθινοὶ Χριστιανοὶ ὀλίγοι εἰσίν, οἱ Πνεύματι Ἁγίῳ πλούσιοι, οἱ ταῖς διαφόροις τρυφαῖς τῆς χάριτος ἐναπολαύοντες, οἱ τῷ οὐρανίῳ πόθῳ τοῦ πνεύματος εὐφραινόμενοι, οἱ τοῖς διαφόροις τῶν χαρισμάτων οὐρανίοις ἐνδύμασιν τὴν ψυχὴν κεκοσμημένοι, οἱ οὐχ ὁμολογίᾳ καὶ ψιλῇ πίστει, ἀλλὰ δυνάμει καὶ ἐνεργείᾳ Πνεύματος τὸν Χριστιανισμὸν κεκτημένοι, οἱ τὸν οὐράνιον χρυσὸν (τουτέστι τὴν τῶν μυστηρίων τοῦ Πνεύματος γνῶσιν καὶ διήγησιν) μετὰ χεῖρας τῆς ψυχῆς ἀδιαλείπτως τῷ νῷ ψηλαφῶντες, οὗτοί εἰσιν οἱ ἀληθινοὶ Χριστιανοί. Ἐὰν γὰρ συγκρίνῃς τὴν τοῦ νοὸς αὐτῶν διαγωγὴν καὶ ζωὴν τῆς ψυχῆς πρὸς τὴν ἐκείνων, εὑρήσεις πολλὴν διαφορὰν ὡς ζώντων πρὸς νεκρούς. Ἐκεῖνοι γὰρ ἐν τῇ δεινῇ πενίᾳ τοῦ ἐγκοσμίου πνεύματος ὄντες καὶ τῆς δυνάμεως τοῦ οὐρανίου πλούτου ἐστερημένοι καὶ ὑπὸ τῶν παθῶν τὸν νοῦν συγκεχυμένοι μόλις **35** κἂν ἕνα λογισμὸν καλὸν ἀπὸ πολλῶν κακῶν εὑρίσκοντες ἐν ἑαυτοῖς ἀναπαύονται τῇ πενίᾳ διοικούμενοι καὶ ἐνδύμασι λιτοῖς ἀρετῶν μικρῶν πληροφοροῦνται τὰ διάφορα μὴ ἔχοντες τοῦ πνεύματος ἐν ταῖς θείαις ἀρεταῖς ἐνεργήματα, ὡς καὶ ὁ Κύριος πολλὴν τὴν διαφορὰν ἐφανέρωσε τῶν ἀληθινῶν προσκυνητῶν[1] μελλόντων ἔσεσθαι ἀπὸ τῶν πολλῶν τῶν δοκούντων προσκυνεῖν ἐπιπολαίῳ καὶ ἐξωτέρᾳ προσκυνήσει, μὴ «ἐν πνεύματι» δὲ «καὶ ἀληθείᾳ» προσκυνούντων, εἰπών· «ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσιν τῷ Πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ Πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. Πνεῦμα ὁ Θεὸς καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν»[2], τοὺς ἐπουρανίους παλατινοὺς καὶ ἐν πνεύματι πλουσίους ἀπὸ τῶν ἐν πενίᾳ δεινῇ τῆς ἁμαρτίας διακρίνων, οἵτινες διὰ τὴν ὁμολογίαν τῆς εἰς Χριστὸν πίστεως ζῆν δοκοῦσιν, οὐ μέντοι τὴν πλουσίαν ζωὴν τῆς ἐν δυνάμει τοῦ Πνεύματος ἐνεργείας κεκτημένοι.

Ζ΄. Ὥσπερ γὰρ τὴν εἰκόνα τοῦ σώματος πάντες μὲν ἔχουσιν, ἀλλ' οἱ μὲν ὑγιῆ καὶ ἀσινῆ αὐτὴν κέκτηνται, οἱ δὲ νοσερὰν ἢ καὶ τετραυματισμένην. Ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς πάθεσιν τοῦ σώματος, πολλή τις διαφορὰ τυγχάνει· οἱ μὲν γὰρ προφανῶς τραύματα ἔχοντες ἀλγοῦσιν, οἱ δὲ τραύματα πρόδηλα μὴ ἔχοντες ψυγμὸν δεινὸν ἐν τῷ σώματι ἔχουσιν ὥστε μηδὲ κινεῖσθαι δύνασθαι καὶ κατὰ μὲν τὸ ὁρώμενον ὡς

1. Πρβλ. Ἰω. 4,23. 2. Ἰω. 4,23. 24.

ὑγιὲς εἶναι δοκεῖ τὸ σῶμα, κατὰ δὲ τοὺς πόνους καὶ τὴν κίνησιν τῆς ἐργασίας πολὺ χεῖρον αὐτοῦ ἐστι καὶ δυσθεράπευτον πάθος τοῦ προδήλως πεπληγμένου. Ἐκεῖνος φανερὰ ἔχων τὰ τραύματα, ἐὰν ἔλθῃ πρὸς τὸν ἰατρόν, ταχύτερον ἐκείνου θεραπείας ἀξιοῦται. Καὶ πάντα δὲ τὰ κρύφια τοῦ σώματος πάθη τῶν προδήλων χείρονα τυγχάνει καὶ δυσθεράπευτα. Οὕτω καὶ οἱ Χριστιανοί. Πολλοὶ νομίζονται ὑγιεῖς εἶναι (τοῦτ᾽ ἔστι πνευματικοὶ) διά τινας ἐπιπολαίους καὶ σωματικὰς ἀρετάς, ἔσωθεν δὲ δεινοῖς πάθεσι κρυφίοις κεκράτηνται· καὶ ἄλλοι προδήλοις ἁμαρτήμασιν ἐνεχόμενοι καὶ παρὰ τοῖς πολλοῖς ὡς ἀδόκιμοι καὶ ἀπόβλητοι ὄντες (ὥσπερ τῷ Φαρισαίῳ «ὁ τελώνης»[1]), ἐὰν ἐπιστρέψωσι πρὸς τὸν ἀληθινὸν ἰατρὸν Χριστόν, προσεγγίζοντες αὐτῷ ταχυτέραν τὴν ἴασιν **36** παρὰ τοὺς προειρημένους δέχονται (ὃν τρόπον ὁ τελώνης παρὰ τὸν Φαρισαῖον, «κατέβη», γάρ φησιν, «δεδικαιωμένος»[2])· οὐκ εἰσὶ γὰρ οὕτω «κατὰ τὸν ἔσω ἄνθρωπον»[3] ὡς οἱ κρυπτοῖς πάθεσι πεπληγμένοι, οἷον ἢ οἰήσει ἢ ἐπάρσει ἢ φυσιώσει ἢ ἀπιστίᾳ ἢ ὑπερηφανίᾳ ἢ δοκήσει ἢ ὑποκρίσει ἢ κενοδοξίᾳ ἢ δειλίᾳ ἢ αἰσχροῖς λογισμοῖς καὶ τοῖς ὁμοίοις. «Ἄνθρωπος», γάρ φησιν, «ὄψεται εἰς πρόσωπον, ὁ δὲ Θεὸς ὄψεται εἰς καρδίαν»[4]. Πλὴν τὸ ζητούμενόν ἐστιν, ἵνα καὶ ἔξωθεν καὶ ἔσωθεν ὑγιὴς εὑρεθῇ ὁ ἄνθρωπος διὰ τῆς θείας χάριτος καὶ τοῦ ἰδίου αὐτεξουσίου ἀγῶνος, καὶ τότε κληρονόμος τῆς βασιλείας γενέσθαι καταξιοῦται ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Η΄ (=ΞΕ΄)

37 Α΄. Αὕτη ἐστὶν «ἡ καινὴ διαθήκη»[5], οὗτός ἐστιν ὁ «νόμος τοῦ πνεύματος»[6], ὁ ἐν «καρδίαις»[7] ἐγγραφόμενος, ὁ προκεκηρυγμένος ὑπὸ τῶν προφητῶν, ἐν τούτῳ τῷ νόμῳ καρποφορεῖ ἡ ψυχὴ καρποὺς «δικαιοσύνης»[8] καὶ ζῇ ἐν θεῷ ζωὴν αἰώνιον. Εἴ τις οὖν οὐκ ἐδέξατο τὴν χάριν παρὰ τοῦ θεοῦ καὶ εἴ τις οὐκ ἤλπισε καὶ ἔλαβε «τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος»[9], ἠθέτησε «τὴν βουλὴν τοῦ Θεοῦ»[10] καὶ ἠρνήσατο ἔργῳ πάσας τὰς Γραφάς. Εἰ γὰρ ἐνέργειαν οὐκ ἐδέξατο, φαντάζεται ὑπὸ λογισμῶν, τῆς ἐπουρανίου ἐκκλησίας τῶν «πρωτοτόκων» ἀλλότριος ὤν, τοῖς «πνεύμασι» τῶν «δικαίων καὶ τετελειωμένων»[11] οὐκ ἐκοινώνησεν, τῆς «ἄνω Ἱερουσαλὴμ»[12] οὐκ ἐγένετο. Οὗτος οὐ προσεκύνησε «τῷ Πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ»[13]. Ἐν ᾧ γὰρ οὐκ ἔστιν ὁ Θεὸς κατοικῶν, οὗτος οὐδὲ ἔγνωκε τὸν Θεόν· «αὕτη» γὰρ «ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν Θεόν»[14]. «Τὸ»

---

1. Πρβλ. Λουκ. 18,10. 2. Πρβλ. Λουκ. 18,14. 3. Ρωμ. 7,22. 4. Α΄ Βασ. 16,7. 5. Πρβλ. Λουκ. 22,20. 6. Πρβλ. Ρωμ. 8,2. 7. Πρβλ. Ρωμ. 2,15. 8. Πρβλ. Ἰακ. 3,18. Φιλιπ. 1,11. 9. Πρβλ. Πράξ. 2,38. 10,45. 10. Πρβλ. Λουκ. 7,30. 11. Πρβλ. Ἑβρ. 12,23. 12. Πρβλ. Γαλ. 4,26. 13. Πρβλ. Ἰω. 4,23. 14. Ἰω. 17,3.

γὰρ «γεγεννημένον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστι»[1] καὶ «ἡ γέννησις τοῦ Θεοῦ» φυλάσσει «αὐτὸν καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ»[2]. Οὗτοι δὲ βούλονται χωρὶς θεμελίου στέγην ἐπιθεῖναι τῷ οἴκῳ. Χωρὶς μητρὸς υἱὸς οὐ γεννᾶται καὶ χωρὶς κοινωνίας τέκνον οὐ γίνεται, οὕτω καὶ χωρὶς τῆς γεννήσεως τῆς ἐκ τοῦ Πνεύματος τοῦ Ἁγίου υἱὸς Θεοῦ οὐδεὶς γίνεται, υἱὸς δὲ Θεοῦ μὴ ὢν εἰς ζωὴν αἰώνιον οὐκ εἰσέρχεται. «Ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ **38** Θεοῦ»[3]. Οἶκος γὰρ οἰκοδομούμενος θεμελίου χρῄζει. Οὐχὶ ἁπλῶς «ἐπὶ τὴν ἄμμον»[4] τις οἰκοδομεῖ, ἀλλὰ πρῶτον πᾶσαν ἄμμον ἀνορύσσει καὶ βαθύνει καὶ οὕτω τίθησιν «ἐπὶ τὴν πέτραν»[5] τὸν θεμέλιον, ἵνα διαμείνῃ ἀσάλευτος ἐρχομένων τῶν χειμώνων καὶ ἀνέμων καὶ τῶν κλυδώνων καὶ τῶν ποταμῶν· οἱ δὲ ἁπλῶς ἐπὶ ἄμμον οἰκοδομοῦντες μάτην κοπιῶσιν, εὐθέως γὰρ πίπτει καὶ καταστρέφεται ἡ οἰκία. Οὕτω καὶ ψυχὴ φιλαλήθης βουλομένη τὴν οἰκίαν αὐτῆς οἰκοδομῆσαι κατὰ τὸν τοῦ Κυρίου λόγον οὐκ οἰκοδομεῖ «ἐπὶ τὴν ἄμμον»[6] τῶν πονηρῶν διαλογισμῶν τῆς ἁμαρτίας, ἀλλὰ ὀρύσσει καὶ βαθύνει τοὺς ἀμμώδεις καὶ κακοὺς διαλογισμοὺς τῆς πονηρίας ὅσον δυνατὸν αὐτῇ ἐκκόπτουσα, ἕως οὗ εὕρῃ λογισμοὺς στερεοὺς τοῦ Χριστοῦ τῆς πίστεως ἀσαλεύτους, ἕως οὗ εὕρῃ τὸν Χριστόν, τὴν ἀληθινὴν πέτραν, εἰς ἣν «πύλαι ᾅδου οὐ κατισχύουσιν»[7]. Καὶ οὕτως ἐποικοδομεῖ διὰ τῆς ἀγαθῆς πολιτείας ἔχουσα καρδίαν καθαράν, συνείδησιν ἀγαθήν, <πίστιν> ἀνυπόκριτον[8] κατὰ τὸν ἀπόστολον, καὶ οὕτω συμπληροῖ τὴν οἰκοδομὴν τοῦ οἴκου τοῦ Θεοῦ τὴν πνευματικὴν ἔσωθεν οὖσαν καθαρὰν καὶ ἔξωθεν πολὺ μᾶλλον καθαράν. Τὸ πρὶν γὰρ πρὸ τοῦ ἀποκαλυφθῆναι τοῦτο τὸ μυστήριον τοῦ πνεύματος τοῦ Χριστοῦ καὶ πρὸ τῆς ἐλεύσεως καὶ ἐπιφανείας αὐτοῦ ὅλος ὁ καλλωπισμὸς τῆς δικαιοσύνης ἔξωθεν ἦν καὶ ὁ νόμος καὶ ἡ περιτομὴ καὶ ὁ καθαρισμὸς καὶ αἱ θυσίαι καὶ αἱ προσφοραὶ καὶ αἱ λατρεῖαι. Ἐξ οὗ δὲ «ἐπεφάνη» ὁ «σωτήριος»[9] λόγος τοῦ Χριστοῦ καὶ ἔδωκε τὸ Πνεῦμα τὸ Ἅγιον εἰς τὰς καρδίας τῶν ἀνθρώπων, τὸν λόγον τὸν ἐν μέλανι μὴ γραφόμενον, πάντα ἔσωθεν εὑρίσκεται καὶ λατρεία ἔσωθεν ἀπὸ συνειδήσεως καθαρᾶς καὶ θυσίαι ἔσωθεν (φησὶ γὰρ ὁ ψαλμῳδός· «ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή»[10]) καὶ ἀπαξαπλῶς ἡ ἔνδον ζητεῖται καθαρότης καὶ ὁ καλλωπισμὸς τῆς ψυχῆς καὶ οὕτω δύναται καὶ τὸ ἔξωθεν ἐξ ἀληθείας εἶναι καθαρόν, ὥς φησιν ὁ Κύριος· «Φαρισαῖε τυφλέ», «τὸ ἔσωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος πλῦνον», «ἵνα» «καὶ τὸ ἔξωθεν» ᾖ «καθαρόν»[11]. «Ὁ» γὰρ «ποιήσας τὸ ἔσωθεν καὶ τὸ ἔξωθεν ἐποίησεν»[12]. Εἰ γὰρ τὸ πρὶν οἱ ἄνθρωποι μὴ ἔχοντες τὸν **39** ἔσωθεν καθαρισμὸν διὰ τῆς δικαιοσύνης τοῦ νόμου ἐκαλλωπίζοντο, πόσῳ μᾶλλον, ὅταν ἡ ψυχὴ καθαρισθῇ ἐκ

---

1. Ἰω. 3,6. 2. Α' Ἰω. 5,18. 3. Ρωμ. 8,14. 4. Πρβλ. Ματθ. 7,26. 5. Πρβλ. Λουκ. 6,47. 6. Πρβλ. Ματθ. 7,26. 7. Πρβλ. Ματθ. 16,18. 8. Πρβλ. Α' Τιμ. 1,5. 9. Πρβλ. Τίτ. 2,11. 10. Ψαλ. 140,2. 11. Πρβλ. Ματθ. 23,26. 12. Λουκ. 11,40.

τοῦ σκότους ἔχουσα ἐν ἑαυτῇ τὸν ἀληθινὸν Χριστόν, ἐξ ἀληθείας καὶ τὸ σῶμα ἡγίασται καὶ κεκαλλώπισται.

Β΄. Μαργαρίτης μέγας καὶ πολύτιμος καὶ βασιλικός, ὁ εἰς διάδημα βασιλικὸν προχωρῶν, βασιλέως μόνου χρήζει καὶ βασιλεὺς μόνος δύναται τὸν μαργαρίτην τοῦτον φορεῖν, ἄλλῳ δὲ ἀνθρώπῳ φορεῖν τὸν τοιοῦτον μαργαρίτην οὐκ ἔξεστιν. Οὕτω καὶ ἐὰν μή τις γεννηθῇ ὑπὸ τοῦ βασιλικοῦ καὶ θεϊκοῦ Πνεύματος καὶ γένος ἐπουράνιον καὶ βασιλικὸν γένηται καὶ τέκνον Θεοῦ (κατὰ τὸ γεγραμμένον· «ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι»[1]), τὸν ἐπουράνιον καὶ πολύτιμον μαργαρίτην, τὴν εἰκόνα τοῦ φωτὸς τοῦ ἀληθινοῦ, ἥτις ἐστὶν ὁ κύριος, οὐ δύναται φορέσαι, βασιλείας μὴ γεννηθεὶς υἱός. Οἱ γὰρ ἔχοντες καὶ φοροῦντες τὸν μαργαρίτην συζήσουσι καὶ συμβασιλεύσουσι[2] τῷ Χριστῷ εἰς τοὺς αἰῶνας· οὕτω γὰρ εἶπεν ὁ ἀπόστολος· «καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου»[3]). Χριστὸς ἐστιν ὁ ἐν ψυχῇ φορούμενος ἐν φωτὶ ἀρρήτῳ μόνον τοῖς φοροῦσιν αὐτὸν ἐξ ἀληθείας γινωσκόμενος καὶ ὁρώμενος τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς· ἀμυήτῳ δὲ «<τὰ> τοῦ Πνεύματος»[4] γνῶναι ἀδύνατον ἢ μόνον πίστιν δέξασθαι, ἕως οὗ καὶ ἐν αὐτῷ γένηται ἡ ἐπουράνιος[5] εἰκὼν τοῦ Χριστοῦ καὶ τότε τῇ πείρᾳ ἐξ ἀληθείας γινώσκει τὴν χρηστότητα τοῦ Κυρίου. Δόξα τῷ οὕτως ἀγαπήσαντι τὸ γένος τῶν ἀνθρώπων καὶ μετόχους τῆς οὐσίας αὐτοῦ εἶναι καταξιώσαντι. Λέγει γὰρ Πέτρος· «ἵνα» γένησθε θείας κοινωνοὶ φύσεως»[6]. Τοιούτων οὖν ἀγαθῶν καὶ θείων χαρισμάτων ἐπηγγελμένων σπουδάσωμεν καὶ ἡμεῖς καὶ παρακαλέσωμεν, ἵνα μέτοχοι γενώμεθα, καθὼς καὶ ὁ ἀπόστολος εἶπε· «τεκνία μου, οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν»[7]. Οὐαὶ ὅστις οὐκ ἐζήτησε καὶ εὗρε τὰ πνευματικὰ καὶ ἄρρητα ἀγαθά, ὅτι ὁ μὴ γεννηθεὶς ἐκ Πνεύματος εἰς «βασιλείαν»[8] εἰσελθεῖν οὐ δύναται· ὁ γὰρ Κύριος οὕτως ἀπεφήνατο.

40 Γ΄. Ἐξ ἀρχῆς ὁ ἄνθρωπος πλασθεὶς[9] ὑπὸ τῶν τοῦ Θεοῦ χειρῶν ἦν ἐν καθαρότητι καὶ ἡμερότητι πολλῇ, ὅτε δὲ παρέβη τὴν ἐντολὴν τοῦ Θεοῦ, ὑπὸ τὴν ἀπόφασιν γέγονεν, βασιλευθεὶς ὑπὸ τοῦ πονηροῦ συναπηγριώθη τοῖς θελήμασιν αὐτοῦ καὶ πᾶν τὸ ἐξ αὐτοῦ γένος βασιλευθὲν ἐν ἀγριότητι καὶ ἐρημίᾳ ἐξητάσθη, μὴ ὑποτασσόμενον τῷ ζυγῷ τῆς δικαιοσύνης. Ὅθεν ὑπὸ τοῦ λόγου τῆς ζωῆς ἀνακαλούμενος ἐν συνηθείᾳ ἀγριότητος τυγχάνων δυσχερῶς ἐπανέρχεται ἐπὶ τὸν ἥμερον καὶ χρηστὸν ζυγόν[10]. Ὃν τρόπον βοῦς αἰρόμενος ἀπὸ ἀγρίας ἀγέλης εἰς τὸ ὑπεισελθεῖν ζυγῷ καὶ ἀροτριάσαι τὴν γῆν πρῶτον μὲν ἀγριαίνεται καὶ ἀπεχθῶς ἔχει πρὸς τὸν ζυγόν, ἐπὰν δὲ γυμνασθῇ καὶ δαμασθῇ ὑπὸ τοῦ ζευγηλάτου, κατ' ὀλίγον σὺν τῷ ἐργάτῃ βοΐ, τὸ λοιπὸν ἄνευ ἀνάγ-

---

1. Ἰω. 1,12. 2. Πρβλ. Β΄ Τιμ. 2,12. 3. Α΄ Κορ. 15,49. 4. Πρβλ. Α΄ Κορ. 2,14. 5. Πρβλ. Α΄ Κορ. 15,49. 6. Β΄ Πέτρ. 1,4. 7. Γαλ. 4,19. 8. Πρβλ. Ἰω. 3,3-5. 9. Πρβλ. Γεν. 2,7 ἑξ. 10. Πρβλ. Ματθ. 11,30.

κης προθύμως προσέρχεται τῷ ζυγῷ ἐμπονῶν τῇ γῇ — οὕτω καὶ ἡ ψυχὴ ἡ πιστεύουσα τῷ Θεῷ ἔτι ὑπὸ τὴν ἁμαρτίαν κρατουμένη καὶ ἔρημος οὖσα ἀγριαίνει πρὸς τὸν ἀληθινὸν ζυγόν, συζευγνυμένη δὲ μετὰ ἁγίων ψυχῶν τῶν τὸ ἔργον τῆς ἀληθινῆς γῆς καλῶς εἰδότων ἐργάζεσθαι, λοιπὸν ὑπὸ τῆς χάριτος τοῦ Πνεύματος ἡμεροῦται καὶ ὁδηγεῖται εἰς ἀλήθειαν κατ' ὀλίγον, ἕως οὗ παντελῶς ἡμερωθῇ καὶ λοιπὸν τὸν χρηστὸν ζυγὸν τοῦ Κυρίου[1] ἡδέως ἀναλαμβάνει ἐργαζομένη τὴν γῆν τῆς καρδίας, ἵνα ποιήσῃ καρποὺς «τοῦ Πνεύματος»[2], κεντουμένη καὶ μαστιζομένη ὑπὸ τῶν πικρῶν πειρασμῶν μᾶλλον εἰς τὸ ἔργον τὸ θεϊκὸν ἀόκνως καὶ σπουδαιοτέρως ἐργάζεται. Ἢ πάλιν ὥσπερ ἵππος ἐν ἀγέλαις πελάζεται καὶ ἐν ἐρημίαις μετὰ ἀγρίων θηρίων ἔχων τὴν δίαιταν ἄγριος καὶ ἀνυπότακτός ἐστι τοῖς ἀνθρώποις, εἶτα λαμβάνεται ἀπὸ τῆς ἀγρίας ἀγέλης καὶ πρῶτον βασανίζεται ποικίλως, ἕως οὗ τὸ ἄγριον αὐτοῦ ἡμερωθῇ καὶ περιτιθέασιν αὐτῷ βαρὺν χαλινόν, ἕως οὗ μάθῃ εὐτάκτως καὶ ὀρθῶς περιπατεῖν, καὶ γυμνάζεται ὑπὸ ἐμπείρου καθιστοῦ, ἵνα ἐν πολέμῳ εὔχρηστος γένηται. Εἶτα ἐνδύουσιν αὐτὸν ὅπλα ἢ θώρακα ἢ κατάφρακτα καὶ τὰ ἑξῆς καὶ πρῶτον τὸν χαλινὸν κρεμῶσι καὶ συσσείουσι κατέναντι τῶν ὀφθαλμῶν αὐτοῦ εἰς τὸ συνεθισθῆναι καὶ μὴ ἀποπτυρῆναι. Καὶ οὕτω διδασκόμενος ὑπὸ τοῦ **41** ἐπιβάτου μανθάνει πολεμεῖν ἐχθροῖς (χωρὶς γὰρ ἐπιβάτου καὶ θώρακος ἵππος πολεμεῖν οὐ δύναται)· ἐπὰν δὲ μάθῃ καὶ συνεθισθῇ εἰς τὸν πόλεμον, ὅταν ὀσφρανθῇ ἢ ἀκούσῃ φωνῶν «πολέμου»[3], αὐτὸς ἑτοίμως ἔρχεται ἐπὶ τοὺς ἐχθρούς, ὥστε καὶ ἀπ' αὐτῆς τῆς φωνῆς πτόησιν ἐμποιεῖν τοῖς πολεμισταῖς. Τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ ἀπὸ τῆς παραβάσεως οὖσα ἀγρία καὶ ἀνυπότακτος ἐν ἐρημίᾳ τοῦ κόσμου πελαζομένη μετὰ τῶν θηρίων, τῶν πνευμάτων «τῆς πονηρίας»[4], τὴν διακονίαν ἐν τῇ ἁμαρτίᾳ ἔχουσα ζῇ. Ὅταν δὲ ἀκούσῃ λόγον Θεοῦ καὶ πιστεύσῃ, χαλιναγωγουμένη ὑπὸ τοῦ Πνεύματος ἀποτίθεται τὸ ἄγριον ἦθος καὶ τὸ σαρκικὸν φρόνημα, ἡνιοχουμένη ὑπὸ τοῦ ἐπιβάτου Χριστοῦ. Εἶτα εἰς θλῖψιν καὶ δαμασμὸν καὶ στενοχωρίαν εἰσέρχεται εἰς τὸ δοκιμασθῆναι αὐτήν, ἵνα κατ' ὀλίγον ἡμερωθῇ διὰ τοῦ Πνεύματος ἐκλειπούσης καὶ ἀφανιζομένης κατ' ὀλίγον τῆς ἐν αὐτῇ ἁμαρτίας καὶ οὕτως ἐνδυομένη ἡ ψυχὴ «τὸν θώρακα τῆς δικαιοσύνης» καὶ «τὴν περικεφαλαίαν τοῦ σωτηρίου» καὶ «τὸν θυρεὸν τῆς πίστεως» καὶ «τὴν μάχαιραν τοῦ πνεύματος»[5] διδάσκεται πολεμεῖν τοῖς ἐχθροῖς αὐτῆς, καὶ οὕτως ὁπλισαμένη τῷ τοῦ Κυρίου πνεύματι ἀγωνίζεται «πρὸς τὰ πνευματικὰ τῆς πονηρίας»[6] καὶ «τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ»[7] σβέννυσι. Χωρὶς γὰρ τῶν τοῦ Πνεύματος ὅπλων οὐκ ἀναιρεῖται ἡ ἁμαρτία, ἔχουσα δὲ τὰ ὅπλα τοῦ Κυρίου ἡ

---

1. Πρβλ. Ματθ. 11,30. 2. Πρβλ. Γαλ. 5,22. 3. Πρβλ. Ἰὼβ 39,25. 4. Πρβλ. Ἐφ. 6,12. 5. Πρβλ. Ἐφ. 6,14. 16. 17. 6. Πρβλ. Ἐφ. 6,12. 7. Πρβλ. Ἐφ. 6,16.

ψυχή, ὅταν ἀκούσῃ καὶ αἴσθηται τῶν σφοδρῶν πολέμων, «ἐν ἀλαλάγματι καὶ κραυγῇ ἐκπορεύεται»[1] (καθὼς ἐν τῷ Ἰὼβ εἴρηται), ὅτι καὶ ἀπὸ «τῆς φωνῆς τῆς δεήσεως»[2] αὐτῆς προσπίπτουσιν οἱ ἐχθροὶ καὶ οὕτως ἀγωνισαμένη καὶ νικήσασα διὰ τοῦ Πνεύματος τὸν πόλεμον νικηφόρους στεφάνους ἐπιφέρεται μετὰ παρρησίας πολλῆς καὶ οὕτω συνάπτεται τῷ ἐπουρανίῳ βασιλεῖ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Θ' (=ΞϚ')

42 Α'. Ὁ βουλόμενος Θεῷ εὐαρεστῆσαι καὶ συγκληρονόμος «Χριστοῦ»[3] πιστεύων γενέσθαι καὶ μιμητὴς τοῦ Κυρίου σπουδάζων εἶναι, ἵνα καὶ αὐτὸς υἱὸς Θεοῦ προσαγορευθῇ ἐκ Πνεύματος, πρὸ πάντων τῆς μακροθυμίας καὶ ὑπομονῆς δραξάμενος ὀφείλει τὰς ἀπαντώσας διαφόρους θλίψεις στενοχωρίας τε καὶ ἀνάγκας γενναίως ὑποφέρειν εἴτε σωματικὰς νόσους καὶ πάθη εἴτε ὀνειδισμοὺς ἀνθρώπων καὶ ὕβρεις εἴτε ἀοράτους θλίψεις διαφόρους τὰς ἐπαγομένας τῇ ψυχῇ ὑπὸ τῶν πονηρῶν πνευμάτων πρὸς τὸ ἐμποδίσαι αὐτῇ εἰς τὴν βασιλείαν ἀπελθεῖν εἰς χαύνωσιν καὶ ὀλιγωρίαν καὶ ἀνυπομονησίαν ἄγειν βουλομένων,
43 κατ' οἰκονομίαν τοῦ Κυρίου παραχωροῦντος ἑκάστην ψυχὴν δοκιμασθῆναι ἐν διαφόροις θλίψεσιν, ἵνα φανερωθῶσιν αἱ ψυχαὶ αἱ ἐξ ὅλης καρδίας ἀγαπῶσαι τὸν Κύριον καὶ δι' αὐτὸν πάντα τὰ ἐπιφερόμενα ὑπὸ τοῦ πονηροῦ γενναίως ὑπομένουσαι καὶ τῆς ἐλπίδος Κυρίου μὴ ἀφιστάμεναι, ἀλλὰ πάντοτε τὴν λύτρωσιν τῆς χάριτος ἐν πίστει καὶ ὑπομονῇ πολλῇ ἐκδεχόμεναι, διὸ καὶ ἐξελθεῖν δυνήσονται πάντα πειρασμόν· οὕτω γὰρ τῆς ἐπαγγελίας «τοῦ Πνεύματος»[4] ἐπιτυγχάνουσαι ἄξιαι τῆς βασιλείας καθίστανται. Ὀφείλει οὖν ἡ ψυχὴ ἡ τῷ λόγῳ τοῦ Κυρίου ἐξακολουθοῦσα «τὸν σταυρὸν»[5] τοῦ Κυρίου αἴρειν μετὰ χαρᾶς, ὡς γέγραπται, τοῦτ' ἔστιν ἑτοίμως ἔχειν ὑπομένειν διὰ τὸν Κύριον πάντα ἐπερχόμενον πειρασμὸν εἴτε κρυπτὸν εἴτε φανερὸν καὶ εἰς τὸν Κύριον ἀποκρέμασθαι τῇ ἐλπίδι πάντοτε, ὅτι ἐν ἐξουσίᾳ αὐτοῦ ἐστι καὶ τὸ θλιβῆναι τὴν ψυχὴν παραχωρουμένην ὑπ' αὐτοῦ καὶ τὸ ἀπολυτρωθῆναι παντὸς πειρασμοῦ καὶ θλίψεως δι' αὐτοῦ. Εἰ δὲ μὴ ἀνδρίζεται καὶ γενναίως φέρει ὑπομένουσα πᾶσαν θλῖψιν, ἀλλὰ λυπεῖται καὶ ἀκηδιᾷ καὶ ἄχθεται καὶ στενοχωρεῖται καὶ ὀλιγωρεῖ τοῦ ἀγῶνος καὶ ἀπελπίζει ὡς μηκέτι λυτρουμένη (ὅπερ καὶ τοῦτο αὐτῆς ἐστι τῆς κακίας τέχνη εἰς ἀκηδίαν καὶ ὀλιγωρίαν τὴν ψυχὴν ἐμβάλλουσα) καὶ τῆς ἐλπίδος ἐγκρατὴς ἂν μὴ γένηται ἀπεκδεχομένη πάντοτε τὸ ἔλεος τοῦ Κυρίου ἐν πίστει ἀδιστάκτῳ, τέκνον τῆς ζωῆς ἡ τοιαύτη ψυχὴ οὐ γίνεται, ἐπειδὴ ἀκόλουθος πάντων τῶν ἁγίων οὐ γέγονεν οὐδὲ τοῖς ἴχνε-

1. Ἰὼβ 39,25. 2. Πρβλ. Ψαλ. 5,3. 3. Πρβλ. Ρωμ. 8,17. 4. Πρβλ. Γαλ. 3,14. 5. Πρβλ. Ματθ. 16,24.

σιν τοῦ Κυρίου περιεπάτησεν. Κατανόησον γὰρ καὶ ἴδε πῶς ἐξ ἀρχῆς οἱ πατέρες, πατριάρχαι, προφῆται, ἀπόστολοι καὶ μάρτυρες διὰ τῆς στενῆς ὁδοῦ τῶν θλίψεων καὶ πειρασμῶν διῆλθον καὶ οὕτως ἠδυνήνήθησαν εὐαρεστῆσαι τῷ Θεῷ ὑπομείναντες πᾶσαν θλῖψιν καὶ πειρασμὸν γεν**44**ναίως καὶ ἐν ταῖς στενοχωρίαις καὶ κακουχίαις ἥδοντο διὰ τὴν προσδοκωμένην τῆς μισθαποδοσίας ἐλπίδα, καθώς φησιν ἡ Γραφή· «τέκνον, εἰ προσέρχῃ τῷ Κυρίῳ δουλεύειν, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· βάθυνον τὴν καρδίαν σου καὶ καρτέρει»[1] καὶ πάλιν ὁ ἀπόστολος· «εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί»[2] καὶ ἀλλαχοῦ· «τὰ» ἐπιφερόφερόμενά «σοι» πάντα «ὡς ἀγαθὰ πρόσδεξαι, εἰδώς, ὅτι ἄτερ Θεοῦ οὐδὲν γίνεται»[3]. Καὶ ὁ Κύριος λέγει· «μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πανηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ. Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς»[4] καὶ τό· «μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν»[5], δεδιωγμένοι δὲ εἴτε φανερῶς ὑπὸ ἀνθρώπων εἴτε κρυπτῶς ὑπὸ τῶν πνευμάτων «τῆς πονηρίας»[6]. Ἀνταγωνίζονται γὰρ τῇ τὸν Θεὸν ζητούσῃ ψυχῇ καὶ εἰς θλίψεις διαφόρους ἐμβάλλουσι πρὸς τὸ ἐμποδίσαι αὐτὴν τὴν αἰώνιον ζωὴν εἰσελθεῖν, ἅμα δὲ καὶ ἵνα δοκιμασθεῖσα φανερωθῇ, εἰ κατὰ ἀλήθειαν ἀγαπᾷ τὸν Θεὸν ἐν τῷ ὑπομένειν πᾶσαν θλῖψιν καὶ εἰ τῆς ἐλπίδος κρατήσει[7] τὴν λύτρωσιν ἐν πίστει ἀδιστάκτῳ ἐκδεχομένη ἢ πάλιν μὴ ὑπομείνασα ἀλλ' ὑποστείλασα εἰς τὰς θλίψεις καὶ ἀκηδιῶσα ἢ ὀλιγωροῦσα καὶ τῆς ἐλπίδος ἐλαττουμένη, ἵνα ἀποδειχθῇ μὴ ἀγαπῶσα τὸν Θεὸν ἐν ἀληθείᾳ. Αἱ γὰρ διάφοροι θλίψεις καὶ οἱ πειρασμοὶ ἀποδεικνύουσι τὰς ἀναξίας καὶ ἀξίας ψυχάς, τὰς ἐχούσας πίστιν καὶ ἐλπίδα καὶ ὑπομονὴν καὶ τὰς μὴ ἐχούσας, ἵνα ἐν πᾶσιν ἀποδειχθεῖσαι δόκιμοι καὶ πισταὶ αἱ ἄξιαι ψυχαὶ αἱ ἕως τέλους ὑπομείνασαι καὶ τῆς ἐλπίδος βεβαίως
45 κρατήσασαι καὶ οὕτω τὴν ἀπολύτρωσιν δεξάμεναι διὰ τῆς χάριτος δικαίως τῆς βασιλείας κληρονόμοι γένωνται. Τὴν ἐλπίδα τοίνυν καὶ τὴν ὑπομονὴν πρὸ πάντων ἑκάστη ψυχὴ βουλομένη εὐαρεστῆσαι Θεῷ γενναίως κρατείτω καὶ οὕτω δυνήσεται διεξελθεῖν πᾶσαν ἐπανάστασιν καὶ θλῖψιν τοῦ πονηροῦ.

Β'. Οὐδὲ γὰρ τοσοῦτον παραχωρεῖ ὁ Θεὸς ψυχὴν ἐπ' αὐτὸν ἐλπίζουσαν καὶ αὐτὸν ὑπομένουσαν πειρασθῆναι, ὥστε καὶ ἐξαπορηθῆναι καὶ παραδοθῆναι εἰς πειρασμοὺς καὶ θλίψεις, ἃς οὐ δύναται ὑπενεγκεῖν, καθώς φησιν ὁ ἀπόστολος· «πιστὸς ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν»[8]. Οὐδὲ γὰρ ὅσον βούλεται ὁ πονηρὸς

---

1. Σ. Σειρ. 2,1. 2. 2. Ἑβρ. 12,8. 3. Ὠριγένους περὶ Ἀρχῶν III, 2,7. Πρβλ. Ἰω. 15,5. 4. Ματθ. 5,11. 12. 5. Ματθ. 5,10. 6. Πρβλ. Ἐφ. 6,12. 7. Πρβλ. Ἑβρ. 6,18. (11). 8. Α' Κορ. 10,13.

πειράζει καὶ θλίβει τὴν ψυχήν, ἀλλ' ὅσον παραχωρεῖται αὐτῷ ὑπὸ τοῦ Θεοῦ, μόνον ἡ ψυχὴ γενναίως κρατείτω τὴν ἐλπίδα καὶ ἐν πίστει ἐκδεχέσθω τὴν παρ' αὐτοῦ βοήθειαν καὶ ἀντίληψιν. Καὶ ἀμήχανον αὐτὴν ἐγκαταλειφθῆναι, ἀλλ' ὅσον ἀγωνίζεται διὰ πίστεως καὶ ἐλπίδος προσφεύγουσα τῷ Θεῷ καὶ τὴν παρ' αὐτοῦ βοήθειαν καὶ λύτρωσιν ἀδιστάκτως ἐκδεχομένη, τοσοῦτον ταχύτερον λυτροῦται αὐτὴν ὁ Κύριος πάσης περιεχούσης θλίψεως. Οἶδε γὰρ αὐτὸς πόσον ὀφείλει εἰς δοκιμασίαν καὶ παιδείαν καὶ πειρασμοὺς εἰσελθεῖν ἡ ψυχὴ καὶ τοσοῦτον παραχωρεῖ, μόνον αὐτὴ τῆς ὑπομονῆς καὶ ἐλπίδος ἐγκρατὴς γενέσθω εἰς τέλος καὶ οὐ μὴ καταισχυνθῇ, καθὼς εἴρηται· «ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει»[1], καὶ πάλιν· «ὡς θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις»[2] καὶ τὰ ἑξῆς. Καὶ ὁ Κύριός φησιν· «ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται»[3] καί· «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν»[4] καὶ ἀλλαχοῦ λέγει· «τίς ἐπίστευσε τῷ Θεῷ καὶ κατῃσχύνθη; Ἢ τίς ἐνέμεινε τῷ φόβῳ αὐτοῦ καὶ ἐγκατελείφθη; Ἢ τίς ἐπεκαλέσατο αὐτὸν καὶ **46** ὑπερεῖδεν αὐτόν»[5]; Εἰ γὰρ ὀλίγης συνέσεως καὶ νοὸς μετέχοντες οἱ ἄνθρωποι ἐπίστανται δοκιμάζειν καὶ διακρίνειν, πόσον βάρος καὶ γόμον ἕκαστον τῶν ζῴων βαστάσαι δύναται, οἷον ἡμίονος ἢ ὄνος ἢ κάμηλος καὶ τοσοῦτον ἐπιφορτίζουσι κατὰ τὴν δύναμιν τοῦ ζῴου· καὶ ὁ κεραμεὺς ὁ πλάσας τὰ σκεύη εἰ μὴ ἐν τῇ καμίνῳ αὐτὰ βάλῃ, ἵνα πυρωθέντα στερεωθῇ, ἐπιτήδεια εἰς χρῆσιν ἀνθρώποις οὐ γίνεται, ἐπίσταται δὲ πόσον ἐν τῷ πυρὶ χρὴ αὐτὰ ἐνθεῖναι, ἕως οὗ χρήσιμα γένηται καὶ οὔτε ὑπὲρ τὸ δέον ἀφίησιν αὐτὰ ἐν τῇ καμίνῳ, ἵνα μὴ διαρραγέντα καταφθαρῇ, οὔτε δὲ πάλιν ἐλλιπῶς, ἵνα μὴ ἀποίητα καὶ ἄχρηστα ᾖ—εἰ οὖν ἐπὶ τῶν φαινομένων τοσαύτην γνῶσιν καὶ διάκρισιν οἱ ἄνθρωποι κέκτηνται, πόσῳ μᾶλλον ὁ Θεός, ὢν ἀκατάληπτος καὶ ἄφατός τις γνῶσις καὶ σύνεσις καὶ ὅλον σοφία ὑπάρχων, ἐπίσταται πόσων δοκιμασιῶν καὶ θλίψεων καὶ πειρασμῶν χρῄζουσιν αἱ ψυχαὶ αἱ αὐτῷ εὐαρεστεῖν θέλουσαι καὶ τῆς αἰωνίου ζωῆς τυχεῖν ἐπιποθοῦσαι. Καὶ οὕτως ὑπομένουσαι γενναίως καὶ πιστῶς ἐν ἐλπίδι πᾶσαν θλῖψιν μέχρι τέλους τότε δόκιμοι καὶ ἐπιτήδειοι τῇ βασιλείᾳ τῶν οὐρανῶν καθίστανται. Ὥσπερ γὰρ τὸ εἶδος τῆς καννάβεως οὐ χρησιμεύει εἰς τὸ γενέσθαι ἐξ αὐτοῦ, νήματα λεπτότατα, ἐὰν μὴ ἐπὶ πολὺ κοπανισθῇ καὶ ὅσῳ βασανίζεται ἐξινίζεται καὶ τοσούτῳ καθαρώτερον καὶ ἐπιτηδειότερον γίνεται, οὕτω καὶ ἡ ψυχὴ ἡ φιλόθεος εἰς πολλὰς δοκιμασίας καὶ πειρασμοὺς καὶ θλίψεις εἰσερχομένη καὶ ὑπομένουσα γενναίως καθαρωτέρα καὶ χρησιμωτέρα εἰς τὴν πνευματικὴν τῆς λεπτότητος ἐργασίαν καθίσταται καὶ τέλος τὸν ἐπουράνιον τῆς βασιλείας χῶρον καταξιοῦται κληρονο-

1. Ρωμ. 5,3. 5. 2. Β' Κορ. 6,4. 3. Ματθ. 10,22. 24,13. 4. Λουκ. 21,19. 5. Σ. Σειρ. 2,10.

μεῖν. Ὥσπερ γὰρ τὸ νεόπλαστον σκεῦος ἐν πυρὶ μὴ βληθὲν ἀνεπιτήδειόν ἐστιν εἰς χρῆσιν ἀνθρώποις ἢ ὥσπερ νήπιον βρέφος ὂν πρὸ τὰ τοῦ κόσμου ἔργα ἀνεπιτήδειον τυγχάνει, οὔτε γὰρ πόλεις **47** οἰκοδομεῖν οὔτε φυτεῦσαι δύναται οὔτε σπόρον καταθέσθαι οὔτε ἕτερόν τι τοῦ κόσμου ἔργον ἐπιτελεῖν (νήπιον «γάρ ἐστιν»[1]), οὕτω ψυχαὶ εἰ καὶ θείας χάριτος μέτοχοι γεγόνασι τροποφορούμεναι ἐν τῇ γλυκύτητι καὶ ἀναπαύσει τοῦ πνεύματος διὰ τὴν νηπιότητα αὐτῶν τῇ τοῦ Κυρίου χρηστότητι; Μήπω δὲ δοκιμασθεῖσαι καὶ πειρασθεῖσαι ἐν διαφόροις θλίψεσιν ὑπὸ τῶν πονηρῶν πνευμάτων, δι' ὧν ἡ πρὸς Θεὸν ἀγάπη δείκνυται, ἀκμὴν νήπιαι τυγχάνουσι καὶ (ἵν' οὕτως εἴπω) οὐδέπω χρησιμεύουσι τῇ βασιλείᾳ ἀγύμναστοι ἔτι οὖσαι ὡς εἴρηται· «εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἔστε καὶ οὐχ υἱοί»[2]. Ὥστε αἱ θλίψεις καὶ οἱ πειρασμοὶ εἰς συμφέρον εἰσὶ τῷ ἀνθρώπῳ καὶ δόκιμον καὶ στερρὰν τὴν ψυχὴν ἀπεργάζονται, ἐὰν γενναίως καὶ προθύμως ἐν πεποιθήσει καὶ ἐλπίδι Θεοῦ ὑπομένῃ τὰ ἐπιφερόμενα, ἀπεκδεχομένη ἐν πίστει ἀδιστάκτῳ τὴν ἀπὸ τοῦ Κυρίου λύτρωσιν καὶ τὸ ἔλεος αὐτοῦ. Καὶ ἀδύνατον ἀποτυχεῖν αὐτὴν τῆς ἐπαγγελίας «τοῦ πνεύματος»[3] καὶ τῆς ἀπολυτρώσεως τῶν τῆς κακίας παθῶν καταξιωθῆναι, εἴπερ ὡς δόκιμος καὶ πιστὴ τὴν εἰς τὸν Κύριον ἐλπίδα ἕως τέλους ἐν ὑπομονῇ πολλῇ κρατήσειεν.

Γ'. Ὥσπερ γὰρ οἱ ἅγιοι μάρτυρες εἰς τὸ φαινόμενον πολλὰς βασάνους ὑπέμειναν καὶ «ἕως θανάτου»[4] ἐλθόντες διὰ τὴν εἰς τὸν Κύριον ἐλπίδα ἐνέμειναν τῇ καλῇ ὁμολογίᾳ»[5] καὶ οὕτω δόκιμοι ἀποδειχθέντες τοῦ στεφάνου «τῆς δικαιοσύνης»[6] τυχεῖν κατηξιώθησαν, οἱ δὲ πλείονας καὶ χαλεπωτέρας βασάνους ὑπενεγκόντες πλείονα δόξαν καὶ παρρησίαν ἐπὶ Θεοῦ ἐκομίσαντο καὶ ἐκτήσαντο. Ὅσοι δὲ ὑπεστάλησαν τὰς θλίψεις **48** καὶ τὰς μάστιγας δεδοικότες μὴ ἐμμείναντες τῇ καλῇ ὁμολογίᾳ[7] εἰς τέλος ἀπαρρησίαστοι καὶ κατησχυμμένοι καὶ ἐνταῦθα καὶ ἐν ἡμέρᾳ κρίσεως ἀποδείκνυνται — τὸν αὐτὸν τρόπον καὶ αἱ ψυχαὶ αἱ εἰς θλίψεις παραδιδόμεναι, ἵνα δοκιμασθῶσι καὶ ὑπὸ τῶν τῆς πονηρίας[8] πνευμάτων ἀοράτως καὶ διαφόρως βασανιζόμεναι εἴτε κρυπτῶς ἔνδοθεν πόνοις θλίψεων ἢ λογισμοῖς πονηροῖς εἴτε δὲ καὶ φανερῶς διὰ σωματικῶν παθῶν, ὑπομένουσαι δὲ γενναίως καὶ τῆς ἐλπίδος κρατοῦσαι καὶ τὴν μισθαποδοσίαν τοῦ Κυρίου ἐν πίστει ἐκδεχόμεναι τοῦ αὐτοῦ στεφάνου «τῆς δικαιοσύνης»[9] καταξιοῦνται καὶ λύτρωσιν ἐντεῦθεν δεχόμεναι τὴν αὐτὴν παρρησίαν τῶν μαρτύρων ἐν ἡμέρᾳ κρίσεως ἐπὶ Θεοῦ εὑρίσκουσιν. Τὸ γὰρ αὐτὸ μαρτύριον τῶν θλίψεων ὑπέμειναν, ὅπερ κἀκεῖνοι δι' ἀνθρώπων, αὗται δι' αὐτῶν τῶν πνευμάτων τῆς πονηρίας τῶν καὶ ἐκείνοις ἐνεργησάντων καὶ ὅσῳ

---

1. Πρβλ. Ἑβρ. 5,13. 2. Ἑβρ. 12,8. 3. Πρβλ. Γαλ. 3,14. 4. Πρβλ. Δ' Μακ. 1,9. 5. Πρβλ. Α' Τιμ. 6,12. 13. 6. Πρβλ. Β' Τιμ. 4,8. 7. Πρβλ. Α' Τιμ. 6,12. 13. 8. Πρβλ. Ἐφ. 6,12. 9. Πρβλ. Β' Τιμ. 4,8.

πλείονας θλίψεις καὶ ἐπαναστάσεις τοῦ πονηροῦ ὑπομένουσι καὶ τῆς ἐλπίδος κρατοῦσι τοσούτῳ πλείονα δόξαν ἐπὶ Θεοῦ πορίζονται καὶ ἐντεῦθεν λυτροῦνται κατὰ τὴν προσδοκίαν τῆς ἐλπίδος αὐτῶν, τῆς παρακλήσεως τοῦ πνεύματος[1] καταξιούμεναι κἀκεῖθεν τῶν αἰωνίων ἀγαθῶν τῆς βασιλείας κληρονόμοι γενόμεναι. Ὅσαι δὲ ψυχαὶ ὑποσταλῶσι δειλίᾳ καὶ φόβῳ τὰς θλίψεις μὴ ὑπομένουσαι, ἀλλ' εἰς ὀλιγωρίαν καὶ ἀνυπομονησίαν καὶ ἀπελπισμὸν ἔλθωσι καὶ ἀποστραφῶσι τῆς ὁδοῦ «τῆς δικαιοσύνης»[2] καὶ τὸ ἔλεος τοῦ Κυρίου εἰς τέλος μὴ ἐκδέξωνται, αἱ τοιαῦται ψυχαὶ ὡς ἀδόκιμοι εὑρεθεῖσαι τῆς αἰωνίου βασιλείας τυχεῖν οὐ δυνήσονται. Ἕως θανάτου γὰρ πᾶσα ψυχὴ χρεωστεῖ διὰ τὸν Κύριον τὸν ὑπὲρ **49** ἡμῶν ἀποθανόντα ἐν μακροθυμίᾳ ὑπομεῖναι καὶ τὴν εἰς αὐτὸν ἐλπίδα κρατῆσαι καὶ οὕτω τῆς αἰωνίου σωτηρίας καταξιωθῆναι· ὅσοι γὰρ βούλονται τελείως ἐξειλῆσαι τῆς μελλούσης γεέννης τῆς τιμωρούσης τοὺς ἁμαρτωλοὺς καὶ τῆς οὐρανίου βασιλείας ἐπιτυχεῖν, τὰς θλίψεις τῆς γεέννης ἐντεῦθεν διὰ τῶν πειρασμῶν τῶν ὑπὸ τοῦ πονηροῦ ἐπαγομένων παθεῖν αὐτοὺς δεῖ καὶ ἐὰν ὑπομείνωσιν ἕως τέλους διὰ τῆς ἐλπίδος τὸ ἔλεος τοῦ Κυρίου ἐν πίστει ἀπεκδεχόμενοι καὶ τῶν πειρασμῶν καὶ τῶν θλίψεων διὰ τῆς χάριτος λυτροῦνται καὶ τῆς κοινωνίας «τοῦ ἁγίου πνεύματος»[3] καταξιοῦνται καὶ τῆς αἰωνίου γεέννης ἐντεῦθεν ἀπαλλάττονται καὶ τὴν αἰώνιον βασιλείαν τοῦ Χριστοῦ κληρονομοῦσιν. Τοιαύτην γὰρ ὁ Κύριος τὴν ὁδὸν ἔθετο τὴν εἰς τὴν ζωὴν ἀποφέρουσαν στενὴν καὶ τεθλιμμένην[4] ὡς γέγραπται, διὰ τοῦτο «καὶ ὀλίγοι εἰσὶν» οἱ διοδεύοντες εἰς αὐτήν. Τοιαύτης τοίνυν ἐλπίδος προκειμένης καὶ τοιούτων ἐπαγγελιῶν ἐπαγγελθεισῶν ὑπὸ τοῦ ἀψευδοῦς Θεοῦ πᾶσαν ἐπανάστασιν καὶ θλῖψιν τοῦ πονηροῦ γενναίως ὑπομείνωμεν διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ἡμῖν ἐν τοῖς οὐρανοῖς. Ὅσας γὰρ θλίψεις ἐὰν ὑπομείνωμεν διὰ τὸν Κύριον, τί ἀντάξιον γενήσεται ἢ πρὸς τὴν μέλλουσαν ἐπηγγελμένην ζωὴν ἢ πρὸς τὴν ἐντεῦθεν γινομένην ταῖς ὑπομενούσαις ψυχαῖς «τοῦ ἁγίου πνεύματος»[5] παράκλησιν ἢ πρὸς τὴν ἀπολύτρωσιν τοῦ σκότους τῶν παθῶν τῆς κακίας ἢ καὶ πρὸς τὰ ὀφλήματα τοῦ πλήθους τῶν ἁμαρτιῶν ἡμῶν; Καθὼς εἴρηται· «κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν»[6] καὶ πάλιν· οὐ γὰρ «ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς»[7].

50 Δ'. Γενώμεθα οὖν ὡς γενναῖοι στρατιῶται ὑπὲρ τοῦ βασιλέως ἡμῶν ἑτοίμως ἀποθνήσκοντες. Διὰ τί γὰρ ἐν τῷ κόσμῳ, ὅτε ἐν βιοτικοῖς ἀνεστρεφόμεθα πράγμασι, ταῦτα οὐκ ἐπάσχομεν οὐδὲ τοιαύτας θλίψεις εἴχομεν, ἀλλὰ νῦν, ὅτε προσήλθομεν τῷ Κυρίῳ εὐαρεστῆσαι, το-

---

1. Πρβλ. Πράξ. 9,31. 2. Πρβλ. Ματθ. 21,32. Β' Πέτρ. 2,21. 3. Πρβλ. Β' Κορ. 13,13. 4. Πρβλ. Ματθ. 7,14. 5. Πρβλ. Πράξ. 9,31. 6. Α' Κορ. 11,32. 7. Ρωμ. 8,18.

σαῦται ἐπαναστάσεις καὶ θλίψεις τοῦ πονηροῦ καθ' ἡμῶν ἐπεγείρονται; Ὁρᾷς ὅτι διὰ τὸν Κύριον ταῦτα πάσχομεν, φθονοῦντος ἡμῖν τοῦ ἐχθροῦ καὶ πειρωμένου διαστρέψαι ἐκ τῆς ὁδοῦ τῆς ζωῆς ἢ εἰς χαύνωσιν ἢ εἰς ὀλιγωρίαν ἀγαγεῖν, ἵνα μὴ εὐαρεστήσαντες σωθῶμεν. Ὅσον τοίνυν ὁ πονηρὸς ἐπεγείρεται καθ' ἡμῶν, ἡμεῖς ἐὰν εὑρεθῶμεν ἐν ὑπομονῇ καὶ ἀνδρείᾳ ἑτοίμως ἔχοντες «ἕως θανάτου»[1] ἐρχόμενοι ὑπομένειν διὰ τὴν εἰς τὸν Κύριον ἐλπίδα, πᾶσαι αὐτοῦ αἱ καθ' ἡμῶν μηχαναὶ λύονται. Ἔχομεν γὰρ τὸν ὑπερασπιστὴν ἡμῶν καὶ ὑπέρμαχον Ἰησοῦν, <ὃς> καὶ ἡμῖν θλιβομένοις καὶ ἐλπίζουσιν ἐπ' αὐτὸν ὑπομονὴν δίδωσιν, κἀκεῖνος καταισχύνεται ἡμῶν τὰ νικητήρια τῶν πόνων (τοῦτ' ἔστι τὴν βασιλείαν τοῦ Κυρίου) κομιζομένων. Γενώμεθα οὖν ὡς ἄκμονες τυπτόμενοι καὶ μὴ ἐνδιδόντες μηδὲ τύπους χαυνώσεως ἢ ὀλιγωρίας ἢ ἀκηδίας διὰ τῶν μαστίγων τῶν πειρασμῶν ἐν ἑαυτοῖς δεχόμενοι, δερόμενοι νικήσωμεν τὸν ἀντίπαλον διὰ τῆς ὑπομονῆς. Καὶ γὰρ ὁ Κύριος ἡμῶν οὕτω τὸν αἰῶνα τοῦτον διώδευσε μαστιζόμενος ὀνειδιζόμενος διωκόμενος ἐμπτυόμενος, ὕστερον δὲ καὶ ἀτίμῳ θανάτῳ σταυροῦ ὑπὸ ἀνόμων τετιμώρηται. Καὶ πάντα ἐκεῖνα ὑπήνεγκε διὰ τὴν ἡμετέραν σωτηρίαν «ἡμῖν καταλιμπάνων ὑπογραμμὸν»[2] ζωῆς, ἵνα δι' ἧς ὁδοῦ πειρασμῶν καὶ θλίψεων καὶ θανάτου αὐτὸς διώδευσε, τῇ αὐτῇ ὁδῷ διοδεύσωσι οἱ εἰς αὐτὸν **51** ἐν ἀληθείᾳ πιστεύοντες καὶ «συγκληρόνομοι»[3] αὐτοῦ γενέσθαι βουλόμενοι, ἵνα ὥσπερ αὐτὸς πολλὰ ἔπαθε δι' ἡμῶν, ὕστερον δὲ θανὼν ἐπὶ τοῦ σταυροῦ ἐνίκησε καὶ σταυρωθεὶς ἐσταύρωσε καὶ ἀποθανὼν ἐθανάτωσε κατακρίνας «τὴν ἁμαρτίαν» «διὰ τῆς σαρκὸς»[4] καὶ καθελὼν τὰς ἀντικειμένας δυνάμεις, καθὼς εἴρηται· «ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας» ἐπὶ τοῦ σταυροῦ «ἐδειγμάτισε θριαμβεύσας αὐτὰς ἐν αὐτῷ»[5], οὕτω καὶ ἡμεῖς πᾶσαν ἐπανάστασιν καὶ θλῖψιν τοῦ πονηροῦ, ἐὰν γενναίως καὶ προθύμως καὶ «ἕως θανάτου»[6] ἐλθόντες ὑπομείνωμεν, τότε νικήσομεν τὸν ἀντίπαλον διὰ τῆς πίστεως καὶ τῆς ὑπομονῆς καὶ τῆς εἰς τὸν Κύριον ἐλπίδος καὶ οὕτω δόκιμοι εὑρεθέντες τῆς ἀπολυτρώσεως καταξιούμεθα καὶ τοῦ ἁγιασμοῦ τοῦ πνεύματος πληρούμεθα καὶ τῆς ἐκεῖθεν αἰωνίου ζωῆς κληρονόμοι γινόμεθα. Εἰς γὰρ τὸν πνευματικὸν ἀγῶνα ἡ κατὰ τοῦ ἀντικειμένου νίκη διὰ παθῶν καὶ θανάτου γίνεται. Πάσχοντες καὶ θανατούμενοι διὰ τὸν Κύριον προθύμως τότε νικῶμεν τὸν ἀντικείμενον. Εἰ οὖν βουλόμεθα πᾶσαν θλῖψιν καὶ πειρασμοὺς μὴ ἐπιπόνους καὶ σκληροὺς ἡγεῖσθαι, ἀλλ' εὐχερῶς ὑπομένειν πᾶσαν τοῦ πονηροῦ ἐπανάστασιν, τὸν ὑπὲρ τοῦ Κυρίου θάνατον πρὸ ὀφθαλμῶν πάντοτε ἐν ἐπιθυμίᾳ ἔχωμεν καὶ καθὼς εἴρηται ὑπὸ τοῦ Κυρίου «καθ' ἡμέραν τὸν σταυρὸν»[7] αἴροντες (ὅ ἐστι θάνατος)

---

1. Πρβλ. Δ' Μακ. 1,9. 2. Πρβλ. Α' Πέτρ. 1,21. 3. Πρβλ. Ρωμ. 8,17. 4. Πρβλ. Ρωμ. 8,3. 5. Κολ. 2,15. 6. Πρβλ. Δ' Μακ. 1,9. 7. Πρβλ. Λουκ. 9,23.

ἀκολουθῶμεν αὐτῷ προθύμως ὀπίσω καὶ οὕτως εὐχερῶς ὑπομένωμεν πᾶσαν θλῖψιν εἴτε κρυπτὴν εἴτε φανεράν. Εἰ γὰρ θάνατον ὑπὲρ τοῦ Κυρίου ἐν ἐπιθυμίᾳ προσδοκῶμεν καὶ πρὸ ὀφθαλμῶν πάντοτε ἐπιποθοῦντες ἔχομεν, πόσῳ μᾶλλον οἵας ἂν βαρείας θλίψεις εὐχερῶς μετὰ χαρᾶς ὑπομενοῦμεν. Διὰ τοῦτο γὰρ δυσχερεῖς καὶ βαρείας καὶ **52** φορτικὰς τὰς θλίψεις ἡγούμεθα ἀνυπομονήτως ἔχοντες, ἐπειδὴ τὸν ὑπὲρ τοῦ Κυρίου θάνατον πρὸ ὀφθαλμῶν οὐκ ἔχομεν οὐδὲ ἐν αὐτῷ πάντοτε ἡ διάνοια ἐπιποθεῖ· ὁ γὰρ τὸν Κύριον ἐπιθυμῶν κληρονομῆσαι καὶ τὰ αὐτοῦ πάθη ἀκολούθως ἐπιθυμείτω. Ὥστε οἱ τὸν Χριστὸν ἀγαπῶντες ἐν τούτῳ φαίνονται, ὅταν πάσας θλίψεις ἐπερχομένας αὐτοῖς γενναίως καὶ προθύμως ὑπομένωσι διὰ τὴν εἰς αὐτὸν ἐλπίδα. Παρακαλέσωμεν τοίνυν τὸν Κύριον δοῦναι ἡμῖν σύνεσιν εἰς τὸ γνωρίζειν τὸ αὐτοῦ θέλημα καὶ προθύμως ἐπιτελεῖν ἐν πάσῃ ὑπομονῇ καὶ μακροθυμίᾳ μετὰ χαρᾶς, ἣν ἡμῖν αὐτὸς χαρίσεται δυναμώσας ἡμᾶς εἰς πᾶσαν εὐαρέστησιν, ἵνα δόκιμοι καὶ ἄξιοι εὑρεθέντες αὐτοῦ σωτηρίας αἰωνίου τύχωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΟΜΙΛΙΑ Ι′ (=ΞΖ′).

53 Α′. Ὥσπερ ἐν τοῖς φαινομένοις οἱ διὰ πείρας καὶ χρόνων παρελθόντες τὸν βίον οὔτε ὅταν λιμὸς γένηται, ἀπελπίζουσιν, ὡς ἤδη τοῦ κόσμου μέλλοντος ἀπόλλυσθαι καὶ μηκέτι εὐφορίαν γίνεσθαι, οὔτε, ἐπὰν πολυκαρπία γένηται, ὡς μηκέτι λιμοῦ γινομένου οὕτω διάκεινται, ἀλλὰ πάντοτε προσδοκῶσιν καὶ ἐν εὐφορίᾳ ἀφορίαν καὶ ἐν ἀφορίᾳ εὐφορίαν, οἱ τοιοῦτοι ἴσοι καὶ οἱ αὐτοί εἰσιν — οὕτως ἐν τῷ πνευματικῷ καὶ ἀοράτῳ κόσμῳ καὶ ἐν τῇ τῆς χάριτος τοῦ πνεύματος διαγωγῇ οἱ διὰ πείρας καὶ χρόνων παιδευόμενοι οὔτε, ἐπὰν θλίψει τῆς ἁμαρτίας οἱᾳδήποτε ἀπαντήσωσιν, ἀπελπίζουσιν ὡς μηκέτι μέλλοντες τῆς χάριτος τυγχάνειν, οὔτε, ἐπὰν ἐν ἀναπαύσει καὶ εὐφροσύνῃ τοῦ πνεύματος γένωνται, ὑπτιοῦνται καὶ ἐπαίρονται ὡς μηκέτι θλίψεων ἐπερχομένων, ἀλλά εἰσιν ἴσοι ἀεὶ ἐν τῇ αὐτότητι μένοντες, ἑαυτῶν μὴ ἐξιστάμενοι, τεθεμελιωμένοι, ἑδραῖοι, ἔχοντες τὸν σκόπον τῆς τελειότητος καὶ τὴν ἐλευθερίαν διὰ τοῦ πνεύματος τῆς «υἱοθεσίας»[1] προσδοκῶντες, ἥτις ἐστὶ τοῦ παλαιοῦ ἀνθρώπου παντελὴς ἀπολύτρωσις.

Β′. [Μακάριοί εἰσιν οἱ παρελθόντες τοὺς φοβεροὺς τόπους τοῦ σκότους καὶ τὴν δεινὴν νύκτα καὶ τοὺς αὐχμηροὺς καὶ νοσοποιοὺς ἀέρας τῆς ἁμαρτίας, οἱ εἰσελθόντες εἰς κατάπαυσιν καὶ χαράν].

Γ′. [Εἰσὶ δὲ ἄλλοι νεώτεροι φρόνιμοι, συνετοί, εὐλαβεῖς καὶ σύνεστιν αὐτοῖς χάρις καὶ ἤδη ἄρχονται λαλεῖν λόγον καὶ ὁ λόγος αὐτῶν

---

1. Πρβλ. Ρωμ. 8,15.

καλός ἐστιν, καὶ οἱ ἀκούοντες φρόνιμοι ὄντες ἄρχονται ἐπαινεῖν καὶ θαυμάζειν **54** καὶ τιμίους αὐτοὺς ἔχειν, ἐπειδὴ λαλοῦσι λόγον Θεοῦ. Αὐτοὶ δὲ εἴ καὶ ἀπὸ χάριτος λαλοῦσιν, πλὴν τὸ κακὸν σύνεστι τῷ νῷ καὶ ὑποβάλλει τοῦ φιλοδοξεῖν καὶ συνήδεσθαι ἐν τοῖς ἐπαίνοις, ἵνα ποιήσῃ αὐτοὺς κενοδοξεῖν. Ὃν τρόπον δέ τις ἀποστρέφεται ἐπιθυμίαν σαρκὸς καὶ ἀντιτάσσεται, οὕτως ὀφείλει ἐν τῷ νῷ καὶ ἐν τοῖς λογισμοῖς ἀντιτάσσεσθαι τῇ κενοδοξίᾳ, καὶ εἰ ἀπὸ χάριτος λαλεῖ καὶ ἀναγκάζεται ὑπό τινων κηρύττειν αὐτοῦ τὸν λόγον, αὐτὸς ὀφείλει ἀηδίζεσθαι καὶ φεύγειν ὡς ἀπὸ πυρὸς καὶ ἀντιτάσσεσθαι τῷ νῷ, ὥστε ἐπέχειν αὐτόν, ἵνα μὴ διὰ τοῦ λόγου αὐτοῦ εὑρεθῇ κενοδοξῶν. Καὶ γὰρ Μωυσῆς, «ὁ θεράπων»[1] τοῦ Κυρίου, ἀναγκαζόμενος λαλεῖν καὶ κηρύσσειν τὸν λόγον τῷ Ἰσραήλ, παρῃτήσατο λέγων· ὅτι οὐκ εἰμι «ἱκανὸς»[2] λαλῆσαι. Ὁμοίως καὶ Ἱερεμίας ἠναγκάζετο (ἐκαίετο γὰρ ἡ καρδία αὐτοῦ «ὡς πῦρ»[3]) καὶ παρῃτήσατο εἰπών· ὅτι «νεώτερός»[4] εἰμι καὶ οὐ δύναμαι, ἵνα μὴ διὰ τοῦ προφητεύειν δόξαν καὶ ἔπαινον ἀπενέγκωμαι. Καὶ Παῦλος· «εἰ μὲν ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι»[5]. Ὥσπερ οὖν ἐν τοῖς φαινομένοις ὁ ἀρχιτέκτων ἔργον τι ποιεῖ καὶ ὁ χαλκεὺς καὶ ὁ ἀργυροκόπος βάλλων σκεύη εἰς πῦρ καὶ ποιῶν ἔργον, ὡσαύτως καὶ ὁ οἰκοδομῶν ἔργον τι ἀποτελεῖ, οὕτω καὶ οἱ τοῦ Θεοῦ ἄνθρωποι ἅπαξ εἰς τοῦτό εἰσιν εὐτρεπισμένοι, οὐχ ἵνα λαλῶσι καὶ «δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων»[6], ἀλλ' ἵνα ὁ λόγος αὐτῶν ἔργον τι ἀποτελέσῃ· οὐ γὰρ ἁπλῶς λόγον κοῦφον καὶ ἀνωφελῆ λαλοῦσιν, ἀλλ' ὠφελοῦσι ψυχὰς καὶ βεβαρημένον νοῦν καὶ καταπεποντισμένον εἰς τὰ κακὰ φωτίζουσι καὶ ὁδηγοῦσι καὶ μεταβάλλουσιν εἰς «ἤθη χρηστὰ»[7] καὶ τρόπους ἀγαθοὺς καὶ παρασκευάζουσιν αὐτοὺς ἀπελθεῖν «εἰς τὴν ζωὴν»[8]. Εἰσὶν οὖν πολλὰ ὀχυρώματα τῆς κακίας· τὰ μὲν πρῶτα ἐπιθυμία σαρκὸς καὶ φιλαργυρία, ἵνα ὥσπερ ἀντιτάσσεταί τις τῇ ἡδονῇ ἐν τοῖς λογισμοῖς, οὕτω καὶ τῇ φιλαργυρίᾳ· συμβαίνει γὰρ ὅτι ἔξωθέν ἐστι πτωχὸς καὶ ἀκτήμων καὶ ἔσωθεν συνήδεται τῷ πλούτῳ καί ἐστι φίλος πλουσίων καὶ ἐὰν συμβῇ ὑπό τινος καταλειφθῆναι **55** αὐτῷ χρήματα ἐκτρέπεται. Ζητῶ οὖν τρόπον ἀφιλάργυρον, ἵνα καί, ἐὰν συμβῇ αὐτὸν ἐμπεσεῖν εἰς πλοῦτον, τότε μάλιστα ἀηδισθῇ, μισήσῃ, φύγῃ ὡς ἀπὸ πυρός. Μετὰ ταῦτά εἰσιν ἄλλα ὀχυρώματα τῆς κενοδοξίας καὶ τῆς τυφώσεως, ἵνα τις δυνηθῇ τούτους τοὺς φραγμοὺς καὶ τὰ μεσότοιχα διαρρῆξαι ἵνα ἔχῃ πόνον ἐν τῇ ψυχῇ, δάκρυα, πεῖναν, δίψαν].

Δ'. Συμβαίνει γὰρ ὅτι εἰσί τινες ἀποταξάμενοι, ἀκτήμονες, νηστεύοντες, καὶ ὡς βίᾳ αὐτὰ ποιοῦντες μεγάλα ἡγοῦνται, καὶ τοῖς δοξάζουσιν αὐτοὺς καὶ ἐπαινοῦσι συνήδονται· εἰσὶ δὲ ἄλλοι οἱ διὰ τῆς τοῦ

---

1. Πρβλ. Ἀρ. 12,7. 2. Πρβλ. Ἐξ. 4,10. 6,12. 3. Πρβλ. Ἱερ. 20,9. 4. Πρβλ. Ἱερ. 1,6. 7. 5. Α' Κορ. 9,17. 6. Πρβλ. Ματθ. 6,2. 7. Πρβλ. Α' Κορ. 15,33. 8. Πρβλ. Ματθ. 18,8. 19,17.

Κυρίου παρακλήσεως συνηδόμενοι καὶ ἀναπαυόμενοι ἐν τῇ πενίᾳ καὶ ἐν τῇ κακουχίᾳ (μᾶλλον καὶ τοῦ πλουτοῦντος καὶ τρυφῶντος καὶ ἀναπαυομένου ἐν τοῖς σαρκικοῖς), καί, ἐὰν ἀναγκάσῃς αὐτοὺς ἀναχωρῆσαι ἀπὸ τῆς κακουχίας, θλίβονται, ὡς πλούσιον ἐν τοῖς φαινομένοις, ἐὰν ἀναγκάσῃς πτωχεῦσαι, θλίβεται. Ὃν δὲ λέγομεν πόνον, πεῖναν καὶ δίψαν, οὐκ εἰσι μόνον ἀπὸ φύσεως προσγινόμενα, ἀλλὰ τῷ πλείστῳ μέρει ἀπὸ θείας δυνάμεως. Καὶ οἱ εἰσελθόντες εἰς τὴν σαγήνην[1] τῆς χάριτος οὗτοι δύνανται ἔχειν τὸν πόνον καὶ φόβον, τὴν πεῖναν καὶ τὴν δίψαν, ἄνευ δὲ τῆς θείας χάριτος οὐ δύνανται ἔχειν τὸν πόνον καὶ φόβον· οἱ γὰρ ταῦτα κεκτημένοι εἰσῆλθαν εἰς τὴν σαγήνην[2] τῆς χάριτος. Πλὴν πολλοὶ εἰσέρχονται εἰς τὴν σαγήνην καὶ οἱ μὲν συμφωνοῦντες τῇ χάριτι ἐξειλοῦσι καὶ εἰσέρχονται εἰς τὴν ζωήν, οἱ δὲ ἐκτρέπονται καὶ ἀπέρχονται εἰς ἀπώλειαν. Οὐκ ἔστι δὲ ἓν σχῆμα καὶ εἷς τρόπος τῆς χάριτος. Οἱ μὲν γάρ εἰσιν ἐν πόνῳ, οἱ δὲ ἐν πείνῃ καὶ δίψῃ, ἄλλοι «ἐν φόβῳ καὶ ἐν τρόμῳ»[3], καὶ ἄλλοι εἰσὶ πάντοτε ἐν τῇ χάριτι ἀναπαυόμενοι, ἐν ἀγάπῃ καὶ χαρᾷ καὶ ἀγαλλιάσει, ὁμοίως καὶ ἐν τρόμῳ· «δουλεύσατε» (γάρ φησιν) «τῷ Κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ»[4]. Πλὴν ὁ καιρὸς οὗτος πένθους ἐστὶ καὶ δακρύων, ἐκεῖνος ὁ αἰὼν γέλωτος καὶ χαρᾶς· ὁ καιρὸς οὗτος σταυροῦ καὶ θανάτου, ὁ καιρὸς ἐκεῖνος ἀπολυτρώσεως καὶ τρυφῆς ἀρρήτου· ὁ καιρὸς οὗτος τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ»[5], ὁ **56** καιρὸς ἐκεῖνος ἀναπαύσεως καὶ εἰρήνης. Ὅμως δὲ ὁ ἀρραβὼν «τοῦ πνεύματος»[6] καὶ ἡ παράκλησις σύνεστιν «ἐν τῷ νῦν αἰῶνι»[7] τοῖς θλιβομένοις, ἡ δὲ τελεία ἀνάπαυσις καὶ ἀνταπόδοσις ἐκεῖθέν ἐστιν «ἐν τῷ μέλλοντι»[8] αἰῶνι. Εὑρίσκεις δὲ ἀποταξαμένους νοσερὰν ψυχὴν ἔχοντας τὸν νοῦν αὐτῶν νόσον ὡς ἐν μετεώρῳ εἰσὶ κεχαυνωμένοι, ῥεμβόμενοι. Χρὴ δὲ αὐτῶν τὸν νοῦν καὶ «τὸν ἔσω ἄνθρωπον»[9] γενναῖον εἶναι, θαρσηρὰν ἔχειν καρδίαν, τὸν λογισμὸν καὶ τὴν προαίρεσιν ἀνδρείαν καὶ γενναίαν, ἵνα λάβῃ ὅπλα πολέμου καὶ τεθαρρηκὼς κατέλθῃ εἰς πόλεμον καὶ ἀνδρίσηται καὶ ποιήσῃ ἐκεῖ ἀγῶνα, ἵνα ἔχῃ τόνον καὶ ἀθλητικὸν νοῦν. Ταῦτα δὲ ἐν τῷ ἔσω ἀνθρώπῳ[10] ἐπιτελεῖται· ψυχῆς γάρ ἐστι κινήματα, ζῶσαν ἵνα ἔχῃ καρδίαν, πολλοὶ γάρ εἰσιν ἔξωθεν ἔχοντες τὸ σχῆμα καὶ ὁ νοῦς αὐτῶν ἐξυδαρωμένος, ἀνόστως ρεμβόμενος. Δεῖ γὰρ κτήσασθαι καρδίαν καινήν, νοῦν ἐπουράνιον ἐν τῷ ἔσω ἀνθρώπῳ, ψυχὴν θείαν ἐν τῇ ψυχῇ, σῶμα ἐν σώματι, ἵνα γένηται διπλοῦς ὁ ἄνθρωπος. Ἐπίστευσας ἐπιστεύθης, ἠγάπησας ἠγαπήθης, ἐπέγνως ἐπεγνώσθης· προσλαμβάνει γὰρ ὁ ἄνθρωπος ξένα τινὰ τῆς φύσεως αὐτοῦ, ἐπουράνια καὶ γίνεται διπλοῦς.

---

1. Πρβλ. Ματθ. 13,47. 2. Πρβλ. Ἔνθ' ἀν. 3. Πρβλ. Α' Κορ. 2,3. 4. Ψαλ. 2,11. 5. Πρβλ. Ματθ. 7,14. 6. Πρβλ. Β' Κορ. 1,22. Πράξ. 9,31. 7. Πρβλ. Τίτ. 2,12. Α' Τιμ. 7,17. 8. Πρβλ. Ἐφ. 1,21. Ματθ. 12,32. 9. Πρβλ. Ρωμ. 7,22. Ἐφ. 3,16. 10. Πρβλ. Ἔνθ' ἀν.

ΟΜΙΛΙΑ ΙΑ′ (=ΞΗ′).

57 Α′. Ὀλίγοι γάρ εἰσιν οἱ βουλόμενοι ἀνασταθμίσαι μαργαρίτας καὶ δοκιμάσαι λίθους τιμίους. Πολλοῖς γὰρ σύνεστι μαργαρίτης καί, ἐπειδὴ οὐκ ἔχουσι τὸ διακριτικόν, οὐκ οἴδασι ποῖον θησαυρὸν κέκτηνται· οἱ δὲ διάκρισιν ἔχοντες ἢ συνείδησιν οἴδασι καὶ τὰ νομίσματα δοκιμάσαι καὶ τὰ παραχαράξιμα.

Β′. Εἰσὶ δὲ ἄλλοι οἷς σύνεστι χάρις λεληθότως καὶ νεύει εἰς αὐτοὺς τὸ ἀγαθόν, καὶ ποιοῦσι καλὰ καὶ οὐκ οἴδασι πόθεν κινοῦνται, ἐπειδὴ ἀσυμφώνως καὶ ἀοράτως αὐτὸ ἔχουσιν. Οἱ δὲ φρόνιμοι οὐ μόνον ἐν τῇ εὐχῇ ὀφείλουσι λέγειν ὅτι εὐχόμεθα, καί, ὅτε ἀνίστανται, ἀργοῦσι, ἀλλὰ πάντοτε ὀφείλουσιν ἔχειν τὴν μέριμναν καὶ πάντοτε εὔχεσθαι, ἐπειδὴ τὸ συνὸν κακὸν καὶ ὁ καπνὸς καὶ ἡ σύντροφος ἁμαρτία πάντοτε ὡς πηγῆς ὀφθαλμὸς βρύει καὶ οὐδέποτε ἀργοῦσιν οἱ διαλογισμοὶ κατὰ τῆς ψυχῆς· οὐ μόνον γάρ, ὅτε εὔχῃ, οἱ διαλογισμοί εἰσιν, ἀλλὰ καὶ ὅτε χρείας τινὰς ποιεῖς καὶ ὅτε κοιμᾶσαι, πάντοτε βρύουσιν. Οὕτω καὶ σὺ ἔχεις τὸ θέλημα τοῦ πάντοτε ἀντιλέγειν. Βλέπεις κατὰ κόσμον πλούσιον, εὐθέως ὑποβάλλει σοι, ὅτι ἔνδοξός ἐστιν, εὐθέως καὶ σὺ ἄντειπε· ταῦτα φθαρτά ἐστιν, περὶ ἐκείνου μοι μέλει τοῦ πλούτου τοῦ μὴ παρερχομένου. Δεικνύει γυναῖκα ὡραίαν, ὑποβάλλει σοι ἐπιθυμίαν, εὐθέως εἰπέ· ἀκαθαρσία ἐστίν, ἴδε τὰ μνημεῖα γέμει **58** ὀστέων νεκρῶν. Βλέπεις πράγματα ἔνδοξα ὡς ἐν βίῳ, οἰκοδομάς, πόλεις, σὺ πάντοτε τὴν ψυχήν σου πνευματικῶς οἰκοδόμησον καὶ πάντοτε ἄντειπε τῇ συνούσῃ ἁμαρτίᾳ, ἐπειδὴ ἔχεις θέλημα καὶ πάντοτε εὔχου πρὸς τὸν Θεόν. Ὅτε γὰρ εὔχῃ, τί λέγεις; Δέομαί σου, δέομαί σου. Τὸ αὐτὸ εἰπὲ καὶ ἐν τῷ περιπατεῖν καὶ ἐν τῷ ἐσθίειν καὶ πίνειν καὶ μηδέποτε ἀργήσῃς· καὶ γὰρ καὶ τὸ ἀγαθὸν ἐὰν φθάσῃ ἐλθεῖν εἰς τὸν ἄνθρωπον, οὐδέποτε ἀργεῖ ἡ εὐχή, ἀλλὰ πάντοτε τὸ πνεῦμα εὔχεται ἐν αὐτῷ. Τοῦτο δὲ τὸ μέτρον τῶν μεγάλων καὶ τελείων ἐστὶν καί, ὅτε περιπατοῦσιν ἢ συντυγχάνουσιν, πάντοτε εὔχονται τῷ Κυρίῳ. Εἴ τις οὖν λέγει· ὅτε μὲν κλίνω τὰ γόνατα, εὔχομαι καὶ δύναμαι ἀντειπεῖν τῇ ἁμαρτίᾳ, ὅτε δὲ ἐργάζομαι ἢ ἄλλο τι ποιῶ, οὐ δύναμαι ἀντειπεῖν, οὗτος ἰδιώτης ἐστὶ καὶ οὐκ ἔχει διάκρισιν· ἡ γὰρ ἁμαρτία πάντοτε πολεμεῖ καὶ ὁ νοῦς ἔχει θέλημα τοῦ ἀντιπράττειν καὶ ἀνταγωνίζεσθαι πάντοτε πρὸς τὴν συνοῦσαν κακίαν εἴτε περιπατεῖ εἴτε ὁδεύει εἴτε ἕτερόν τι ποιεῖ. Ὅπου γὰρ δέδεται ὁ νοῦς, ἐκεῖνο αὐτοῦ ἐστι θεός· εἰ δέδεσαι τῇ ἐπιθυμίᾳ ἢ τῇ γαστριμαργίᾳ ἢ τῇ φιλαργυρίᾳ, ὁ δήσας σε θεός σου ἐστὶν («ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται»[1]), εἰ δὲ ἀποταξάμενος τῷ κόσμῳ τῇ παραθύρῳ πάλιν εἰσέλθῃς εἰς τὸν κόσμον, καὶ ἀρνησάμενος σαρκικὴν κοινωνίαν οὐ σπουδάζεις κοινωνῆσαι τῷ ἐπουρανίῳ νυμφίῳ καὶ τῷ πνεύματι τῷ ἁγίῳ , τί ὠφέλησας ἐξελθὼν «ἐκ τοῦ κόσμου»[2]; Εἰ δὲ καταλιπὼν οὐσίας καὶ κτήσεις

---

1. Β′ Πέτρ. 2,19. 2. Πρβλ. Α′ Κορ. 5,10.

καὶ πράγματα, ἀντὶ τοῦ φαινομένου πλούτου οὐ λαμβάνεις ἄλλον πλοῦτον καὶ ἀντὶ τρυφῆς τρυφὴν ἐπουράνιον καὶ ἀντὶ τέκνου σὺ μὴ γίνῃ τέκνον «θεοῦ»[1], τί ὠφέλησας ἀποταξάμενος; Ἐγένου «ἅλας»[2] μωρὸν καὶ οὔτε τὰ τοῦ κόσμου ἔχεις καταλιπὼν αὐτὰ οὔτε τὰ ἐπουράνια καὶ πνευματικὰ ἐπληρώσω· λοιπὸν οὐδαμοῦ προχωρεῖς.

59 Γ'. Ὃν τρόπον δὲ ἡ κόρη τοῦ ὀφθαλμοῦ μικρὰ οὖσα πολλὰ δύναται βλέπειν, οὐρανόν, γῆν, ἥλιον, ὅταν δὲ μικρόν τι κάλυμμα εἰς τὴν κόρην παρεμπέσῃ καὶ ἐπισκιάσῃ τυφλοῦται ὁ ὀφθαλμὸς καὶ ἐν σκότει ἐστίν, οὕτως, ἐὰν μικρὸς καπνὸς ἢ ὁμιχλώδης δύναμις ἐπισκοτίσῃ τὸν νοῦν, τετύφλωται καὶ οὐδὲν ὁρᾷ, ἐὰν δὲ πάλιν διαυγάσῃ βλέπει πράγματα πνευματικὰ καὶ ἐπουράνια. Ὃν τρόπον γὰρ ἡ γῆ ἐργασθεῖσα φαίνεται καρποφόρος, οὕτως καὶ ἡ γῆ τῆς καρδίας ἐργαζομένη ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου οὐκέτι χερσεύει. Ὥσπερ δὲ ἵνα ἡ πόλις ἐν ὑψηλῷ τόπῳ ἢ ὄρει κειμένη καὶ ἔχῃ ἐκεῖ ἀνάπαυσιν καὶ εἰρήνην πολλὴν καὶ πλοῦτον καὶ θησαυροὺς καὶ ὦσιν ἐκεῖ ἄνδρες εὐγενεῖς καὶ συγκλητικοί, λοιπὸν δὲ ἡ ὁδός, δι' ἧς διέρχεταί τις ἐπὶ τὴν πόλιν, ἐστὶ στενή, περίμετρον βήματος ἔχουσα, ἑνὸς ἴχνος ἀνθρώπου καὶ ᾖ ἐκ δεξιῶν χάος μέγα πυρὸς καὶ ἐξ ἀριστερῶν βάθος θαλάσσης, λοιπὸν ὀλίγον ἐὰν ἐκτραπῇ ὁ ποὺς τῆς στενῆς ἀτράπου καταποντίζεται ἢ εἰς τὸ πῦρ ἢ εἰς τὸ ὕδωρ, εἰ δέ τις ἀσφαλῶς διοδεύων παρέλθῃ τὴν τραχεῖαν καὶ φθάσῃ εἰς τὴν πόλιν, ἐν ἀναπαύσει ἐστὶ καὶ πλούτῳ μεγάλῳ καὶ ἀμεριμνίᾳ πολλῇ. Οὕτω καὶ εἰς τὸ πνευματικόν. Τραχεῖά ἐστιν ἡ ὁδὸς εἰς ἣν διοδεύουσιν οἱ Χριστιανοί· κύκλῳ γὰρ αὐτῶν ἐστι χάος μέγα πυρὸς τῶν ἀκαθάρτων πνευμάτων. Ἐὰν δὲ δυνηθῶσιν ἐκείνων περιγενέσθαι καὶ παρελθεῖν τοὺς τριγχοὺς τῆς κακίας, εἰσέρχονται εἰς τὴν ἐπουράνιον πόλιν, εἰρηνευομένην, μεστὴν ἀγαθῶν πολλῶν καὶ εἰρήνης βαθείας, ὅπου τὰ πνεύματα τῶν δικαίων ἀναπαύονται σὺν τῷ Κυρίῳ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΒ' (=ΞΘ')

60 Δ'. Ἐ ρ ώ τ η σ ι ς. Τ ί ν ο ς λ ό γ ο υ ἕ ν ε κ ε ν ἀ ν α κ α ι ν ι ζ ο μ έ ν ο υ τ ο ῦ ἀ ν θ ρ ώ π ο υ ο ὐ π α ν τ ε λ ῶ ς ἀ λ λ ά σ σ ε τ α ι ἡ ἀ ρ χ α ί α ἕ ξ ι ς; Σ υ μ β α ί ν ε ι γ ά ρ τ ι ν α ε ἶ ν α ι ἁ π λ ο υ σ τ έ ρ ω ς φ θ ε γ γ ό μ ε ν ο ν ὀ ξ υ τ έ ρ α ν ἔ χ ο ν τ α κ ί ν η σ ι ν κ α ὶ μ ε τ ὰ τ ὴ ν χ ά ρ ι ν π α ρ α μ έ ν ε ι τ α ῦ τ α.

Ἀ π ό κ ρ ι σ ι ς. Κατὰ παραχώρησιν καὶ οἰκονομίαν τῆς πίστεως γίνεται. Καὶ γὰρ οἱ ἀπόστολοι «εἰς ἣν δ' ἂν πόλιν»[3] εἰσήρχοντο, δυνάμεις ἐποίουν μεγάλας, εἰς τοσοῦτον ὅτι καὶ αἱ σκιαὶ αὐτῶν[4] πάθη ἀπήλαυνον καὶ νεκροὺς ἤγειρον. Εἰ συνέβαινεν οὖν ἐν ἐκείνῃ τῇ πόλει ἀπο-

---

1. Πρβλ. Ἰω. 1,12. 2. Πρβλ. Ματθ. 5,13. 3. Πρβλ. Ματθ. 10,11.
4. Πρβλ. Πράξ. 5,15.

θνήσκειν τινά, ἡ συνοῦσα αὐτοῖς χάρις ἡ ἐγείρασα τὸν νεκρὸν <οὐκ> ἠδύνατο ὅλους ἐγεῖραι τοὺς νεκρούς; Ὁμοίως καὶ κακούμενοι ποικίλαις νόσοις προσήρχοντο, οἱ μὲν ἰάσεως ἐτύγχανον, οἷς δὲ οὐκ ἐπέτρεπεν ἡ χάρις, ἴασιν οὐ παρεῖχον. Οὐ πάντα οὖν ὅσα ἤθελον ἐποίουν. Ὁμοίως ὁ Παῦλος, ὅτε ἐχαλάσθη «ἐν σαργάνῃ»[1] ὁ θεοφόρος, οὐκ ἠδύνατο διὰ τῆς συνούσης αὐτῷ δυνάμεως διαρρῆξαι τὸ τεῖχος ἢ λόγῳ εἰπεῖν· δὸς τόπον; Ἀλλ' οὐκ ἐγένετο τοῦτο, ἵνα φανῇ καὶ ἡ προαίρεσις τῶν πιστευόντων καὶ ἡ φυσικὴ ἀσθένεια. Οὐ πάντες οὖν ἐπετύγχανον, ἵνα πρόδηλοι γένωνται οἱ κακίαν αἱρούμενοι καὶ οἱ ἀγαθοὶ εἶναι θέλοντες. **61** Τῷ Κυρίῳ ἔλεγον οἱ Φαρισαῖοι· κάτελθε ἐκ «τοῦ σταυροῦ»[2], καὶ οὐ κατῆλθεν. Ἡ γὰρ κατ' οἰκονομίαν ἀσθένεια δοκιμάζει τοὺς ἑδραίους βουλομένους εἶναι πρὸς τὴν πίστιν, εἰ «ἀμετακίνητοί»[3] εἰσιν, εἰ ἀπὸ τῶν ὀλίγων κατορθωμάτων καὶ εἰς τὰ ἀσθενέστερα οὐ σκανδαλίζονται. Διὰ τί; «Τότε» δύνανται, «ὅτε» ἀσθενοῦσιν[4]. Ὁ γὰρ Χριστιανισμὸς λίθος ἐστὶ «προσκόμματος» καὶ πέτρα «σκανδάλου»[5]. Οὕτω καὶ οἱ ἐν χάριτι ὄντες σύνεστιν αὐτοῖς θησαυρὸς καὶ ἀνάπαυσις καὶ ὅμως ἐν καιρῷ ὑποστέλλει πρὸς τὸ δοκιμασθῆναι καὶ πολεμηθῆναι.

Ε'. Ἐρώτησις. Διὰ τί ἐν τῷ αὐτῷ σκεύει τοῦ σώματος ἐνεργούσης τῆς χάριτος πάλιν ἐνεργεῖ καὶ ἡ ἁμαρτία;

Ἀπόκρισις. Πρῶτον μὲν ὁ γευσάμενος χάριτος ἀνέψυξεν αὐτοῦ ἡ ψυχὴ καὶ ἀνεπάη ἀναπαύσει ἐπουρανίῳ ξένῃ τοῦ αἰῶνος τούτου, ἵνα τὴν γλυκύτητα τοῦ ἀγαθοῦ πείρᾳ γνῷ. Ἔπειτα ἐὰν ὀλίγον μετεωρισθῇ ἢ ὁμιλῇ ὁ νοῦς ἢ ἄλλο τι ποιῇ, πάλιν πληροῦται τῆς ἁμαρτίας, ἵνα θλιβῇ καὶ πείρᾳ μάθῃ τὴν πικρότητα αὐτῆς, καὶ τότε ὀξέως καταφύγῃ ζητῶν ἐκείνην τὴν ἄρρητον παράκλησιν καὶ ἀνάπαυσιν. Καὶ πάλιν ἐπιτυγχάνει καὶ ἀναψύξας καὶ ἀναπαεὶς ὀλίγον, πάλιν, ἐὰν ἀμελήσῃ, νομὴν εὑρίσκει ἡ κακία καὶ θλίβει πικρῶς τὸν ἄνθρωπον παραχωρούσης τῆς χάριτος, ἵνα πείρᾳ γνῷ τὴν ταύτης ἡδύτητα καὶ ἀνάπαυσιν καὶ παράκλησιν καὶ τὴν πικρίαν καὶ ὀδύνην καὶ θλῖψιν τῆς ἁμαρτίας, ἵνα σπουδαιοτέρως αὐτὴν (εἴγε βούλεται σωθῆναι) φύγῃ καὶ προσκολληθῇ ὅλος ἐξ ὅλου τῇ χάριτι, ἀποδιδοὺς ἑαυτὸν πάντοτε καὶ ἀναρτῶν τῷ Κυρίῳ, ἵνα τῇ ἐκείνης πικρότητι καὶ αἰσχρότητι καὶ θλίψει ἐπιθυμητὴ μᾶλλον καὶ ἐπιπόθητος γένηται ἡ τῆς χάριτος γλυκύτης καὶ ἀντίληψις καὶ ἀνάπαυσις καὶ ἀγαλλίασις, ἵνα αὐτῇ πείρᾳ τῶν δύο φύσεων τῆς ἁμαρτίας τὴν πικρίαν καὶ τῆς χάριτος τὴν γλυκύτητα ἡ ψυχὴ γευσαμένη πλεονάκις αἰσθητικωτέρα γένηται καὶ νηπτικωτέρα **62** εἰς τὸ παντελῶς φυγεῖν τὴν κακίαν καὶ προσκολληθῆναι ὅλη ἐξ ὅλου τῷ Κυρίῳ, ἕως οὗ γένηται μετ' αὐτοῦ εἰς «ἓν πνεῦμα»[6]. Εἰ γὰρ

---

1. Πρβλ. Β' Κορ. 11,33. 2. Πρβλ. Ματθ. 27,40. 3. Πρβλ. Α' Κορ. 15,58. 4. Πρβλ. Β' Κορ. 12,10. 5. Πρβλ. Ρωμ. 9,32. 33. 6. Πρβλ. Α' Κορ. 6,17.

ἦν πάντοτε ἡ γλυκύτης καὶ ἡ ἀνάπαυσις καὶ ἡ χαρὰ τῇ ψυχῇ, οὐκ ἐγίνωσκε τὴν διαφοράν, οὐκ ᾔδει τί κέκτηται καὶ ἀμελεστέρα ἐγίνετο, τὴν ὑπερβολὴν τοῦ ἀγαθοῦ ἠγνόει καὶ τὴν ὑπερβολὴν «τῆς χρηστότητος»[1] τοῦ Κυρίου καὶ τὴν ἀπόλαυσιν οὐκ ἠπίστατο, κἂν ἐκέκτητο αὐτὰ οὐκ ᾔδει τί κέκτηται καὶ τὴν ὑπερβολὴν τῆς πικρίας καὶ δεινότητα τῆς ἁμαρτίας οὐκ ᾔδει καὶ τὴν πονηρίαν αὐτῆς οὐκ ἠπίστατο. Ἀλλ' οὕτως ἡ σοφία ἡ ἄρρητος τοῦ Θεοῦ οἰκονομεῖ τὰ πράγματα, ἵνα καὶ τὸ ἴδιον ἀγαθὸν τῇ πείρᾳ γνωσθῇ συγκρίσει καὶ παραθέσει τῆς πικρίας τοῦ πονηροῦ, καὶ αὐτὴ ἡ ψυχὴ κατὰ δύο τρόπους τὴν ὠφέλειαν δέξηται· ἐν τῷ πεῖραν λαμβάνουσαν τῆς πικρίας καὶ θλίψεως τῆς ἁμαρτίας γεγευμένην τῆς χρηστότητος τοῦ Κυρίου. Καὶ φεύγειν παντὶ σθένει τὸ πονηρὸν θέλει καὶ σπουδαία εἶναι ἀεὶ καὶ εὔτονος εἰς τὸ ἀγαθὸν καὶ μὴ νηπία καὶ ἄπειρος καὶ ἄγνωστος τοῦ τε καλοῦ καὶ τοῦ κακοῦ, ἀλλ' ἔχει τελείαν τῶν ἀμφοτέρων πείρᾳ καὶ ἐνεργείᾳ καὶ αἰσθήσει τὴν γνῶσιν, καὶ οὕτω παιδευθεῖσα καὶ τέλειον δρόμον δραμοῦσα διὰ τῆς πολλῆς τῆς ἐπὶ τὸ ἀγαθὸν σπουδῆς καὶ ἐπιθυμίας τελείως «τὰ αἰσθητήρια γεγυμνασμένα» ἔχουσα (κατὰ τὸ εἰρημένον) «πρὸς διάκρισιν καλοῦ καὶ κακοῦ»[2] τέλειον καὶ «τὸν στέφανον»[3] ἀπολήψεται καὶ «εἰς μέτρον ἡλικίας»[4] πνευματικῆς ἐλθοῦσα τῆς βασιλείας κληρονόμος κατασταθήσεται. Τοιούτῳ τινὶ τρόπῳ τὸ πρᾶγμα ἔοικε, τούτου γὰρ ἕνεκεν ὀλίγον κατ' ὀλίγον γεύεται τῆς βασιλείας, ἵνα ὅλῳ θελήματι καὶ ὅλῃ προαιρέσει ἐκ τοῦ αὐτεξουσίου <ἡ> ἀγαπήσασα τὸν Θεὸν καὶ ἵνα ἡ αὐτεξούσιος προαίρεσις φανῇ (ποίῳ μέρει προσκολλᾶται **63** καὶ τί αἰδεῖται), ἵνα καὶ δικαίως τὴν βασιλείαν κληρονομήσῃ καὶ αὐτὴ ὅλη ἀγωνισαμένη καὶ δραμοῦσα ἔχῃ μεγάλην παρρησίαν πρὸς τὸν Κύριον εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΓ' (=Ο')

64 Α'. Δύο εἰσὶ βασιλεῖαι, βασιλεία φωτὸς καὶ βασιλεία σκότους. Σὺ οὖν ποίου βασιλέως εἶ, ἐπίσκεψαι σεαυτόν. Ὅπου γὰρ ἐὰν φιλιάζῃς καὶ συνθήκας ποιῇς, ἐκείνου εἶ κοινωνός· γέγραπται γάρ· «τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν»[5]. Ἔχεις γὰρ ἴδιον θέλημα καὶ ὅπου τὴν ὁρμὴν καὶ τὴν ὑπακοὴν δίδως, ἐκείνου γίνῃ κτῆμα καὶ υἱὸς καὶ φίλος. Εἰ ἀγαπᾷς καὶ συνήδῃ τοῖς τῆς κακίας θελήμασιν, εὐθέως συνεργοῦσί σοι καὶ προσκολλῶνται. Εὐπερίστατος γάρ ἐστιν ἡ ἁμαρτία[6] καὶ ἐν σπουδῇ παραγίνεται· ἄρχων γάρ ἐστιν ἐπὶ κακοπραξίᾳ ἀνθρώπων χαίρων. Ὁμοίως πάλιν εἰ ἀγαπᾷς καὶ συνήδῃ τῷ ἀγαθῷ, πάλιν καὶ αὐτὸ παραγίνεται καὶ βοηθεῖ. Ἀλλ' ὧδε μετὰ ἀγῶνος πολλοῦ

---

1. Πρβλ. Ρωμ. 2,4. 2. Ἑβρ. 5,14. 3. Πρβλ. Ἰακ. 1,12. 4. Πρβλ. Ἐφ. 4,13. 5. Ρωμ. 8,28. 6. Πρβλ. Ἑβρ. 12,1.

προστέτακται, ἐπειδὴ βασιλεία ἐστὶ μὴ ἔχουσα «τέλος»[1]· διὰ τοῦτο τὸ τίμιον σπάνιόν ἐστι καὶ τὸ δυσχερῶς κατορθούμενον ἔνδοξον, ὅθεν καὶ ἀΐδιον, ἐπεὶ ἀκαμάτως πάντες θέλουσιν εἰσελθεῖν καὶ γενέσθαι τοῦ ἀγαθοῦ, ἀλλὰ ἀνὰ μέσον δρόμος πολὺς καὶ ἀγὼν πρόκειται καὶ **65** ἀπὸ πολλῶν ὀλίγοι ἐξειλοῦσιν. Οἱ οὖν νικήσαντες κατήντησαν πρὸς ἡγεμόνα καὶ βασιλέα εἰρηνικὸν καὶ ἥμερον, ἐπὶ εὐεργεσίᾳ ἀνθρώπων χαίροντα, οἱ γὰρ τοιοῦτοι ἀπὸ τοῦ νῦν κληρονομοῦσι τὴν γῆν[2] τῆς ἐπαγγελίας καὶ εἰσέρχονται εἰς λιμένα ἀναπαύσεως καὶ εἰς τὴν πόλιν τῶν ἁγίων καὶ «εἰς τὴν κατάπαυσιν»[3]. Ὥσπερ γάρ ἐστιν οὐρανὸς φαινόμενος ὃς ἐπικαλεῖται στερέωμα, οὕτως ἐστὶν ἐπάνω τούτου ἄλλος οὐρανὸς φωτοειδής, ἔνθα παρεμβολαὶ τῶν ἀγγέλων (εἰ καὶ τὰ μάλιστα ὁ Θεὸς καὶ οἱ ἄγγελοι σωματικοῖς ὁρίοις οὐ περιγράφονται) καὶ ἐκεῖ ἐστι σκηνὴ ἀχειροποίητος. Ταῦτα οὖν πάντα θεῖά ἐστι καὶ ἄρρητα καὶ φωτεινά, ἐπειδὴ πνευματικά ἐστι καὶ ὑποστατικά, μὴ ὄντα τοῦ αἰῶνος τούτου, ἀλλὰ ἄλλου κόσμου, ὅπου οὐκ ἔστι σκότος ἢ νὺξ ἢ πόλεμος ἢ γέεννα. Ἐπειδὴ οὖν οὐκ ἐγχωρεῖ τοὺς πάντας τῷ ἔξω ὀφθαλμῷ κατανοεῖν ἐκεῖνα τὰ ἐπουράνια, διὰ τοῦτο ὡς παραπέτασμα ἐκτίσθη τὸ στερέωμα τοῦτο, ἵνα μὴ ἐξῇ τινι ἁπλῶς καθορᾶν εἰ μὴ τοῖς καθαροῖς τὴν καρδίαν[4] καὶ τὸν νοῦν ἡγιασμένοις, τοῖς συμπολίταις καὶ συμμύσταις τῶν ἁγίων. Καὶ ὅταν συσταλῇ τοῦτο, τότε ἐκεῖνα τὰ μὴ φαινόμενα ὑποδέχεται τοὺς ἐκλεκτούς. Πολλοὶ γὰρ τοῦ ἀγαθοῦ μέρους ὄντες καὶ ἐνεργούμενοι ὑπὸ τοῦ ἀγαθοῦ πνεύματος ἐνόμισαν τετελειῶσθαι καὶ μετὰ ταῦτα ἔφοδον ὑπὸ τῶν πονηρῶν πνευμάτων καὶ ἐπιβουλὴν ἔπαθον, ὡς ἂν στρατιῶται νομίσαντες νενικηκέναι τοὺς ἐχθρούς, λοιπὸν ῥίψαντες τὰ ὅπλα καὶ ἐν ἀμεριμνίᾳ ὄντες, ἔγκρυμμα ποιήσαντες οἱ ἐχθροὶ καὶ ἄφνω ἐπιστάντες τοὺς μὲν φονεύσωσιν, τοὺς δὲ δήσωσιν, ἄλλους αἰχμαλώτους λάβωσιν. Οὕτω καὶ ἡ ἁμαρτία ἐπικινηθεῖσα παρεχρήσατο καὶ τοὺς μὲν ἔδησεν εἰς τὸν ἴδιον βυθὸν καὶ τοὺς βρόχους **66** τῆς κακίας, τοὺς δὲ ᾐχμαλώτευσεν εἰς τὰ «πάθη» τῆς «ἀτιμίας»[5]. Πάντες οὖν οἱ ἄνθρωποι εἴτε δίκαιοι εἴτε ἁμαρτωλοί, ἐὰν μὴ διὰ τοῦ νόμου «τοῦ πνεύματος»[6] (τοῦτ᾽ ἔστιν διὰ Ἰησοῦ Χριστοῦ) ἐλεύθεροι γένωνται, οὐ δύνανται ἐλευθερωθῆναι τῶν κακῶν καὶ ἐξειλῆσαι ἐκ τῆς καταδυναστείας τοῦ διαβόλου. Λέγει γὰρ Παῦλος διαγράφων τὴν πτῶσιν τοῦ ἀνθρώπου· «ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ θανάτου; Εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ»[7], ὅτι «ὁ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἐκ τοῦ θανάτου»[8].

Β΄. Ὥσπερ πηγῆς βρυούσης ὅσοι ἂν πίνωσιν οὐδὲν ἐνδεῖ, οὕτως οἱ ἔχοντες τὰς προσόδους καὶ τοὺς θησαυροὺς τοῦ Πνεύματος ἔνδοθεν ἐν

---

1. Πρβλ. Λουκ. 1,33. 2. Πρβλ. Ματθ. 5,5. 3. Πρβλ. Ἑβρ. 4,3. 4. Πρβλ. Ματθ. 5,8. 5. Πρβλ. Ρωμ. 1,26. 6. Πρβλ. Ρωμ. 8,2. 7. Ρωμ. 7,24. 25. 8. Ρωμ. 8,2.

τῷ νῷ ὅσα ἐὰν λαλήσωσιν, οἱ μὲν ἀκούσαντες πίστει ὠφελοῦνται, αὐτοὶ δὲ μένουσιν οἷοι καὶ τὸ πρὶν ἦσαν. Τοῖς γὰρ πνευματικοῖς ἀπὸ τοῦ νῦν κτίζονται παλάτια καὶ τρίκλινοι καὶ οἶκοι ὑπερμεγέθεις ὑπὸ τοῦ Πνεύματος, κατασκευάζεται δὲ αὐτοῖς καὶ ἐσθὴς διάφορος καὶ ἔνδοξος, καὶ ὅταν ἀναλύσωσι πρὸς τὸν Χριστόν, μετὰ πολλῆς χαρᾶς προσδέχονται αὐτοὺς οἱ ἴδιοι, τὰ πνεύματα τῶν δικαίων καὶ ὅλη ἡ ἐπουράνιος ἐκκλησία[1]. Λέγει γὰρ ὁ Κύριος· «εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου»[2]. Πολλοὶ γὰρ τῶν ἀδελφῶν λαμβάνοντες χάριν καὶ συμφωνοῦντες ὁσημέραι εἰς αὔξησιν καὶ προκοπὴν καὶ εἰς μέτρα μεγάλα προχωροῦσιν· εἰσὶ δὲ ἄλλοι οἵτινες λαμβάνουσι δωρεὰν ἐκ τοῦ Θεοῦ, καὶ οὗτοι καίτοι συνούσης τῆς χάριτος ἐκτρέπονται εἰς ἀταξίας καὶ εἰς κακὰ πολλά.

67 Γ'. Ἐρώτησις. Καὶ ὅτε ἐκπίπτουσιν εἰς ἁμαρτήματα, παραμένει ἡ χάρις ἢ εὐθὺς ἀφίσταται;

Ἀπόκρισις. Συμβαίνει ὅτι καὶ πλημμελήσαντος αὐτοῦ τοῦ ἀνθρώπου διὰ τὸ φιλάνθρωπον ἕως ὅτε ἐστὶν ἐν σαρκὶ παραμένει, ὅταν δὲ χωρισθῇ τοῦ σώματος ἡ ψυχή, τότε καὶ ἡ χάρις ἀφίσταται καὶ ἡ ψυχὴ χωρεῖ εἰς τὸ ἴδιον μέρος παραδιδομένη τοῖς πονηροῖς πνεύμασιν. Οἱ γὰρ δύο νόμοι εἰσὶν ἐν τῷ ἀνθρώπῳ, ὁ νόμος τῆς κακίας κλέπτων εἰς τὸ ἴδιον μέρος καὶ ὁ νόμος τῆς χάριτος ἕλκων εἰς τὰ ἐπουράνια. Ὅσῳ γὰρ εἰσέρχεταί <τις> εἰς τὰ πειρατήρια, στερεοῦται καὶ θεμελιοῦται καὶ γίνεται πέτρα ἄπτωτος, καὶ ὁ τοιοῦτος νοῦς, στήκων εἰς τὴν θύραν καὶ μὴ διδοὺς νῶτα τῷ πολεμίῳ ἀλλ' ἀνθιστάμενος, ἐν τῇ ἐξόδῳ τοῦ σώματος παραλαμβάνουσιν αὐτὸν οἱ δεξιοὶ ἄγγελοι εἰς τὸ μέρος τῆς βασιλείας καὶ χωρεῖ εἰς τὴν ἀίδιον ζωήν. Ὥσπερ ἐν τοῖς φαινομένοις ἵνα ᾖ βασιλεὺς διδοὺς χαρίσματα τοῖς διακόνοις αὐτοῦ, οἱ μὲν λαμβάνοντες εἰς πορνείας καὶ ἀσελγείας καὶ γαστριμαργίας ἀναλίσκουσιν, ἄλλοι δὲ λαμβάνοντες συντηροῦσι καὶ προσκτῶνται ἑαυτοῖς σκεύη τίμια, οὗτοί εἰσιν, ἔνδοξοι οἱ πολυπλασιάσαντες ἐκ τῶν παρασχεθέντων αὐτοῖς χαρισμάτων τὴν ἑαυτῶν οὐσίαν. Ἐξ ἀληθείας γὰρ οἱ γευσάμενοι ἐκείνης τῆς γλυκύτητος καὶ ἡδύτητος οὗτοι βλέποντες βασιλέα φαινόμενον ἠμφιεσμένον πορφύραν καὶ ἀξιώματα καὶ θησαυροὺς ὁρῶντες, ὥσπερ δυσωδίαν ἡγοῦνται καὶ βδελυκτὰ καὶ ταπεινὰ αὐτοῖς καταφαίνεται, ἐπειδὴ εἰσῆλθαν εἰς βασιλικοὺς καὶ ἐπουρανίους οἴκους τοῦ Χριστοῦ καὶ ἀνεῴχθησαν αὐτοῖς θησαυροὶ ἐπου-
68 ράνιοι καὶ ἐκληρονόμησαν ἄλλον πλοῦτον, ἄλλου ἀξιώματος γενόμενοι, υἱοὶ φωτὸς ἐπουρανίου, αἰῶνος ἀπεράντου. Συγκρίνοντες οὖν τὰ ἐπίγεια τοῖς ἐπουρανίοις τότε γινώσκουσι τὸ χάος τὸ ἐν μέσῳ καὶ τὴν διαφοράν. Ὥσπερ γὰρ ἵνα ᾖ τις συνεχόμενος ὑπὸ πυρετοῦ, ἔτι ἀκμαζούσης τῆς κακώσεως ἐὰν προσενέγκῃς τῷ τοιούτῳ ἐδέσματα

1. Πρβλ. Β' Τιμ. 4,18. 2. Ματθ. 25,21. 28.

διάφορα ἢ γλύκασμά τι ἢ ἑτέραν τροφήν, σικχαίνει καὶ ἀηδίζηται καὶ ἀποστρέφεται, κεκορεσμένος ὢν καὶ μεμεθυσμένος ἐκ τοῦ πυρετοῦ καὶ ὥσπερ τροφὴν αὐτὸν ἔχων. Οὕτω καὶ οἱ πνευματικοὶ ἔχοντες τὴν καῦσιν τῆς ἐπουρανίου ἀγάπης καὶ τοῦ θείου πυρός, ὅσα ἂν αὐτοῖς προσενέγκῃς τὰ φαινόμενα τοῦ κόσμου τούτου εἴτε ἀξιώματα εἴτε βασιλείαν εἴτε πλοῦτον εἴτε δόξαν σικχαίνουσι καὶ βδελύσσονται, ὥσπερ τις ἀηδίζεται διοδεύων ἔνθα νεκριμαῖα καὶ δυσωδία πολλή. Τὸν αὐτὸν τρόπον πάλιν καὶ οἱ μεμεστωμένοι τῆς ἐναντίας δυνάμεως καὶ ὄντες τοῦ πνεύματος τοῦ κόσμου, οὗτοι λαλουμένου λόγου πνευματικοῦ περὶ φωτός, περὶ βασιλείας, περὶ αἰῶνος ἄλλου καὶ δυνάμεως θείας, ὥσπερ ἀηδίζονται καὶ ἀκηδιῶσι μὴ δυνάμενοι χωρῆσαι τὸν λόγον «τοῦ Θεοῦ». Ἐξ ἀληθείας γὰρ οὗτοί εἰσι σοφοὶ καὶ ἀνδρεῖοι, οὗτοι πολεμισταὶ οἱ ἄνω ἔχοντες τὸν ἑαυτῶν νοῦν καὶ ὀργιζόμενοι ταῖς συνούσαις αὐταῖς ἐπιθυμίαις καὶ ἡδοναῖς καὶ ἀντιπράττοντες τῷ νόμῳ τῆς κακίας καὶ ὑπήκοοι γινόμενοι καὶ συνηδόμενοι «τῷ νόμῳ τοῦ Θεοῦ»[1]. Τί οὖν ἐστιν ὁ ῥήτωρ ἢ ὁ φιλόσοφος; Ἐπανίσταται αὐτῷ ἐπι69θυμία καὶ μοιχεύει † καὶ ἐπὶ πλεονεξίᾳ ἁρπάζεται καὶ † ἐλαύνεται ὁ νοῦς ὑπὸ τῶν πνευμάτων τῶν πονηρῶν καὶ ποῦ αὐτῶν ἡ σοφία ἡ πολλή;

Δ΄. Ἐρώτησις. Διὰ τί, ὅταν ἀπέρχωμαι εἰς τὴν εὐχήν, πολλοῖς λογισμοῖς συνέχομαι καὶ ῥεμβασμοῖς;

Ἀπόκρισις. Ἀνδρείως καὶ προθύμως προσέρχου καὶ μὴ νωθρῶς καὶ ὡς ἐγκοιμώμενος, ἀλλὰ νηφούσῃ τῇ διανοίᾳ, ὡς ἔργον ἔχων καὶ μὴ ὡς μηδὲν πράσσων ῥέμβου τοῖς λογισμοῖς. Ὥσπερ γὰρ σαρκικὸν ἔργον ποιῶν ὅλος ἐξ ὅλου ἐκεῖ εἶ τῷ νοΐ καὶ τοῖς λογισμοῖς καὶ τῷ σώματι, τὸν αὐτὸν τρόπον ὀφείλεις τῇ εὐχῇ προσέρχεσθαι ὡς ἔργον πνευματικὸν προσδοκῶν ἐκτελέσαι· ὁ Θεὸς γὰρ νοῦν ὁρᾷ καὶ λογισμοῖς προσέχει. Σπούδαζε ἐπισυνάγειν πάντοτε ἑαυτὸν εἰς τὸ ἔργον καὶ εἰς τὴν ζήτησιν καὶ εἰς πόθον Θεοῦ, ἐκεῖ ἐκτείνου καὶ ἐνθυμοῦ καὶ μελέτα, ὅπου τὸ σῶμα εὔχεται, ἤτοι βοῆς χρεία ἢ σιγῆς ἢ ὡσδήποτοῦν, μόνον νηφούσῃ καὶ προσεχούσῃ διανοίᾳ. Καθάπερ γὰρ ὁ εἰκονογράφος ὁ τὴν εἰκόνα τοῦ βασιλέως γράφων, ὅλα τὰ μέλη ἐὰν καλῶς ποιήσῃ, ἐν τῷ ὀφθαλμῷ δὲ ἐὰν ὀλίγον ἐλλείψῃ ἢ ἀφανίσῃ καὶ μὴ ὡς δέοι γράψας, ὅλον ἠφανίσθη τὸ ἔργον· βασιλικὴν εἰκόνα ἠφάνισε καὶ τιμωρίαις ὑπεύθυνος καθίσταται διὰ τὴν ῥαθυμίαν αὐτοῦ — ὡσαύτως καὶ τὴν εἰκόνα τῶν νοημάτων εὐθείως καὶ ὀρθῶς γραφέτω ἕκαστος τοῦ ἐπουρανίου βασιλέως ἐν τῇ ψυχῇ καὶ πᾶσιν ἀγαθοῖς νοήμασι κοσμείτω. Ἢ ὡς ὁ οἰκοδόμος μετρεῖ τὸ εὐθὲς τοῦ κανόνος, μή τι παρατραπῇ ἢ ὡς ὁ γεωργὸς τὴν αὔλακα προσέχων οὐδαμῇ ἀσχολεῖται, ἀλλ' ὅλος ἐκεῖ ἐστιν, ἵνα ὀρθῶς τὰς αὔλακας ποιήσῃ. Εἰ

1. Πρβλ. Ρωμ. 7,22.

οὖν εἰς τὰ σωματικὰ οὕτως, πόσῳ μᾶλλον ἡ ψυχὴ ὀφείλει ἐν τῇ εὐχῇ ὡς ἀληθινῷ ἔργῳ προσέχειν καὶ εὐθύνειν μετὰ πολλῆς νήψεως τὰ νοήματα καὶ **70** τοὺς λογισμοὺς πρὸς Θεὸν πάντοτε «εἰς τὸ ἀγαθόν»[1]. Οὕτω γὰρ δυνήσεται τὴν εὐθύτητα τοῦ νοὸς ἐμπόνως διορθωσάμενος ἐπαίνου ἀξιωθῆναι καὶ πνευματικῶν δωρεῶν ἐπιτυχεῖν καὶ οὕτω τοὺς πόνους αὐτοῦ εἰς ἀνάπαυσιν «ἐνεγκεῖν δύναται, ὁσημέραι προκόπτων καὶ βελτιούμενος καὶ πολλῶν «αἴτιος σωτηρίας»[2] γινόμενος, ὡς φιλόθεος δὲ καὶ εὐάρεστος τῷ Θεῷ ἀποδειχθεὶς τῆς τῶν οὐρανῶν βασιλείας κληρονόμος καθίσταται ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΔ' (=ΟΑ')

71 Α'. Ἐρώτησις. Διὰ τί οἱ μὴ ἔχοντες τὸ Ἅγιον Πνεῦμα ἐν ἑαυτοῖς οὐ δύνανται ἄρτιον καὶ ζωηρὸν ἀποδοῦναι λόγον;

Ἀπόκρισις. Ὥσπερ τὸ γεννώμενον παιδίον ἐκ τῆς μήτρας σῶα τὰ μέλη ἔχον ἐξέρχεται μὴ ἔχον σίνος εἰς τὸ σῶμα, οὕτω καὶ οἱ γεννηθέντες ἐκ τῆς μήτρας τοῦ Πνεύματος κἂν ἐν σαρκὶ εἰς τὸν κόσμον τοῦτον φαίνωνται, ἀλλὰ τῷ πνεύματι διόλου εἰς τὸν ἐκεῖ κόσμον εἰσὶ σὺν τῷ Κυρίῳ ἀναπεπαυμένοι, ὅθεν καὶ ἐγεννήθησαν, καὶ οὗτοι μόνοι δύνανται τέλειον λόγον παραδοῦναι τοῖς ἀδελφοῖς, ἔχοντες τὰ μέλη τοῦ πνεύματος τέλεια ἐν ἑαυτοῖς. Εἰ δέ τινες ἐκεῖθεν οὐκ ἐγεννήθησαν, οὐ δύνανται λόγον πνευματικὸν παραδοῦναι, ἐπειδὴ οὐκ ἔχουσι ζῶν πνεῦμα, ὅπερ ὑπαγορεύει αὐτοῖς τὰ ἐπουράνια. Ὥσπερ ἵνα ᾖ παιδίον ἐκ μήτρας γινόμενον ἐπίμωμον ἢ τυφλὸν ἀπὸ γενετῆς ἢ χωλόν, ὡς τέρας ἐστὶ καὶ σημεῖον τῷ κόσμῳ, οὕτως εἰσὶν οἱ σοφοὶ οἱ θέλοντες διερμηνευταὶ τῶν Γραφῶν εἶναι μὴ ἔχοντες τὸ οὐράνιον Πνεῦμα, μήτε κερασθέντες ἐν τῇ θεότητι ἐπίμωμοί εἰσι, μὴ ἔχοντες ὑγιῆ τὰ μέλη, ἀλλ' ἐπιλήψιμον λόγον καὶ σαθρὸν παραδιδόντες. Ὥσπερ ἵνα ᾖ νόμισμα, ὃ εἰς ἓν μέρος δοκεῖ ἔχειν χάραγμα, εἰς ἄλλο δὲ μέρος βεβλαμμένον **72** ἐστὶ καὶ ἄχρηστον, οὕτως εἰσὶ καὶ οἱ ὄντες βεβλαμμένοι ὑπὸ τῆς ἁμαρτίας· ὑπὸ τοῦ νοὸς αὐτῶν ἤτοι τῆς σοφίας θέλουσι λαλεῖν τὰ ἐπουράνια, ὅθεν οὐκ ἐγεννήθησαν. Ἐπεὶ ὑπόστησόν μοι πρόσωπον ἕν, ὅτι ἔστι σοφός, παρθένος καὶ ἐν τοῖς φαινόμενοις ἀνεπίληπτος, νηστεύων, ἀγρυπνῶν, ἀποταξάμενος τῷ κόσμῳ, εὐχόμενος. Λοιπὸν διαλέγομαι ἐγὼ πρὸς τοῦτον· παρθένος εἶ σύ; Μᾶλλον σοῦ ἐγώ. Εἰς τὸ φαινόμενον νηστεύεις; Μᾶλλον σοῦ ἐγώ. Πτωχὸς εἶ; Περισσότερον σοῦ ἐγώ. Ὅτι οὐκ ὀφείλει τις ἐναπομεῖναι ἐν τούτοις τοῖς φαινομένοις καὶ οὐκ ὀφείλει ἀμεριμνεῖν ὁ νοῦς καὶ ἐπαναπαύεσθαι ἐν τούτοις ὡς ὢν τέλειος, ἀλλὰ ζητεῖν χρὴ τὸν νοῦν δύναμίν τινα ἐπουράνιον ἀνακερα-

---

1. Πρβλ. Ρωμ. 16,19. 2. Πρβλ. Ἑβρ. 5,9.

σθῆναι αὐτῷ καὶ ἐκδέξασθαι κατὰ πᾶσαν ὥραν τὸ ἐπουράνιον δῶρον, τὸ ὑπὲρ τὴν φύσιν σου, τοῖς φυσικοῖς καρποῖς μιγῆναι, ἵνα πάντα ἅπερ ποιῇς καθαρῶς ᾖς ποιῶν. Ὥσπερ ἐὰν ᾖ βασιλεὺς ἔχων σῶα τὰ μέλη, ἐὰν μὴ ᾖ τὴν πορφύραν ἐνδεδυμένος, οὐ προσκυνεῖται ὡς βασιλεύς, οὕτω καὶ σύ, εἰ καὶ τὰ φυσικὰ μέλη σῶα ἔχεις, ἐὰν μὴ ταῦτα ἔχων ἐνδύσῃ τὴν πορφύραν τοῦ Πνεύματος, ὃ ὑπὲρ τὴν φύσιν σοῦ ἐστιν, οὐ στεφανοῦσθαι· οὐδὲ εἰς θρόνον βασιλικὸν καθεσθῆναι δύνασαι.

Β'. Ἀλλ' ἀποκρινῇ μοι, ὅτι ἐὰν εἰς τριάκοντα ἔτη ἢ τεσσαράκοντα μὴ δέξωμαι τὴν θείαν δύναμιν καὶ συμβῇ με ἐξελθεῖν τοῦ βίου, τί;

Κἀγώ σοι πρὸς τοῦτο ἀποκρίνομαι, ὅτι οὐ κρίνει σε ὁ Θεὸς ὡς βλάσφημον, καθότι περισσοτέραν σπουδὴν ἐνεδείξω εἰς τὸ ἀγαθόν. **73** Εἰπεῖν σοι ἔχει ὁ Θεός· ἐπειδὴ ἐξῆλθες ὀπίσω μου καὶ ἔκλαυσας καὶ ἐζήτησας νυκτὸς καὶ ἡμέρας καὶ παρ' ὃ ἧς τὸ πρότερον ἀμεριμνῶν ἐν τοῖς φαινομένοις καὶ φυσιούμενος ἐπ' αὐτοῖς, νῦν πλέον ἐσπούδασας κατὰ τὰς Γραφὰς ζητῶν τὴν ἀλήθειαν καὶ ἐπιθυμῶν δέξασθαι τὴν θείαν δύναμιν ἐν ἑαυτῷ, οὐ κρίνω σε ἐν τούτῳ ὡς βλάσφημον· μὴ γένοιτο, ἀλλὰ ἀποδέχομαί σε ὡς καλλίονα ἑαυτοῦ γενόμενον παρ' ὃ ἧς τὸ πρότερον. Καὶ σὺ δὲ αὐτὸς δοκίμασον ἐν ἑαυτῷ καὶ διάκρινον ὅτι ἡ νῦν σου πολιτεία καὶ ἐργασία ἀνωτέρα ἐστίν. Ἐγὼ δέ σοι λέγω κατὰ τὰς Γραφάς, ὅτι «ὁ ζητῶν εὑρίσκει, καὶ ὁ αἰτῶν λαμβάνει, καὶ τῷ κρούοντι ἀνοιγήσεται»[1]. Ἀλλὰ λέγεις μοι ὅτι· ἀπόδειξόν μοι, πῶς σύνεστί τισιν ἡ θεία δύναμις ἐν τῷ νῦν αἰῶνι. Ἀποκρίνομαί σοι κἀγώ· πῶς σε πείσω, ὅτι ἡ θεία δύναμις τοῖς πιστοῖς σύνεστιν, ἀπὸ τῆς Παλαιᾶς Διαθήκης ἢ ἀπὸ τῆς Καινῆς; Ἔλθωμεν πρῶτον ἐπὶ τὴν σκιάν. Τίς ἐνεδυνάμωσε τὸν Ἀβραὰμ γέροντα ὄντα καὶ ἔχοντα τὸ «σῶμα νενεκρωμένον»[2] ἐλθεῖν εἰς ἀνακαινισμὸν καὶ γεννῆσαι τὸν υἱόν; Ἀλλὰ λέγεις μοι· τὰς μὲν θυσίας αὐτοῦ ἐδέξατο, πρὸς αὐτὸν δὲ οὐκ ἦν. Καὶ τίς φίλος βουλόμενος συντυχεῖν τῷ φίλῳ αὐτοῦ πρῶτον εἰς τὴν ὕπαρξιν αὐτοῦ διακινεῖ, εἰς χώραν ἢ εἰς ἄμπελον, καὶ τότε αὐτὸν ὁρᾷ καὶ καταφιλεῖ; Καὶ ὁ Θεὸς ἄρα τὰς μὲν θυσίας τοῦ Ἀβραὰμ ἐδέξατο καὶ τὰ ὑπάρχοντα, πρὸς αὐτὸν δὲ οὐκ ἦν καὶ οὐκ ᾤκει ἐντὸς αὐτοῦ[3]; Καὶ ὅτε συνέβαλεν εἰς πόλεμον, τίς ἦν ὁ νικῶν; Ἡ φύσις αὐτοῦ μόνη ἢ ὁ Θεὸς ἦν ἐν αὐτῷ οἰκῶν καὶ ποιῶν τὴν νίκην; Ἔλθωμεν ἐπὶ τὸν Νῶε. Τίς ἦν ὁ ὑποτάξας ἔμπροσθεν αὐτοῦ ὅλα τὰ γένη τῶν θηρίων[4]; Ἡ φύσις αὐτοῦ ἢ οὐράνιόν τι συνὸν αὐτῷ τὸ ὑπὲρ τὴν φύσιν, **74** ὅπερ ἔκτισεν αὐτὰ τὰ ζῷα καὶ αὐτὸν καὶ ὑπέταξεν ἔμπροσθεν αὐτοῦ τὰ θηρία[5]; Ὁ Ἰακὼβ ἄρα ἀπὸ ἰδίας δυνάμεως τοιοῦτον λίθον ἠδύνατο ἀποκυλίσαι[6] ἢ ἡ θεία δύναμις συνῆν αὐτῷ ἡ ἀποκυλίσασα τὸ βάρος τοῦ λίθου; Τοσοῦτον δὲ ἀδιαλείπτως συνῆν αὐτῷ ὁ Θεός, ὅτι οὐδέ, εἰ ἐκοιμᾶτο, ἤφιεν

1. Λουκ. 11,10. 2. Πρβλ. Ρωμ. 4,19. Γεν. 17,17 ἑξ. 3. Πρβλ. Γεν. 14,14 ἑξ. 20. 4. Πρβλ. Γεν. 7,8. 9. 5. Πρβλ. Γεν. 1,24-25. 28. 6. Πρβλ. Γεν. 29,10.

αὐτόν. Ἤνοιξε γὰρ τὰς θύρας τῶν οὐρανῶν καὶ ἔδειξεν αὐτῷ τὸν οὐράνιον οἶκον, εἰς τύπον κλίμακος ἐφαίνετο αὐτῷ[1]. Εἶτα ἐπάλαισεν αὐτῷ ὡς ἄνθρωπος πρὸς ἄνθρωπον[2].

ΟΜΙΛΙΑ ΙΕ′ (=ΟΒ′)

75 Α′. Οἱ τοῦ Χριστοῦ ἄξιοι Χριστιανοὶ οὐκ ἀπὸ γράμματος μανθάνουσι καὶ λαλοῦσιν, ἀλλὰ ἀπὸ πνεύματος θεοῦ πάντα ἐκδιδάσκονται, «οὐκ ἐν διδακτοῖς» γράμμασιν (ὥς φησιν ὁ ἀπόστολος) «ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς Πνεύματος Ἁγίου»[3]. Ἡ διαθήκη γὰρ αὐτῶν καὶ ὁ νόμος καὶ ἡ βίβλος αὐτῶν πνεῦμά ἐστιν, καθώς φησι τὸ Πνεῦμα διὰ τοῦ προφήτου· καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις «διαθήσομαι» «διαθήκην καινὴν»[4] τῷ οἴκῳ Ἰακώβ, «οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν»[5], ἀλλα «αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραήλ», «διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν καὶ ἐπὶ τὴν καρδίαν αὐτῶν ἐπιγράψω αὐτούς»[6] καὶ τὰ ἑξῆς. Ὡς γὰρ οἱ πάλαι ἀπὸ τῆς Παλαιᾶς Διαθήκης ἀνεγίνωσκον τοῖς σωματικοῖς ὀφθαλμοῖς τὰ σωματικὰ γράμματα, οὕτως οἱ Χριστιανοὶ τοῖς ἔσωθεν ὀφθαλμοῖς τῆς ψυχῆς ἀναγινώσκουσι καὶ μανθάνουσιν ἐκ τῆς διαθήκης τοῦ Πνεύματος καὶ τῇ ἔσωθεν γλώσσῃ καινῇ λαλοῦσι καὶ τοῖς ἔσωθεν ὠσὶν ἀκούουσιν. Οὕτω γὰρ καὶ τοὺς ἀποστόλους ὁ Κύριος ἐξελέξατο, ἄνδρας ἰδιώτας καὶ ἀγραμμάτους[7], καὶ ἐπλήρωσε Πνεύματος Ἁγίου, καὶ σοφισθέντες ὑπὸ τοῦ Πνεύματος ἐλάλουν διδάσκοντες σοφοὺς καὶ γραμματεῖς· κἂν γὰρ «οὗτοι» (φησὶ) «σιωπήσουσιν, οἱ λίθοι κεκράξονται»[8]. Προέλεγε δὲ τοῦτο ὁ Κύριος ἤτοι περὶ τῶν ἀποστόλων ἢ περὶ πασῶν ψυχῶν τῶν λυτρουμένων ἐκ τοῦ βαρυτάτου λίθου τῆς ἁμαρτίας τοῦ ἐπικειμένου αὐταῖς, ἐπὰν δὲ ἀρθῇ, κράζουσιν αἰνοῦσαι τὸν Θεόν. **76** Ὥσπερ γὰρ οἱ λίθοι τότε καὶ «αἱ πέτραι»[9] θεωροῦσαι τὸν Κύριον ἐσχίζοντο καὶ διηνοίγοντο «τὰ μνήματα»[10] οὕτως ἐπὰν ἐπιλάμψῃ καὶ ἐπιφάνῃ «τὸ πρόσωπον αὐτοῦ»[11] τὸ ἀγαθὸν ὁ Κύριος Ἰησοῦς Χριστὸς ἐν τῇ ψυχῇ, ἀποσχίζεται ὁ βαρὺς λίθος τῆς ἁμαρτίας διδοὺς τόπον τῷ δεσπότῃ, ἵνα εἰσελθὼν ἐνοικήσῃ αὐτὸς εἰς αὐτήν. Ἐπὰν οὖν ἴδωσιν αἱ ὥσπερ λίθος ψυχαὶ τὸ ἐπιθυμητὸν πρόσωπον τοῦ Χριστοῦ, τότε κράζουσιν[12]. Καὶ ὥσπερ ὄρος ἐὰν ᾖ μὴ ἔχον οἰκητήρια ἀλλὰ ὂν λίθος, καὶ ἔλθῃ ἀνήρ τις τεχνίτης εἰδὼς λατομεῖν καὶ ἀπεργάσηται ἐκεῖ οἴκους καλλίστους, τὸν αὐτὸν τρόπον καὶ ὁ Χριστὸς ὁ ἀληθινὸς καὶ καλὸς τεχνίτης ἔρχεται πρὸς τὰς ἀγαπώσας αὐτὸν ψυχὰς καὶ λατομεῖ καὶ ἀποτέμνει ἐξ αὐτῶν τὸ πνεῦμα τῆς ἁμαρτίας καὶ καταρτίζει ἑαυτῷ παλάτια καὶ μονὴν ἐν αὐταῖς ποιεῖται.

1. Πρβλ. Γεν. 28,11. 2. Πρβλ. Γεν. 32,25. 3. Α' Κορ. 2,13. 4. Ἱερ. 38,31. 5. Ἱερ. 38,31-32. 6. Ἱερ. 38,33. 7. Πρβλ. Πράξ. 4,13. 8. Λουκ. 19,40. 9. Πρβλ. Ματθ. 27,51. 10. Πρβλ. Ματθ. 27,62. 11. Πρβλ. Ψαλ. 66,2. 12. Πρβλ. Λουκ. 19,40.

Κράζουσι τοίνυν αἱ ὥσπερ λίθος ψυχαί, ὅταν ἐπιφάνῃ Κύριος «τὸ πρόσωπον αὐτοῦ»[1]. Περὶ δὲ τῶν ἀποστόλων ὅτι ἔκραξαν θέλοντες καὶ μὴ θέλοντες ὥσπερ αὐλὸς ἐπὰν πνέῃ τὸ Πνεῦμα (ὡς θέλει ὁ πνέων οὕτω λαλεῖ ὁ αὐλός), οὕτω καὶ οἱ ἀπόστολοι καὶ οἱ ὅμοιοι αὐτοῖς γεννηθέντες «ἄνωθεν»[2] καὶ λαβόντες τὸ παράκλητον Πνεῦμα, ὡς ἤθελεν αὐτὸ τὸ Πνεῦμα ἐν αὐτοῖς ἐλάλει. Τῷ γὰρ Νικοδήμῳ ὁ Κύριος περὶ τοῦ «ἄνωθεν»[3] γεννωμένου διηγούμενος ἔλεγε· «τὸ Πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει»[4]. Ὡς τοῦ πνεύματος τοῦ ἀνέμου οὐδεὶς οἶδε τὸν οἶκον, πόθεν ἔρχεται ἢ τὸ πλήρωμα αὐτοῦ ποῦ καταντᾷ οὔτε κωλῦσαί τις δύναται οὔτε μετρῆσαι οὔτε καταλαβεῖν, ὁμοίως <ὡς> τὰ τῶν ποταμῶν ῥεύματα οὐδεὶς δύναται ἐπισχεῖν ἢ καταλαβεῖν — τὸ αὐτὸ καὶ ἐπὶ τῆς ψυχῆς· οὐδεὶς δύναται καταλαβεῖν τοὺς λογισμοὺς ἢ πάλιν κωλῦσαι τὰ ῥεύματα τοῦ νοὸς ἢ ἐπισχεῖν ἢ εἰδέναι τὴν πηγὴν τῶν λογισμῶν τῆς διανοίας, πόθεν ἐξέρχεται ἢ καταλαβεῖν ποῦ ἀπέρχεται. <Ὅ>που γὰρ οὐκ ἔστιν ἐνταῦθα καθέζεται καὶ ἀλλαχοῦ τῷ νῷ καὶ τῇ διανοίᾳ ἐστὶν εἰς μακρὰς χώρας. Εἰ οὖν, φησί, τὰ ἐπίγεια τὰ ἐνταῦθα ἐν χερσὶ τοιαῦτά ἐστι καὶ τοσοῦτον ἀκατάληπτα, πόσῳ μᾶλλον ὁ γεννηθεὶς «ἄνω77θεν»[5] καὶ δεξάμενος τὸ ἐπουράνιον Πνεῦμα τοῦ Κυρίου καὶ κραθεὶς αὐτῷ «κατὰ τὸν ἔσω ἄνθρωπον»[6] πόσον ἐστὶν ἀκατάληπτος ἡ ψυχὴ ἐκείνου; Ὅπου γὰρ βούλεται, ἰδοὺ ἐκεῖ ἐστιν, ἐνταῦθα γὰρ οὖσα, ἐλθὸν τὸ οὐράνιον καὶ θεῖον Πνεῦμα ὡδήγησεν αὐτὴν εἰς τὰ ἐπουράνια καὶ ἐδίδαξε καὶ πανταχοῦ ἀκατάληπτός ἐστιν ἐκείνη ἡ ψυχή.

Δόξα τῇ μεγαλωσύνῃ αὐτοῦ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙϚ' (=ΟΓ')

78 Α'. <Ὅ> φησιν ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ· «τί στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν καὶ ὀλίγοι εἰσὶν οἱ διοδεύοντες αὐτήν»[7], νοεῖται μὲν κατὰ τὴν ἀκροτάτην ἀρετὴν διὰ τὸ θλιβερὸν καὶ διὰ τὸ πόνῳ καὶ ἀγῶνι προσκτᾶσθαι αὐτὴν ἕκαστον. Ὅμως δὲ στενὴν ὅταν λέγῃ ὁδὸν τοῖς μὴ βουλομένοις δι' αὐτῆς πορεύεσθαι, στενὴ ὁδὸς τοῖς ἐχθροῖς αὐτῆς ἐστι, τοῖς μὴ δυναμένοις βαδίζειν εἰς αὐτήν, καθὼς γέγραπται· «ὡς τραχεῖά ἐστι σφόδρα τοῖς ἀπαιδεύτοις, καὶ οὐκ ἐμμενεῖ ἐν αὐτῇ ἀκάρδιος»[8]. Πολλῆς γὰρ συνέσεως καὶ φρονήσεως καὶ ὑπομονῆς καὶ πίστεως χρεία, ἵνα τις ἑδραίως καὶ ἀσφαλῶς ἐπὶ τὴν μακαρίαν φθάσῃ καὶ θείαν «τῆς δικαιοσύνης ὁδόν»[9]. Ὥσπερ ἐὰν ᾖ ὄρος λίαν ὑψηλὸν καὶ κρημνῶδες καὶ ἔχῃ τρίβον λίαν στενὴν

1. Πρβλ. Ψαλ. 66,2. 2. Πρβλ. Ἰω. 3,3. 7. 3. Ἰω. 3,3. 7. 4. Ἰω. 3,8. 5. Πρβλ. Ἰω. 3,3. 7. 6. Πρβλ. Ρωμ. 7,22. 7. Ματθ. 7,14. 8. Σ. Σειρ. 6,20. 9. Πρβλ. Β' Πέτρ. 2,21.

ὡσανεὶ περίμετρον βήματος ποδός, καὶ δι' ἐκείνης οὐ δύναται ζῷα τετράποδα ἢ ἄλλο τι διοδεῦσαι καὶ παρελθεῖν ἢ τάχα μόνον πετεινὰ τὰ ὑπὸ τῶν ἰδίων πτερῶν κουφιζόμενα, οὕτω καὶ αἱ ἀκρόταται ἐντολαὶ τοῦ Εὐαγγελίου καὶ «ἡ ὁδὸς»[1] τοῦ Θεοῦ «στενὴ καὶ τεθλιμμένη»[2] ἐστὶ τοῖς ἀνθρώποις τοῦ κόσμου τούτου τοῖς μὴ μετέχουσι Πνεύματος Θεοῦ, καὶ ἀδύνατον παρελθεῖν τινας (τοῦτ' ἔστιν ὑπηκόους εὑρεθῆναι καὶ **79** ἀμώμους εἰς πάσας τὰς εὐαγγελικὰς ἐντολάς), ἐὰν μὴ πτέρυγας τοῦ Ἁγίου Πνεύματος κτήσωνται, καὶ τότε κουφιζόμενοι τῷ Ἁγίῳ Πνεύματι εὐκόλως δύνανται διοδεῦσαι τὴν εὐαγγελικὴν «τῆς δικαιοσύνης ὁδόν»[3], ἵνα «εἰς τὴν ζωὴν εἰσελθεῖν»[4] καταξιωθῶσιν, καθὼς ὁ Κύριος εἴρηκεν· ὅτι «ὁ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν»[5], καὶ τότε γνώσονται ὅτι αἱ ἐντολαὶ Ἰησοῦ βαρεῖαι οὐκ εἰσίν, ὅταν πεπτερωμένοι τῷ Πνεύματι τῷ Ἁγίῳ τὴν στενὴν τοῖς λοιποῖς ἀνθρώποις ὁδὸν οὗτοι ἐν κουφότητι πολλῇ καὶ εὐθυμίᾳ διοδεύωσιν· ἀδύνατον γὰρ χωρὶς τῶν ἁγίων πτερύγων τοῦ Πνεύματος παρελθεῖν τινα τὴν προειρημένην ὁδὸν (τοῦτ' ἔστι πάσας τὰς ἐντολὰς τοῦ Κυρίου καθαρῶς καὶ τελείως καὶ ἀμώμως ἀποπληρῶσαι), καὶ οὕτω καταξιωθῆναι εἰσελθεῖν εἰς τὴν πύλην τῆς βασιλείας τῶν οὐρανῶν.

Β'. Πολλοῖς δὲ καὶ ποικίλοις τρόποις τῆς χάριτος κατὰ προκοπὴν καὶ αὔξησιν καὶ χρονικῇ παρατάσει εἰς τὰ τέλεια μέτρα τῆς καθαρότητος ἡ χάρις τοῦ Πνεύματος καταξιοῖ ἐλθεῖν ψυχὰς τὰς ὑπηκόους αὐτῇ κατὰ πάντα. Ὃν τρόπον γάρ τινα τῶν ὀρνέων φοβούμενα τὰ ἐπὶ γῆς θηρία εἰς ἀκρότερον καὶ ὑψηλότερον μέρος ποιεῖται τὸν φωλεὸν ἢ ἐν στέγει ἢ ἐν δένδρῳ τινὶ ὑψηλῷ, καὶ αὐτὴ ἡ μήτηρ περιερχομένη φέρει τοῖς νεοσσοῖς τρυφερὰν τροφὴν καθὼς δύνανται ἐπιδέξασθαι διὰ τὸ ἔτι νήπια αὐτὰ εἶναι, εἶτα κατὰ καιρὸν στερεωτέραν προσφέρει τὴν τροφὴν κατὰ τὴν αὔξησιν τῆς ἡλικίας τῶν νεοσσῶν, ἅμα καὶ διδάσκουσα αὐτὰ φυομένων καὶ αὐξανομένων τῶν πτερύγων γυμνάζεσθαι κατ' ὀλίγον ἐν τῷ ἀέρι τὴν πτῆσιν καὶ μελετᾶν πρῶτον μὲν περὶ τὴν καλιὰν εἶτα περὶ τοὺς κλάδους τοῦ δένδρου ἀπὸ κλάδου εἰς κλάδον, ἔπειτα ὀλίγον μηκόθεν, ἕως οὗ ἀνδρωθῇ καὶ τὰ πτερὰ στερεοποιηθῇ, καὶ λοιπὸν ἀπὸ βουνοῦ εἰς βουνὸν καὶ ἀπὸ ὄρους εἰς ὄρος, εὐμαρῶς καὶ ἀκόπως ἐν ἀναπαύσει ἀνίπτανται — οὕτω καὶ τὰ τέκνα τοῦ Θεοῦ, ἅπερ γεννᾷ τὸ Πνεῦμα τὸ Ἅγιον ἐκ τῆς αὐτοῦ δυνάμεως, πρῶτον μὲν **80** ἐν ταῖς ἀρχαῖς δίδωσι τροφὴν γάλακτος πνευματικήν, γλυκύτητος καὶ πόθου ἐπουρανίου μεστὴν ἐν τῇ καρδίᾳ· «γάλα» γάρ, «ὑμᾶς ἐπότισα», φησὶν ὁ ἀπόστολος, «καὶ οὐ βρῶμα»[6], καὶ ὁ Πέτρος δὲ οὕτως ἔφη· «ὡς ἀρτιγέννητα βρέφη τὸ λογικὸν καὶ ἄδολον γάλα ἐπιποθήσατε»[7]. Εἶτα κατὰ προκοπὴν καὶ αὔξησιν τῆς ψυχῆς ἀνακαινιζομένης

---

1. Πρβλ. Ματθ. 7,13. 2. Πρβλ. Ματθ. 7,14. 3. Πρβλ. Β' Πέτρ. 2,21. 4. Πρβλ. Ματθ. 18,8. 19,17. 5. Ματθ. 11,30. 6. Α' Κορ. 3,2. 7. Α' Πέτρ. 2,2.

στερεωτέραν τοῦ πνεύματος δίδωσι τροφήν[1], ἅμα τε καὶ αἱ τῆς χάριτος πτέρυγες (τοῦτ' ἔστιν ἡ δύναμις τοῦ Πνεύματος) προκοπτούσης τε ἐν ἀγαθοῖς ἔργοις τῆς ψυχῆς αὐξάνονται ἐν αὐτῇ. Εἶτα διδάσκει ἡ θεία χάρις (ἡ ἀγαθὴ καὶ ἐπουράνιος μήτηρ) τὴν διάνοιαν ἵπτασθαι πρῶτον μὲν περὶ τὴν νοσσιὰν τῆς καρδίας ἤτοι τῶν λογισμῶν (τοῦτ' ἔστιν ἀρεμβάστως κατὰ Θεὸν εὔχεσθαι δυνάμει Πνεύματος). Εἶτα ὅσῳ τροφὴν στερεωτέραν τοῦ Πνεύματος τῆς θεότητος λαμβάνει, τοσούτῳ καὶ ἵπτασθαι δύναται μειζόνως καὶ ἀνωτέρως ὑπὸ τοῦ Πνεύματος ὁδηγουμένη καὶ διαβασταζομένη. Ἐπὰν δὲ λοιπὸν ἀνδρωθῇ καὶ «εἰς μέτρον» ἔλθῃ τῆς πνευματικῆς «ἡλικίας»[2], ἀπὸ βουνοῦ εἰς βουνὸν καὶ ἀπὸ ὄρους εἰς ὄρος (τοῦτ' ἔστιν ἀπὸ τοῦ κόσμου τούτου εἰς τὸν ἄνω κόσμον καὶ ἀπὸ τοῦ αἰῶνος τούτου εἰς τὸν μακάριον καὶ ἄφθαρτον καὶ ἄπειρον αἰῶνα) εὐκόλως ὁ νοῦς ἵπταται ἐν πολλῇ ἀμεριμνίᾳ καὶ ἀναπαύσει ὑπὸ τῶν πτερύγων τοῦ Πνεύματος βασταζόμενος καὶ ὁδηγούμενος «εἰς ὀπτασίας καὶ ἀποκαλύψεις»[3] μυστηρίων ἐπουρανίων καὶ εἰς θεωρίας πνευματικὰς ἀρρήτους, ἅσπερ γλῶσσα σαρκὸς λαλῆσαι οὐ δύναται. Λοιπὸν γὰρ τὰ τέκνα τοῦ Θεοῦ ἀνώτερα καὶ ὑψηλότερα γίνονται τῆς κακίας ὑπὸ τοῦ Πνεύματος δυναμωθέντα καὶ εἰς οὐρανοὺς τὴν δίαιταν ἔχοντα, μηκέτι φοβούμενα τὴν τῶν ἀκαθάρτων πνευμάτων ἀγριότητα. Ὃν τρόπον τὰ νοσσία ἀνδρωθέντα καὶ τῶν πτερύγων τελείως αὐξηθέντων οὐκέτι δέδοικεν ἐπιβουλὴν θηρίων ἢ ἀνθρώπων διὰ τὸ ἐν τῷ ἀέρι ὡς ἐπὶ τὸ πλεῖστον τὴν δίαιταν αὐτῶν εἶναι, καὶ ὥσπερ οὐδεὶς ἀνθρώπων γινώσκει τὴν τῶν πτηνῶν ὁμιλίαν, οὕτω καὶ τὴν γλῶσσαν τοῦ Πνεύματος οὐδεὶς ἀνθρώπων τῶν πεπληρωμένων τοῦ πνεύματος «τοῦ κόσμου»[4] ἐν δυνάμει γινώσκει ἢ μόνον οἱ τοῦ
81 Πνεύματος τῆς χάριτος υἱοὶ γινώσκουσι τὴν λαλιὰν τῆς μητρὸς αὐτῶν κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ ἀποστόλου· «πνευματικοῖς πνευματικὰ συγκρίνοντες. Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ ἐστιν»[5]. Ὥσπερ γὰρ βάρβαρος τοῖς ἀνθρώποις ἡ τῶν χελιδόνων καὶ τῶν λοιπῶν πετεινῶν φωνή, οὕτω καὶ τοῖς σαρκικοῖς οἱ τῶν πνευματικῶν λόγοι βάρβαροί εἰσιν. Ὁμοίως δὲ καὶ τοῖς πνευματικοῖς οἱ τῶν σαρκικῶν λόγοι ἤγουν «ἡ σοφία τοῦ κόσμου μωρία»[6] ἐστὶ καὶ γνωρίζουσι μὲν αὐτούς, ἀλλ' ἀποστρέφονται ὡς ληρωδίας καὶ ματαιότητος κόσμου-λόγους.

Γ'. Ταῦτα πάντα διὰ τῶν φαινομένων πραγμάτων ἱστόρηταί μοι διά τε ὀρνέων καὶ ζῴων καὶ πάντων τῶν ὁρωμένων διὰ τὸ ἄλλως ῥηθῆναι τὰ πνευματικὰ ἢ ἑρμηνευθῆναι ἀδύνατον, καθὼς καὶ ὁ Κύριος ἐν παραβολαῖς τὰ πλεῖστα ἐλάλησεν ὑποδείγματα ἐκ τῶν ὁρωμένων λαμβάνων «κόκκῳ σινάπεως»[7] καὶ «ζύμῃ»[8] καὶ «θησαυρῷ»[9] τὴν βασιλείαν

---

1. Ἑβρ. 5,12. 2. Πρβλ. Ἐφ. 4,13. 3. Πρβλ. Β' Κορ. 12,1. 4. Πρβλ. Α' Κορ. 2,12. 5. Α' Κορ. 2,13. 14. 6. Α' Κορ. 3,19. 7. Πρβλ. Ματθ. 13,31. 8. Πρβλ. Ματθ. 13,33. 9. Πρβλ. Ματθ. 13,44.

παρεικάζων· «ἀνοίξω» (γάρ φησιν) «ἐν παραβολαῖς τὸ στόμα μου, ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου»[1]. Ἄρρητα γάρ ἐστι τὰ πνευματικὰ μὴ δυνάμενα λόγῳ ἀνθρωπίνῳ φρασθῆναι, ἐὰν μὴ αὐτὸ τὸ Πνεῦμα πείρᾳ καὶ ἐνεργείᾳ διδάξῃ τὴν ἀξίαν καὶ πιστὴν ψυχήν. Τὴν γὰρ πνευματικὴν ἀναγέννησιν καὶ τὴν αὔξησιν καὶ τὴν τελείωσιν ὡς δεῖ εἰπεῖν ἀδύνατόν ἐστι ῥηθῆναι ἢ μόνον πιστεύειν, ὅτι ταῦτα οὕτω ποιεῖ ὁ Θεὸς τοῖς ἀνθρώποις τοῖς τὴν εὐάρεστον αὐτῷ ἐπανῃρημένοις πολιτείαν. Οὕτως οὖν καὶ ἡ τῶν πνευματικῶν ὁμιλία βάρβαρός ἐστι τοῖς τοῦ κόσμου ἀνθρώποις. Ὥσπερ γὰρ οἱ ἰχθύες τῆς θαλάσσης πάντα τὰ ἐν αὐτῇ οἴδασι, τὰς τρίβους καὶ τὰ βάθη, καὶ οὐκ ἐγχωρεῖ ἄνθρωπον ἢ θηρία ἢ τὰ λοιπὰ ζῷα τὰ ἐκεῖ γνωρίσαι ἢ ἐγχρονίσαι ἐνταῦθα, ἐπεὶ ἀπόλλυνται πνιγέντα, οὕτως ἀδύνατόν ἐστι μὴ γεννηθέντα τινὰ ἐκ τοῦ Ἁγίου Πνεύματος ἐξ ἐκείνου τοῦ αἰῶνος τὰ ἐκεῖ γνωρίσαι ὥς ἐστι «καὶ τὰ βάθη τοῦ Θεοῦ»[2] καὶ τὰς τρίβους τοῦ Πνεύματος τῆς βασιλείας εἰδέναι, εἰ μὴ οἱ ἐν αὐτῷ τῷ Πνεύματι ἀναστρεφόμενοι καὶ ἐξ αὐτοῦ ζῶντες καὶ μετέχοντες καὶ ἐν αὐτῷ περιπατοῦντες κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ ἀποστόλου· «ἡμῶν δὲ τὸ **82** πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει»[3], καὶ πάλιν· οὐδεὶς ἔγνω «τὰ τοῦ Θεοῦ» «εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ»[4]. «Ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ Πνεύματος αὐτοῦ», καὶ πάλιν φησίν· τὸ Πνεῦμα «ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ»[5]. Οὕτως ἀδύνατον τῷ ἔχοντι «τὸ πνεῦμα τοῦ κόσμου»[6] καὶ μὴ γεγεννημένῳ ἐν Πνεύματι[7] Ἁγίῳ εἰδέναι τι ἐν πείρᾳ γνώσεως τῶν τοῦ Πνεύματος ὡς ἔστι, κἂν θέλωσιν ἐμβατεύειν, εἰκῇ φυσιοῦνται ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτῶν[8]. Σοφίᾳ γὰρ κοσμικῇ ἐπερειδόμενοι καὶ οἰόμενοι δύνασθαι καταλαμβάνειν τῇ συνέσει αὐτῶν τὰ πνευματικὰ ἄνευ τῆς ἐπισκέψεως καὶ ἀποκαλύψεως τοῦ Πνεύματος, ἐξαποροῦνται καὶ ἀπόλλυνται μὴ ἔχοντες θεμέλιον ἀληθῆ, (ὅς ἐστιν ὁ Κύριος, δι' οὗ οἱ ἄξιοι πᾶσαν πνευματικὴν γνῶσιν περιλαμβάνουσιν). Εἰς ἀδηλότητα γάρ τινα καὶ εἰς φαντασίαν στοχασμῶν ὁ νοῦς αὐτῶν καταντᾷ διὰ τῆς ἰδίας συνέσεως καὶ ἰσχύος νομιζόντων πνευματικὴν καταλαμβάνειν γνῶσιν, ἀλλὰ κἂν πάσας τὰς Γραφὰς ἀπὸ στόματος ἀπαγγέλλωσιν, οὐκ οἴδασι τὴν δύναμιν ὧν λαλοῦσιν. Ὥσπερ γὰρ παιδία διδασκόμενα παρὰ διδασκάλῳ ἐκμανθάνει τὰ τῶν δεινῶν ῥητόρων διηγήματα καὶ τῷ μὲν στόματι ἀπαγγέλλουσι τοὺς λόγους τῶν σοφῶν, τὴν δὲ δύναμιν τῶν λόγων οὐκ ἴσασιν, οὐδὲ ἐπίστανται, τί ἀναγινώσκουσιν ἢ ἀπαγγέλουσι διὰ τὴν νηπιότητα — οὕτω καὶ οἱ τὰς Γραφὰς ἀπαγγέλλοντες καὶ μελετῶντες ἐὰν μὴ παρὰ πνευματικῶν ἀνδρῶν παραλάβωσι τὸν ἐγκείμενον ἀληθῆ νοῦν ἐν αὐταῖς καὶ ἐὰν μὴ ἔχωσιν ἐν ἑαυτοῖς τὴν ζῶσαν φωνὴν (τοῦτ' ἔστιν αὐτὴν τὴν θεϊκὴν δύναμιν τὴν ὑπαγορεύσασαν τὰς Γραφάς), ὡς

1. Ματθ. 13,35. Ψαλ. 77,2. 2. Πρβλ. Α' Κορ. 2,10. 3. Φιλιπ. 3,20. 4. Α' Κορ. 2,11. 5. Α' Κορ. 2,10. 6. Α' Κορ. 2,12. 7. Πρβλ. Ἰω. 3,6. 8. Πρβλ. Κολ. 2,18.

ἔδει ὠφεληθῆναι οὐκ ὠφελήθησαν. Ἔτι γάρ εἰσιν ἐνδεδυμένοι «τὸν παλαιὸν ἄνθρωπον»[1], τοῦτ᾽ ἔστι «τὸ πνεῦμα τοῦ κόσμου»[2] (ὅπερ ἐστὶν ὁ νόμος «τῆς ἁμαρτίας»[3] ὁ ἀντιστρατευόμενος «τῷ νόμῳ τοῦ νοός»). Ὥσπερ δὲ ὁ μὴ γεννώμενος ἐν τῷ κόσμῳ τούτῳ οὐκ ἔστιν, ὅταν δὲ γεννηθῇ τότε ἔστιν εἰς τὸν αἰῶνα τοῦτον, οὕτω καὶ ὁ μὴ ἐν Πνεύματι Ἁγίῳ γεννηθεὶς οὐκ ἔστιν εἰς τὸν αἰῶνα 83 τοῦ πνεύματος οὔτε ἐκεῖ καταντῆσαι δύναται. Ἐὰν μὴ οὖν τὸ νέον καὶ ἐπουράνιον γέννημα ἀπεντεῦθεν δέξηται (τοῦτ᾽ ἔστιν ἐν τῷ αἰῶνι ἐκείνῳ ἐκ Πνεύματος ἡ ψυχὴ γεννηθῇ κἀκεῖθεν τραφῇ καὶ αὐξηθῇ καὶ τελειωθῇ ἐν Πνεύματι), εἰς ἐκεῖνον τὸν αἰῶνα οὐ καταντᾷ. Οὕτω γὰρ εἰσι δεδογματισμένα τὰ δόγματα ὑπὸ τοῦ Κυρίου καὶ οὕτως ηὐδόκησε καὶ ἀπεφήνατο· «ἐὰν μή τις ἀναγεννηθῇ ἄνωθεν», οὐ μὴ εἰσέλθῃ «εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»[4]· τὸ γὰρ γεννηθὲν «ἐκ Πνεύματος πνεῦμά ἐστιν», ὥσπερ καὶ «τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν»[5]. Ἠθέλησε γὰρ τὸ Πνεῦμα τὸ Ἅγιον συγκερασθῆναι τῇ ψυχῇ καὶ καθαρίσαι αὐτὴν ἀπὸ τοῦ πνεύματος τῆς ἁμαρτίας τοῦ ὄντος «ἐν τοῖς μέλεσιν»[6] αὐτῆς καὶ γενέσθαι μετ᾽ αὐτῆς εἰς ἓν πνεῦμα, ἵνα νύμφην καθαρὰν καὶ ἄμωμον αὐτὴν ἑαυτῷ παραστήσῃ· — Δόξα τῷ οὕτως ἀγαπήσαντι τὴν ψυχὴν τὴν κατ᾽ εἰκόνα αὐτοῦ κτισθεῖσαν, τῷ λυτρωσαμένῳ αὐτὴν ἐκ τῆς βασιλείας τοῦ σκότους καὶ μεταστήσαντι αὐτὴν εἰς τὴν βασιλείαν τοῦ φωτὸς τῆς ζωῆς.

Δ΄. Παρακαλέσωμεν οὖν καὶ ἡμεῖς τὸν Θεὸν καὶ δεηθῶμεν αὐτοῦ, ἵνα γεννήσῃ ἡμᾶς ἐκ τοῦ Πνεύματος τοῦ Ἁγίου καὶ λυτρώσηται ἐκ τοῦ πνεύματος «τοῦ κόσμου»[7] καὶ εἰσαγάγῃ εἰς κόσμον θεότητος τοῦ Ἁγίου Πνεύματος ἀπὸ τοῦ νῦν. Μήπως ὁ θάνατος (ὅ ἐστι «τὸ πνεῦμα τοῦ κόσμου»[8], «τὸ φρόνημα τῆς σαρκὸς»[9]) κατάσχῃ ἡμᾶς ὑπὸ τὴν ἑαυτοῦ ἐξουσίαν καὶ γεέννῃ αἰωνίῳ παραδοθῶμεν καὶ τότε ἀνωφέλητα μετανοήσωμεν, ὅτι ἔχοντες καιρὸν οὐκ ᾐτήσαμεν λύτρωσιν καὶ ἔλεος παρ᾽ αὐτοῦ, καίπερ ἑτοίμως (ἐάν τις αἰτήσῃ καὶ ζητήσῃ καὶ κρούσῃ[10]) τὰς ἰδίας ἐπαγγελίας φιλανθρώπως παρεχομένου· «πιστὸς γάρ» ἐστι καὶ ἀληθὴς «ὁ ἐπαγγειλάμενος»[11] διδόναι τὴν ἑαυτοῦ χάριν καὶ τὴν ζωὴν τοῖς μετὰ πίστεως αἰτοῦσιν αὐτόν[12]. Προσδεξώμεθα τοίνυν ἀεὶ τὸν Κύριον, τὸν ἀληθινὸν ζωοποιόν, ὃς μόνος δύναται ἐλθὼν λυτρώσασθαι τὰς ψυχὰς ἡμῶν ἐκ τῶν ἀοράτων ἐχθρῶν, τῶν παθῶν τῆς «ἀτιμίας»[13], τὴν ἀναστροφὴν ἡμῶν ἄσπιλον καὶ ἄμωμον ἐν πάσαις ἀρεταῖς ποιούμενοι. Μὴ γινώμεθα ὥσπερ αἱ πονηραὶ καὶ μίσανδροι γυναῖκες, αἵ84τινες ἐπὰν ἔλθῃ ὁ ἀνὴρ κεκοπιακὼς πρὸς τὸ ἀναπαῆναι ἐν τῷ οἴκῳ αὐτοῦ, αὐταὶ τοὺς οἴκους αὐτῶν καταλιμπάνουσαι ἀλλαχοῦ ἀπερχόμεναι ῥέμβονται. Πολὺ γὰρ βούλεται ἀναπαῆναι

---

1. Κολ. 3,9. 2. Πρβλ. Α΄ Κορ. 2,12. 3. Πρβλ. Ρωμ. 7,23. 4. Ἰω. 3,3. 5. 5. Ἰω. 3,6. 6. Πρβλ. Ρωμ. 7,5. 23. 7. Πρβλ. Α΄ Κορ. 2,12. 8. Πρβλ. Α΄ Κορ. 2,12. 9. Πρβλ. Ρωμ. 8,6. 10. Πρβλ. Ματθ. 7,7. 11. Πρβλ. Ἑβρ. 10,23. 12. Πρβλ. Ματθ. 21,22. 13. Πρβλ. Ρωμ. 1,26.

εἰς τὸν ἑαυτοῦ οἶκον, εἰς τὰ σώματα καὶ τὰς ψυχὰς ἡμῶν, αὐτὸς ὁ καλὸς καὶ μόνος ἀνὴρ Χριστός, ὁ κεκοπιακὼς πολλὰ δι' ἡμᾶς καὶ ἐξαγοράσας ἡμᾶς τῷ ἰδίῳ αὐτοῦ αἵματι[1], κρούει ἀεὶ τὰς θύρας τῶν καρδιῶν ἡμῶν, ἵνα ἀνοίξωμεν αὐτῷ καὶ εἰσελθὼν ἀναπαῇ εἰς τὰς ψυχὰς ἡμῶν καὶ «μονὴν»[2] παρ' ἡμῖν ποιήσῃ, ἵνα μὴ μεμπταῖοι γενώμεθα· ὥσπερ ὀνειδίζει ὁ Κύριος τῷ μὴ νίψαντι καὶ ἀλείψαντι «τοὺς πόδας»[3] αὐτοῦ καὶ μὴ ἀναπαύσαντι αὐτόν, καὶ πάλιν ἀλλαχοῦ λέγει ὁ Κύριος· «ἰδοὺ ἕστηκα ἐπὶ τὴν θύραν καὶ κρούω· ἐάν τις «ἀνοίξῃ» μοι «εἰσελεύσομαι πρὸς αὐτὸν καὶ δειπνήσω μετ' αὐτοῦ καὶ αὐτὸς μετ' ἐμοῦ»[4]. Τοιγαροῦν ἡμεῖς μακρύνομεν ἑαυτοὺς ἀπ' αὐτοῦ μὴ κατὰ ἀλήθειαν ζητοῦντες αὐτόν· αὐτὸς γὰρ ἀεὶ ἐγγίζει ταῖς ψυχαῖς ἡμῶν κρούων καὶ ζητῶν εἰσελθεῖν καὶ ἀναπαῆναι ἐν ἡμῖν. Διὰ τοῦτο γὰρ καὶ πολλὰ παθεῖν ὑπέμεινε δοὺς τὸ ἑαυτοῦ σῶμα εἰς θάνατον καὶ ἀγοράσας ἡμᾶς ἐκ τῆς δουλείας τοῦ σκότους, ἵνα ἐν ἑκάστῃ ψυχῇ εἰσελθὼν «μονὴν[5]» ποιήσῃ καὶ ἀναπαῇ πολλὰ κεκοπιακὼς δι' αὐτήν. Τοῦτο ἐγένετο θέλημα τῆς εὐδοκίας αὐτοῦ, ἵνα ἔτι ὄντων ἡμῶν ἐν τῷ αἰῶνι τούτῳ ἐνοικήσῃ καὶ ἐμπεριπατήσῃ ἐν ἡμῖν[6] κατὰ τὴν ἐπαγγελίαν αὐτοῦ. Ἐκείνοις γὰρ τοῖς ἐξ ἀριστερῶν ἐν τῇ κρίσει ὑπὸ τοῦ Κυρίου πεμπομένοις εἰς γέενναν μετὰ τοῦ διαβόλου τοῦτό φησιν· «ξένος ἤμην καὶ οὐκ ἐδέξασθέ με, γυμνὸς καὶ οὐ περιεβάλετέ με, ἠσθένησα καὶ οὐκ ἐπεσκέψασθέ με»[7], «ἐπείνων καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν, ἐδίψων καὶ οὐκ ἐποτίσατέ με»[8], «ἐν φυλακῇ ἤμην καὶ οὐκ ἤλθατε πρός με»[9]. Τοῦτο μὲν εἰς τὸ προφανὲς περὶ τῶν εὐποιιῶν νοεῖται εἰς ἑαυτὸν τοῦ Κυρίου ὑποδεχομένου τὴν εἰς τοὺς δούλους αὐτοῦ διακονίαν, τὸ δ' ἀληθέστερον καὶ βαθύτερον κατὰ τὸν ἔσω ἄνθρωπον ἑκάστου νοεῖται· ἡ γὰρ ἀληθὴς τροφὴ αὐτοῦ καὶ ἡ πόσις καὶ τὸ ἀμφίον καὶ ἡ στέγη καὶ ἡ ἀνάπαυσις αἱ ψυχαὶ ἡμῶν εἰσιν, ἵνα **85** δεξαμένη ἡ ψυχὴ τὸν Κύριον ἐν ἑαυτῇ καὶ κοινωνήσασα τῷ Πνεύματι αὐτοῦ γένηται μετ' αὐτοῦ εἰς «ἓν πνεῦμα»[10], καὶ ἀνακαινισμὸς καὶ ἀλλοίωσις τῆς καρδίας γένηται καὶ παθῶν κατάργησις καὶ σβέσις, ἐνέργεια δὲ Πνεύματος Ἁγίου καὶ ἀρετῶν ἔργα ἐν ἡμῖν εὑρεθῇ. Αὕτη ἐστὶν ἡ ἀληθὴς τοῦ Κυρίου βρῶσις καὶ πόσις. Πεινᾷ οὖν ὁ Κύριος καὶ διψᾷ τὰς ψυχὰς ἡμῶν καὶ ὥσπερ ξένος καὶ ἀσθενής ἐστιν ἐν ἡμῖν μηδέπω ἀναπαυσάμενος μηδὲ «μονὴν»[11] ἔχων ἐν ταῖς ψυχαῖς ἡμῶν. Ἀεὶ τοίνυν κρούει βουλόμενος εἰσελθεῖν πρὸς ἡμᾶς καὶ ἀναπαῆναι καὶ πᾶσαν πρόνοιαν ἡμῶν ποιεῖται ταύτης ἕνεκα τῆς ὑποθέσεως.

Ε'. Δεξώμεθα τοίνυν αὐτὸν ἐν πίστει καὶ ἀγάπῃ πολλῇ καὶ εἰσαγάγωμεν αὐτὸν ἔνδον ἡμῶν καὶ ξενίσωμεν καὶ θρέψωμεν αὐτὸν καὶ ποτίσωμεν καὶ ἀμφιάσωμεν αὐτὰς τὰς προαιρέσεις ἡμῶν ἐξ ὅλου αὐτῷ

1. Πρβλ. Ἑβρ. 9,12. 2. Πρβλ. Ἰω. 14,23. 3. Πρβλ. Λουκ. 7,44. 4. Ἀποκ. 3,20. 5. Πρβλ. Ἰω. 14,23. 6. Πρβλ. Β' Κορ. 6,16. Λευϊτ. 26,12. 7. Ματθ. 25,43. 8. Ἔνθ' ἀν. 42. 9. Ἔνθ' ἀν. 43. 10. Πρβλ. Α' Κορ. 6,17. 11. Πρβλ. Ἰω. 14,23.

ἐκδότους ἀποδόντες καὶ τῷ θελήματι τοῦ Πνεύματος αὐτοῦ ἐξακολουθοῦντες, μᾶλλον δὲ τραφῶμεν καὶ ποτισθῶμεν τὸ Πνεῦμα αὐτοῦ καὶ ἀμφιασθῶμεν αὐτὸν τὸν Κύριον, αὐτὸς γάρ ἐστιν ἡ τροφὴ καὶ ἡ πόσις καὶ τὸ ἀμφίον ἡμῶν καὶ ὁ θησαυρὸς καὶ ἡ κληρονομία καὶ ἡ κτῆσις ἡμῶν καὶ ἡ ἀνάπαυσις καὶ ὁ οἶκος ἡμῶν καὶ τὸ πᾶν ἡ ζωὴ ἡ αἰώνιος αὐτὸς ἡμῶν ἐστιν, καὶ πᾶσα ψυχὴ ἡ μὴ δεξαμένη αὐτὸν ἔνδον νῦν καὶ ἀναπαύσασα διὰ τῶν τῆς ἀρετῆς καρπῶν, μᾶλλον δὲ ἀναπαεῖσα καὶ ζήσασα ζωὴν Πνεύματος, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μετὰ τῶν ἁγίων κληρονομίαν οὐκ ἔχει καὶ εἰς τὴν ἐπουράνιον πόλιν τῶν «πρωτοτόκων»[1] εἰσελθεῖν οὐ δύναται. Εἰ γὰρ ἐν τῇ συκῇ ἐλθὼν ὁ Κύριος τραφῆναι καὶ μὴ εὑρὼν καρπὸν ἐν αὐτῇ τιμωρίαν αὐτῇ κατεδίκασε καὶ παραχρῆμα ἐξηράνθη («μηκέτι» γάρ φησιν «ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα»[2]), πόσῳ μᾶλλον ψυχῆς, ἧς μὴ εὑρίσκεται καρπὸς προαιρέσεως καὶ τρόποι εὐθύτητος πρὸς βρῶσιν τοῦ Κυρίου, τί πάθη ἢ ποίαν τιμωρίαν ὑποστῇ εἰπεῖν οὐκ ἔστιν· αἰώνιος γάρ ἐστιν, ὥς φησιν ὁ ἀπόστολος· «εἰ γὰρ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα πάράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας»[3], καρπὸν τοίνυν ἀγαθὸν παρ᾽ ἡμῶν ζητεῖ ὁ Κύριος τὴν ἀγαθὴν ἡμῶν προαίρεσιν καὶ ὅλον τὸ θέλημα ἡμῶν τὸ ἐξ ὅλης ψυχῆς αὐτὸν ἀγαπῆσαι, ἵνα λαβὼν ὥσπερ **86** καλὸν βρῶμα τὰς ἀρετὰς τῶν ψυχῶν ἡμῶν καρποὺς ἐν ἡμῖν ἀτρέπτους καὶ ἀληθινοὺς ποιήσῃ φέρειν τοῦ Πνεύματος θεϊκοὺς καὶ ζωῆς αἰωνίου μεστούς. Ὥσπερ γὰρ «οὐκ ἦν» ἐκεῖ «καιρὸς σύκων»[4] καὶ ἐζητήθη καρπὸς ἐν αὐτῇ, οὕτω καὶ ἐνταῦθα πρὸ τῆς τοῦ Πνεύματος κοινωνίας ἔρχεται ὁ Κύριος ζητῶν καρπὸν ἀγαθῆς προαιρέσεως παρὰ τῆς ψυχῆς. Ἐκεῖ μὲν γὰρ εἰς τὸ προφανὲς ἐν τῷ Ἰσραὴλ νοεῖται, ὅτι «καρπὸν ἄξιον»[5] τῷ Κυρίῳ οὐκ ἔδωκαν μὴ πιστεύσαντες αὐτῷ. Ἐν ἑκάστῃ δὲ ψυχῇ τοῦτο σημαίνει, ὅτι πρὸ τῆς ἐνεργείας τῆς χάριτος καὶ πρὸ τοῦ τοὺς καρποὺς «τοῦ Πνεύματος»[6] φέρειν τὴν ψυχὴν ζητεῖ ὁ Κύριος καρπόν τινα ἴδιον αὐτῆς τῆς ψυχῆς, αὐτὸ τὸ θέλημα καὶ τὴν προαίρεσιν καὶ πίστιν καὶ ἀγάπην ὅλην αὐτῷ ἀποδοῦναι καὶ ὅση δύναμίς ἐστιν ἀγαθῶν ἔργων ἐπιτηδειότητα, ἤτοι ἔνδοθεν ἢ ἔξωθεν. Ταῦτα παρ᾽ ἡμῶν ὁ Κύριος ἐπιζητεῖ καὶ τὴν πρὸς αὐτὸν ἀδιάλειπτον ζήτησιν καὶ ὅταν ἴδῃ τὴν τοιαύτην τῆς ψυχῆς ἀγαθὴν προαίρεσιν καὶ ὀρθὴν πρὸς Κύριον ζήτησιν, τότε δίδωσιν αὐτῇ τὴν χάριν ἐρχόμενος καὶ κατοικῶν ἐν ἡμῖν καὶ τότε καρποὺς «τοῦ Πνεύματος»[7] φέρειν τὴν ψυχὴν καταξιοῖ εἰς καιρὸν σύκων ὥριμον γενομένην. Ἐν ἑκάστῃ γὰρ ψυχῇ περιέρχεται ὁ Κύριος ζητῶν καρπὸν τοῦ εἰσελθεῖν καὶ ἀναπαῆναι ἐν αὐτῇ, ὑπὲρ πάντων γὰρ ἀπέθανεν καὶ πᾶν γένος Ἀδὰμ ἠγόρασεν

1. Πρβλ. Ἑβρ. 12,22. 23. 2. Ματθ. 21,19. 3. Ἑβρ. 2,2-3.
4. Πρβλ. Μαρκ. 11,13. 5. Πρβλ. Ματθ. 3,8. 6. Πρβλ. Γαλ. 5,22.
7. Ἔνθ᾽ ἀνωτ.

τῷ ἰδίῳ θανάτῳ. Πᾶσα οὖν ψυχὴ χρεωστεῖ ἀποθανεῖν ἑαυτῇ καὶ αὐτῷ ζῆσαι καὶ δέξασθαι αὐτὸν καὶ καταρτίσαι καὶ ἑτοιμάσαι οἶκον ἑαυτὴν καὶ τὸ σῶμα αὐτῆς τῷ Κυρίῳ, ἵνα εἰσελθὼν καὶ ἀνάπαυσιν εὑρὼν ἐν τοῖς ἀγαθοῖς τῆς προαιρέσεως ἡμῶν τρόποις καὶ τραφεὶς καὶ ποτισθεὶς καὶ ἀμφιασθεὶς καὶ ἀναπαεὶς ἐν ταῖς ἀρεταῖς τῆς ψυχῆς ἡμῶν ἐρῇ ἡμῖν τότε· «δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα καὶ ἐποτίσατέ με»[1] καὶ τὰ ἑξῆς.

Ϛ'. Ἔχοντες τοίνυν τοιαύτην προσδοκίαν καὶ τοιαύτην ἐλπίδα τοῦ εἰσελθεῖν καὶ ἀναπαῆναι τὸν Κύριον εἰς τὰς ψυχὰς ἡμῶν, μᾶλλον δὲ ἀναπαῆναι τὰς ψυχὰς ἡμῶν ἐν τῷ Κυρίῳ, πᾶν ὃ βλέπεις ἐν τῷ κόσμῳ
87 τούτῳ γινόμενον νοερῷ ὀφθαλμῷ καὶ ἀγαθῇ προαιρέσει εἰς τὴν πνευματικὴν ὠφέλειαν μεταβάλλειν ὀφείλεις. Οἷον ἐὰν ἴδῃς πλοῦτον ἐπίγειον, σὺ τὸν πνευματικὸν πλοῦτον ἐννοῶν ἐπιθύμει. Ἐὰν ἴδῃς χαρὰν ἐν κόσμῳ καὶ ἑορτὰς γινομένας, εἰπὲ πρὸς ἑαυτόν· πότε καταξιωθῇ ἡ ψυχή μου ἑορτάσαι τὴν πνευματικὴν τῆς χάριτος ἑορτὴν καὶ μετὰ ἁγίων ἀγγέλων καὶ μετὰ οὐρανίων δυνάμεων τὸν ἔσω μου ἄνθρωπον ἐγκαταλλαγῆναι; Καὶ πάντα τὰ τούτῳ τῷ τρόπῳ ἐχόμενα προσέχων τοῖς φαινομένοις σὺ τὴν τῶν ἀφθάρτων καὶ ἀοράτων ἐπιθυμίαν λάμβανε, ἵνα καὶ ἀπ' αὐτῶν τῶν ὁρωμένων οὐ βλάβος ἀλλὰ μᾶλλον ὠφέλειαν καρπώσῃ, ἐὰν ἀοράτῳ καὶ νοερῷ ὀφθαλμῷ τὴν διάνοιαν εὐθύνῃς, ἐκ τῶν ὁρωμένων πραγμάτων τὴν τῶν ἐπουρανίων ἀγαθῶν κατανόησιν λαμβάνων. [Σπουδάσωμεν τοίνυν ἐν πᾶσιν εὐαρεστοῦντες τῷ Κυρίῳ καὶ τὴν προσδοκίαν τῆς χάριτος ἐν πίστει ἀδιαλείπτῳ ἔχοντες, ἐν ἀγαθοῖς τρόποις ἀναστρεφόμενοι ἐξ ὅλης καρδίας πιστεῦσαι ταῖς ἀνεκδιηγήτοις αὐτοῦ ἐπαγγελίαις (ὅτι ἀληθής ἐστιν «ὁ ἐπαγγειλάμενος»[2]) καὶ ἀγαπῆσαι αὐτὸν καὶ σπουδάσαι παντοίως ἐν πάσῃ ἀρετῇ καὶ αἰτήσει ἐπιμόνως καὶ ἐνδελεχῶς δέξασθαι τὴν ἐπαγγελίαν τοῦ Πνεύματος αὐτοῦ, ὁλοκλήρως καὶ τελείως, ἵνα ζωοποιηθῶσιν αἱ ψυχαὶ ἡμῶν ὡς ἔτι ἐν σαρκί ἐσμεν. Ἐὰν γὰρ μὴ ἐν τῷ κόσμῳ τούτῳ ἡ ψυχὴ δέξηται τὸν ἁγιασμὸν τοῦ Πνεύματος διὰ πολλῆς πίστεως καὶ δεήσεως καὶ κοινωνὸς θείας φύσεως γένηται ἀνακερασθεῖσα τῇ χάριτι, δι' ἧς πᾶσαν ἐντολὴν ἐπιτελεῖν δυνήσεται, ἀποίητός ἐστι τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ὅπερ γάρ τις ἐντεῦθεν ἐκτήσατο ἀγαθόν, αὐτὸ «ἐν ἐκείνῃ τῇ ἡμέρᾳ»[3] ἔσται αὐτῷ ζωή]*.

Ζ'. Σπουδάσωμεν τοίνυν ἐν ἀδιστάκτῳ πίστει δεόμενοι τοῦ Κυρίου τυχεῖν τῆς ἐπαγγελίας «τοῦ Πνεύματος»[4], ὅπερ ἐστὶ ζωοποίησις ψυχῆς. Εἰ γὰρ ὁ προσαίτης οὗτος διὰ τὸν σωματικὸν ἄρτον ἀναιδεύεται κρούων τὴν θύραν καὶ αἰτῶν καὶ ἐὰν μὴ λάβῃ ἐνδότερον εἰσέρχεται καὶ ἀναιδεστέρως αἰτεῖ ἄρτον ἢ ἔνδυμα ἢ ὑπόδημα εἰς ἀνάπαυσιν τοῦ σώματος

* Πρβλ. Μακαρίου, Ὁμιλία ΜΔ',9 ἑξ.
1. Ματ. 25,34-35. 2. Πρβλ. Ἑβρ. 10,23. 3. Πρβλ. Ματθ. 7,22.
4. Πρβλ. Πράξ. 2,33. Γαλ. 3,14.

αὐτοῦ καὶ ἕως οὗ λάβῃ οὐκ ἀφίσταται κἂν διώκωσιν αὐτόν, πόσῳ μᾶλλον ἡμεῖς, οἱ τὸν ἀληθινὸν καὶ ἐπουράνιον ἄρτον ζητοῦντες λαβεῖν εἰς δυνάμωσιν ψυχῆς καὶ τὰ οὐράνια τοῦ φωτὸς **88** ἐνδύματα ἐνδύσασθαι ἐπιποθοῦντες καὶ τὰ νοερὰ ὑποδήματα τοῦ Πνεύματος ὑποδήσασθαι ἐπιθυμοῦντες εἰς ἀνάπαυσιν ἀθανάτου ψυχῆς. Πῶς ὀφείλομεν ἀπερικακήτως καὶ ἐνδελεχῶς μετὰ πίστεως καὶ ἀγάπης καὶ μακροθυμεῖν ἀεὶ καὶ κρούειν τὴν πνευματικὴν θύραν τοῦ Θεοῦ καὶ αἰτεῖν ἐν πάσῃ ὑπομονῇ ἀξιωθῆναι ἡμᾶς τῆς αἰωνίου ζωῆς, καθὼς καὶ ὁ Κύριος «παραβολὴν» ἔλεγε «πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι καὶ μὴ ἐκκακεῖν»[1] καὶ διεξελθὼν τὸν λόγον ἐπάγει λέγων· πόσῳ μᾶλλον ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος «ποιήσει τὴν ἐκδίκησιν» «τῶν βοώντων» πρὸς αὐτὸν «νυκτὸς καὶ ἡμέρας»[2], καὶ πάλιν περὶ τοῦ φίλου λέγων· κἂν «διὰ τὸ φίλον εἶναι «οὐ δώσει αὐτῷ», «διά γε τὴν ἀναίδειαν αὐτοῦ» ἀναστὰς «δώσει αὐτῷ ὅσων χρῄζει» καὶ ἐπιφέρει· «αἰτεῖτε καὶ δοθήσεται ὑμῖν· ζητεῖτε καὶ εὑρήσετε· κρούετε καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται»[3]. Καὶ διεξελθὼν ἐπάγει· «εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει Πνεῦμα Ἅγιον τοῖς αἰτοῦσιν αὐτόν»[4]. Διὰ τοῦτο πάντοτε αἰτεῖν ἀπερικακήτως καὶ ἐπιμόνως παραινεῖ ἡμῖν ὁ Κύριος καὶ ζητεῖν καὶ κρούειν πάντοτε· τοῖς γὰρ αἰτοῦσι καὶ ζητοῦσι καὶ κρούουσιν ἐπηγγείλατο δοῦναι, οὐ τοῖς οὐκ αἰτοῦσιν· αἰτούμενος γὰρ καὶ παρακαλούμενος καὶ ἀγαπώμενος θέλει δοῦναι ἡμῖν τὴν αἰώνιον ζωήν.

Η'. Προσέλθωμεν αὐτῷ τοίνυν, τῇ πνευματικῇ θύρᾳ, καὶ κρούσωμεν, ἵνα ἀνοίξῃ ἡμῖν, αἰτήσωμεν αὐτόν, τὸν ἄρτον τῆς ζωῆς, εἴπωμεν αὐτῷ· δός μοι, Κύριε, ἄρτον τῆς ζωῆς, ἵνα ζήσω, ὅτι λιμῷ κακίας δεινῶς συνεχόμενος ἀπόλλυμαι. Δός μοι ἀμφίον τοῦ φωτὸς τῆς σωτηρίας, ἵνα καλύψω τὴν ἀσχημοσύνην τῆς ψυχῆς μου, ὅτι γυμνὸς ὢν τῆς δυνάμεως τοῦ Πνεύματός σου αἰσχρῶς τοῖς πάθεσιν ἀσχημονῶ. Καὶ ἐὰν ἐρῇ σοι «εἶχες ἀμφίον, τί αὐτὸ πεποίηκας;» ἀποκρίθητι λέγων· «λῃσταῖς» περιέπεσα καὶ γυμνώσαντές με ἀφῆκαν «ἡμιθανῆ» καὶ «ἐκδύσαντες»[5] ἦραν **89** αὐτὸ ἀπ' ἐμοῦ. Δός μοι ὑποδήματα πνευματικά, ὅτι τοῖς νοεροῖς ποσὶν ἀκάνθαις περιπείρομαι καὶ τριβόλοις ἐν ἐρημίᾳ μου πελαζομένου περιπατῆσαι οὐ δύναμαι. Δός μοι βλέψιν καρδίας, ἵνα ἀναβλέψω, ἄνοιξον τοὺς ὀφθαλμοὺς τῆς καρδίας μου, ὅτι ἐτύφλωσάν με οἱ ἀόρατοι ἐχθροί μου καλύμματι σκότους καλύψαντες καὶ οὐ δύναμαι ἐνορᾶν σου τὸ οὐράνιον καὶ ἐπιθυμητὸν πρόσωπον. Δός μοι ἀκοὴν πνευματικήν, ὅτι κεκώφωμαι τῇ διανοίᾳ καὶ ἀκούειν σου οὐ δύναμαι τῆς ἡδείας καὶ χρηστῆς ὁμιλίας. Δός μοι «ἔλαιον

---

1. Λουκ. 18, 1. 2. Λουκ. 18,7. 3. Λουκ. 11,8-10. 4. Λουκ. 11,13. Ματθ. 7,11. 5. Πρβλ. Λουκ. 10,30.

ἀγαλλιάσεως»[1] καὶ οἶνον εὐφροσύνης πνευματικῆς, ἵνα ἐπιθῶ εἰς τὰ τραύματά μου καὶ ἀναψύξαι δυνηθῶ. Ἴασαί με καὶ ὑγιῆ με ποίησον, ὅτι «ἡμιθανῆ»[2] με ποιήσαντες οἱ ἐχθροί μου καὶ χαλεποὶ λησταὶ ἀφῆκάν με κατακεῖσθαι. Μακαρία ἡ ψυχὴ ἡ ἀπερικακήτως ἀεὶ αἰτοῦσα καὶ παραμόνως καὶ πιστῶς ὡς πτωχὴ καὶ τετραυματισμένη, ὅτι λήψεται τὰ αἰτήματα αὐτῆς καὶ τεύξεται τῆς αἰωνίου ἰάσεως καὶ θεραπείας καὶ ἐκδικηθήσεται ἐκ τῶν ἐχθρῶν αὐτῆς τῶν παθῶν τῆς «ἁμαρτίας»[3]· «πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος»[4] Θεός, ὃς καὶ παράσχοι τὰ αἰτήματα ἡμῶν. Δόξα τῇ ἀγαθότητι αὐτοῦ.

Θ'. Ὥσπερ γὰρ ἐν πόλει ἄρχων προέρχεται πεπικραμένος κατὰ τῶν κακοποιῶν καὶ ἐπιβούλων, καὶ ἐὰν προσέλθῃ αὐτῷ τις συληθεὶς ὑπὸ ληστῶν ἢ κλεπτῶν καὶ εἴπῃ· δέομαι τῆς σῆς βοηθείας, ὁ ἐχθρός μου ἥρπασέ με καὶ ἐσύλησε καὶ ἐτραυμάτισέ με καὶ τάδε καὶ τάδε μοι πέπραχε, καὶ καθεζόμενος ἐπὶ τοῦ βήματος ὁ ἄρχων εὐθέως ἀναζητεῖ τὸν ἐχθρὸν καὶ κακοποιὸν καὶ εὑρὼν βασάνοις καὶ τιμωρίαις αἰκίζει — οὕτω καὶ δύνανται οἱ ἄνθρωποι βοηθείας τῆς ἄνωθεν καὶ ἐκδικήσεως τυχεῖν προσελθόντες καὶ ἐντυχόντες τῷ Κυρίῳ καὶ παρακαλοῦντες παραμόνως. Αὐτὸς γὰρ δύναται καὶ τὴν νοερὰν γῆν τῆς ψυχῆς τὴν ὑπὸ τὴν θάλασσαν τῶν παθῶν τῆς πικρίας τοῦ σκότους τῶν πονηρῶν δυνάμεων τυγχάνουσαν κουφίσαι καὶ ἄνωθεν τῆς θαλάσσης ποιῆσαι εἶναι, τῆς ψυχῆς μέντοι πιστευούσης ταῖς ἐπαγγελίαις αὐτοῦ καὶ ἀγαπώσης καὶ ἐπικαλουμένης αὐτὸν ἐν ἀληθείᾳ καὶ προσδοκώσης ἀεὶ τὴν **90** διὰ τοῦ Πνεύματος λύτρωσιν τῶν παθῶν παντελῆ ἐν αὐτῇ γενέσθαι διὰ τὴν ἄπειρον ἀγάπην αὐτοῦ.

Δόξα τῇ μεγαλειότητι αὐτοῦ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΖ' (=ΟΔ')

91 Α'. Οἱ «ἐπὶ τὴν ἄμμον»[5] τὴν οἰκοδομὴν τῆς ἑαυτῶν καρδίας ποιούμενοι καὶ οἱ ἐπὶ τὴν πετρώδη[6] τῆς σκληρᾶς καρδίας γῆν τὸν σπόρον τοῦ λόγου δεξάμενοι ἀληθινὸν «θεμέλιον»[7] ἐν ἑαυτοῖς οὐ κέκτηνται οὔτε πειρασμοὺς θλίψεων τοῦ πονηροῦ ὑπομένειν δύνανται, ἀλλ' ἀνυπομονήτως πάσας τὰς ἐπερχομένας αὐτοῖς θλίψεις φέρουσι, μὴ δυνάμενοι ὑποφέρειν τὰς ἐπαναστάσεις καὶ τοὺς πειρασμοὺς τῶν πονηρῶν πνευμάτων τοὺς διὰ τὴν ζήτησιν τῆς βασιλείας αὐτοῖς ἐπερχομένους. Αἱ γὰρ τῶν τοιούτων προαιρέσεις τοιαῦταί εἰσιν·
ἐὰν μή (φησιν) εὐθέως προσλάβω τὴν χάριν τοῦ Πνεύματος,
ἀπέρχομαι, ἀδυνάτως ἔχω παραμένειν,
92 οὐ δύναμαι μακροθυμῆσαι χρόνοις πολλοῖς·

---

1. Πρβλ. Ψαλ. 44,8. 103,15. 2. Πρβλ. Λουκ. 10,30. 3. Πρβλ. Ρωμ. 1,26. 4. Ἑβρ. 10,23. 5. Πρβλ. Ματθ. 7,26. 6. Πρβλ. Ματθ. 13,5. 7. Πρβλ. Λουκ. 6,48.

εἰ δὲ λάβω, τότε παραμενῶ. Οὗτος οὐδὲ λαβὼν παραμένει,
ὅτι τὰς θλίψεις γενναίως φέρειν οὐ δύναται,
μὴ προευτρεπίσας ἑαυτὸν εἰς αὐτὸ τοῦτο.
Μὴ γὰρ μετὰ τὴν μετάληψιν τῆ χάριτος οὐκέτι πόλεμος, οὐκέτι θλῖψις, οὐκέτι κλύδωνες τοῦ πονηροῦ ἐπεγείρονται; Τότε πλείονες δοκιμασίαι, τότε μεγάλοι ἱδρῶτες, τότε μεγάλαι ἐπαναστάσεις. Κατὰ γὰρ τὴν τῆς ψυχῆς ἐν χάριτι προκοπὴν τοσοῦτον καὶ οἱ πειρασμοὶ τοῦ πονηροῦ ἐπανίστανται, καὶ τοσοῦτον ἐπαφίεται ἡ τῆς κακίας δύναμις πειράσαι τὴν ψυχήν, καθόσον δυνατῶς ἔχει τοῦ ὑπομεῖναι. Οἱ γὰρ προειρημένοι ὡς ἐπὶ μισθῷ δουλεύειν προσῆλθον τῷ Κυρίῳ, ὡς ἀλλότριοι καὶ ξένοι, καὶ οὐχ ὡς πιστοὶ καὶ οἰκεῖοι δοῦλοι εὐαρεστεῖν καὶ πονεῖν ἐν τῇ δεσποτικῇ οἰκίᾳ προήρηνται. Οὗτοι καὶ μήπω ἐργασάμενοι μισθὸν ἀπαιτοῦσιν, δέον ὡς χρεῶσται καὶ εὐνόητοι καὶ πιστοὶ δοῦλοι τοῦ Κυρίου αὐτῶν καὶ ἑκόντας καὶ ἄκοντας ἑαυτοὺς ἄγχειν εἰς τὴν ἀγαθὴν καὶ καλὴν τῶν ἐντολῶν τοῦ Χριστοῦ δουλείαν καὶ πᾶσαν εὐαρέστησιν τοῦ Θεοῦ τὴν ἀδιάλειπτον εἴτε λαμβάνοντας ἤδη τι δόμα παρ' αὐτοῦ, εἴτε μηδέπω λαμβάνοντας, καὶ δέον κρίνειν, ὅτι τῷ δεσπότῃ μου κεχρεώστηται παρ' ἐμοῦ πᾶσα εὔνοια τοῦ δουλεύειν
93 καὶ εὐαρεστεῖν πάντοτε, καὶ εἴτε δίδωσί μοι τὴν χάριν τοῦ Πνεύματος αὐτοῦ, εἴτε οὐδέπω δίδωσιν, οὐκ ἀφίημί μου τὸν δρόμον καὶ τὴν διακονίαν ὅσον τὸ ἐν ἐμοὶ δυνατὸν καὶ τῆς ἐλπίδος τοῦ Κυρίου μου οὐκ ἐξίσταμαι (ἀληθὴς γάρ ἐστιν «ὁ ἐπαγγειλάμενος»[1]) καὶ πάντοτε αὐτῷ εὐχαριστεῖν ὑπὲρ ὧν ἤδη κεχάρισται, αὐτοῦ εἶναί με καὶ ὑπ' αὐτοῦ οἰκονομεῖσθαι καὶ πάσης προνοίας αὐτοῦ καταξιοῦσθαι καὶ εἰς ταύτην τὴν διαγωγὴν καὶ τὸν βίον τοῦτον τῆς ἀσκήσεως ἐλθεῖν με δι' αὐτοῦ. Δυνατός ἐστι καὶ τῆς χάριτος αὐτοῦ πληρῶσαί με («πιστὸς γάρ» ἐστι καὶ ἀληθής) καὶ ἃ ἐπήγγελται παρέχει ἐμοῦ εἰς τέλος μακροθυμοῦντος ἐν πίστει καὶ ἐν πάσαις ἀρεταῖς ὅση δύναμις ἀναστρεφομένου.
Ἔτι δὲ καὶ τοῦτο λογισάμενος· τίς γὰρ
εἰμι ἐγὼ καὶ ποίας ἀξίας τυγχάνω,
ὅτι κἂν τὸ ὄνομα αὐτοῦ ἐπικληθῇ ἐπ' ἐμοί,
ἀχρείου μου κατὰ πάντα τυγχάνοντος; Παραμείνας οὖν καὶ εὐαρεστήσας προθύμως εἰς τέλος ἐν πάσῃ σπουδῇ καὶ δουλεύσας αὐτῷ ἐν πάσαις ἀρεταῖς χρηστὸς ὢν καὶ δίκαιος ὁτεδήποτε ποιεῖ τὰς ἐπαγγελίας αὐτοῦ, ὅτι ἀψευδὴς τυγχάνει·
εἰ δὲ καὶ γεέννῃ βούλεταί με παραδοῦναι διὰ τὰς ἁμαρτίας μου
τοῦ κολασθῆναι, ἐγὼ οὐκ ἀφίημι αὐτὸν
καὶ τῆς πρὸς αὐτὸν ἀγάπης οὐκ ἐξίσταμαι,
94 ὡς καὶ ὁ μακάριος Ἰὼβ φησιν· καὶ ἐὰν ἀποκτενῇς με,
οὐκ ἀφίημί σε καὶ τῆς ἀκακίας μου οὐ μὴ ἐκσταίην[2]. Ὁ τοιοῦτος

1. Πρβλ. Ἑβρ. 10,23. 2. Πρβλ. Ἰὼβ 27,5. Γεν. 32,27.

ὡς δοῦλος πιστὸς καὶ οἰκονόμος ἀγαθὸς καὶ μόνῳ τῷ ἑαυτοῦ δεσπότῃ εὔνοιαν ἐνδειξάμενος, πολλὰ πονέσας καὶ θλιβεὶς καὶ τῆς ἀγαθῆς διακονίας ἐν πάσαις ἀρεταῖς μηδὲν ἐλλείψας, δίκαιος καὶ ὅσιος ὢν κληρονόμος τῆς ζωῆς γίνεται, ὅτι οὐχ ὡς ἐπὶ μισθῷ προσῆλθε δουλεύειν καὶ εὐαρεστεῖν, ἀλλ' ἑαυτὸν εἰς τέλος ἐξέδωκε προθύμως εὐδοκιμῆσαι καὶ εὐαρεστῆσαι τῷ ἑαυτοῦ δεσπότῃ, καὶ διὰ τοῦτο τῆς υἱοθεσίας τοῦ Πνεύματος τυχεῖν καταξιοῦται καὶ κληρονόμος τῆς βασιλείας γίνεται. «Ὁ ποιμὴν» (γάρ φησιν) «ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων»[1] (τοῦτ' ἔστιν ὁ ὑπὲρ τῆς βασιλείας ἀγωνιζόμενος καὶ τὴν ἑαυτοῦ ψυχὴν περιποιούμενος), ἕως θανάτου ἑαυτὸν ἐκδίδωσιν, «ὁ δὲ μισθωτὸς καὶ μὴ ὢν ποιμήν», ἐπὰν ἴδῃ «τὸν λύκον ἐρχόμενον» (τοῦτ' ἔστι θλίψεις καὶ πειρασμούς), ἀφίσταται «καὶ φεύγει»[2] τῆς τοῦ Θεοῦ λατρείας καὶ παραφυλακῆς τῆς καρδίας αὐτοῦ περὶ τὰς ἁγίας ἐντολάς.

Β'. Σπουδάσωμεν τοίνυν ἐν ἐλπίδι καὶ πίστει καὶ πάσῃ ὑπομονῇ τελείους ἑαυτοὺς τῷ Κυρίῳ ἀποδοῦναι ἐν πάσαις ἐντολαῖς ἐνεχόμενοι καὶ παντὶ τρόπῳ ἀγαθῷ καταρτιζόμενοι, καὶ αὐτὸς τὰς ἰδίας ἐπαγγελίας τάχιον ποιεῖ μεθ' ἡμῶν (ἀψευδὴς γάρ ἐστιν), μόνον ἡμεῖς ὡς πιστοὶ καὶ οἰκεῖοι δοῦλοι τὴν ἐξ αὐτεξουσίου προαιρέσεως πᾶσαν εὐαρέστησιν ἐν σπουδῇ ἀδιαλείπτῳ ἐπιτελέσωμεν καὶ οὕτω τῆς χάριτος καταξιωθέντες καὶ θεμέλιον ἀληθῆ ἐν τῇ ἑαυτῶν καρδίᾳ τὴν δύναμιν τοῦ Πνεύματος κτησάμενοι πάντας πειρασμοὺς καὶ θλίψεις ὑπομένειν δυνησόμεθα, καὶ οὕτως ἄμωμοι διὰ τοῦ Πνεύματος καταρτισθέντες τῶν αἰωνίων ἀγαθῶν ἄξιοι γενησόμεθα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΗ' (=ΟΕ')

95 Α'. Ὁ τὸν οἰκοδεσπότην ἰδὼν καὶ εὑρὼν πάντα τὰ ἐν τῷ οἴκῳ αὐτοῦ εἶδε καὶ εὗρεν. Τὸν αὐτὸν τρόπον καὶ ὁ τὸν Κύριον ζητῶν καὶ εὑρίσκων πάντα τὰ ἐπουράνια ἀγαθὰ εὗρεν· ἐν αὐτῷ γὰρ «εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως» οἱ «ἀπόκρυφοι»[3]. Τί οὖν ἐροῦμεν· ποῦ ἐστιν ὁ Θεὸς ὁ μὴ ὁρώμενος; Ἆρα ἐπὶ γῆς; Ἆρα ἐν οὐρανοῖς; Ἆρα ὑπὸ τὴν θάλασσαν; Ἆρα ὑπὸ τὴν γῆν; Τίς δύναται αὐτὸν κρατῆσαι ἢ ἰδεῖν; Οὐδὲ ἓν τῶν κτισμάτων. Ψυχῇ πιστῇ καὶ ἀγαπώσῃ αὐτὸν κρατητὸν ἑαυτὸν παρέσχεν, «οὕτως ἠγάπησε»[4] τὸ κτίσμα τοῦτο τὴν ψυχήν. Ὡσαύτως πάλιν ψυχὴν τίς δύναται ἰδεῖν ἢ κρατῆσαι; Ἢ ποία ἐστίν; Οὐ φαίνεται. Αὐτὸς ὁ ἄνθρωπος ἑαυτὸν οὐ γινώσκει, ἕως οὗ ὁ Κύριος αὐτῷ ἀποκαλύψει. Ποῦ γὰρ οὐκ ἔστι τοῖς λογισμοῖς; Καθώς φησιν ἡ Σοφία· «ἄβυσσον καὶ καρδίαν τίς ἐξερευνήσει»[5];

---

1. Ἰω. 10,11. 2. Πρβλ. Ἰω. 10,12. 3. Κολ. 2,3. 4. Πρβλ. Ἰω. 3,16. 5. Πρβλ. Σ. Σειρ. 1,3. 42,18.

Καὶ πάλιν ὁ ψαλμῳδὸς φησιν· «ἄβυσσος ἄβυσσον ἐπικαλεῖται»[1]. Μόνος οὖν ὁ Θεὸς συναγαγεῖν τοὺς λογισμοὺς αὐτῆς δύναται καὶ κρατῆσαι αὐτὴν εἰς τὸ ἴδιον θέλημα. Ψυχὴ οὖν Θεὸν κρατεῖ (ὡς προείρηται) τῇ ἀγάπῃ αὐτῆς· ἑαυτὸν γὰρ κρατητὸν ψυχῇ πιστῇ ὁ Κύριος θελήσας ἐποίησε καὶ Θεὸς ψυχὴν κρατεῖ εἰς ἑαυτὸν καὶ τοὺς λογισμοὺς πάντας εὐθύνει καὶ ὁδηγεῖ καὶ χωρίζει **96** τὸ μεμειγμένον ἀλλότριον αὐτῆς ἐγκόσμιον πνεῦμα. Ἀπὸ γὰρ τῆς τοῦ Ἀδὰμ παραβάσεως πᾶν γένος ἀνθρώπων εἰς τὴν φύσιν αὐτῶν (τὴν ψυχὴν καὶ τὸ σῶμα) ἐδέξαντο φάρμακον πικρὸν θανάτου, σκότους, ἁμαρτίας, ἐξαμαρτάνειν προτρεπόμενον, καὶ τοῦτο οὐδεὶς δύναται θεραπεῦσαι καὶ ἐξελέσθαι καὶ ἰάσασθαι τὴν ἀνθρωπότητα καὶ φονεῦσαι τὸν φονέα ἡμῶν ἢ μόνον τὸ τοῦ Θεοῦ Πνεῦμα· ἰδοὺ (γάρ φησιν) «ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[2]. Ἐπειδὴ οὖν οἶδε τὸ κακὸν τὸ συνὸν τῷ ἀνθρώπῳ, τίς δύναται μόνος φονεῦσαι αὐτό, χαυνοῖ καὶ ἐξυδαροῖ τὸν νοῦν ἐπὶ κοσμικά τινα πράγματα προτρεπόμενον ἢ καί τινα ἕτερα εὔλογα, μόνον ἵνα ἐκκλίνῃ αὐτὸν ἐξ ἐκείνης τῆς ζητήσεως καὶ ἐξ ἐκείνου τοῦ πόνου. Οἶδε γὰρ ὅτι, ἐὰν ἐκεῖνο ζητῇ, ὃ φονεύσει αὐτὸν ἀπολεῖται ταχέως. Λοιπὸν οὖν παντὶ τρόπῳ ἀγωνίζεται ἐξυδαροῦν τὴν προαίρεσιν καὶ συμβουλίας εὐλογοφανεῖς ὑποσπείρειν, μόνον ἵνα ἐκεῖθεν ἀποσπάσῃ καὶ ἐκκλίνῃ καὶ μετεωρίσῃ τοῦ μὴ ζητεῖν τὸ φονεῦον τὴν ἁμαρτίαν. Ἡμεῖς τοίνυν, ἀγαπητοί, πάντοτε τὸν σκοπὸν ἡμῶν καὶ τὸν ἀγῶνα καὶ τὸν πόνον ἐκεῖ ἔχωμεν μηδεμίαν ὥραν διδόντες ἑαυτοῖς ἄνεσιν καὶ μήτε ἐν μικρῷ μήτε ἐν μεγάλῳ πράγματι ὑπακούσωμεν ταῖς συμβουλίαις αὐτοῦ, ὅπως ἐκείνη ἡ πνευματικὴ καὶ ἐνυπόστατος ἐργασία γένηται ἐν ἡμῖν ἡ ἀποκτέννουσα τὴν ἐν ἡμῖν κακίαν. Λόγοι γὰρ μύριοι οὐδὲν ὠφελοῦσιν, ἐργασίας πνευματικῆς χρεία ἐνυποστάτου. Ἄλλος γάρ ἐστιν ὁ λόγον ἀκούων καὶ χαροποιούμενος καὶ ἄλλος ὁ ἐνέργειαν θείας δυνάμεως αἰσθανόμενος ἐν ἑαυτῷ, δι' οὗ ἀποκτέννεται ἡ ἁμαρτία. Ἄλλος οὗτος καὶ ἄλλος ἐκεῖνος. Κἀκεῖνο μὲν καλόν, ἀλλ' ὁ δυνάμεως θείας <ἐνέργειαν> αἰσθανόμενος οὗτος ἐγγίζει καὶ κοινωνεῖ φύσει θείᾳ κατὰ τὸ γεγραμμένον· ὅπως «γένησθε φύσεως θείας κοινωνοί»[3] καὶ «σπέρμα»[4] Θεοῦ ἔχων ἐν ἑαυτῷ «Πνεύματος Ἁγίου»[5] μέτοχος τυγχάνει, ὥσπερ υἱὸς ὢν ἤδη «τῆς ἀληθείας»[6].

Β'. Μόνος οὖν ὁ Θεὸς δύναται κρατῆσαι τὴν ψυχὴν καὶ συναγαγεῖν τοὺς λογισμοὺς αὐτῆς (καθὼς προλαβόντες ἀνωτέρω εἰρήκαμεν), ἄλλῳ δὲ **97** τοῦτο ποιῆσαι ἀδύνατον. Ποῦ οὖν ἐστιν ἡ ψυχή; Ἰδοὺ γὰρ ὅλη ἐν τῷ σώματί ἐστι καὶ ὅλη ἔξω τοῦ σώματός ἐστιν, νοεῖ τὰ μέλλοντα, περὶ τῶν ἐρχομένων διαλογίζεται. Ἐπὶ γῆς ἐστι τῷ σώματι καὶ τῇ διανοίᾳ ἐν οὐρανοῖς ἐστιν ἡ ἀξία καὶ πιστή, ὁμοίως καὶ ἡ τοῦ ἁμαρτωλοῦ ἐπὶ γῆς ἐστι τῷ σώματι καὶ ἔξω εἰς πορρωτέρας πατρίδας

---

1. Ψαλ. 41,8. 2. Ἰω. 1,29. 3. Β' Πέτρ. 1,4. 4. Πρβλ. Α' Ἰω. 3,9. 5. Πρβλ. Ἑβρ. 6,4. 6. Πρβλ. Α' Ἰω. 3,19.

κακὰ ἀποτελεῖ. Ἡ δὲ ἀξία ἐπὶ γῆς οὖσα τῷ σώματι «ἐν οὐρανοῖς»[1] πολιτεύεται τῷ φρονήματι, καὶ ὁ Κύριος ἐν οὐρανοῖς ὢν τὴν εἰκόνα αὐτοῦ ἐν τῷ σώματι αὐτῆς ἐνέθηκεν. Δόξα τῇ μεγαλωσύνῃ αὐτοῦ τοῦ «οὕτως»[2] ἀγαπήσαντος τὸ γένος τῶν ἀνθρώπων. Τίς γὰρ δύναται συνάξαι τὴν ὑδαρότητα τοῦ γάλακτος εἰς ἕνωσιν καὶ πῆξιν, εἰ μὴ τὸ ἐμβαλλόμενον ἡ πυτία; Οὕτω τίς δύναται καὶ ψυχὴν ἐσκορπισμένην τοῖς λογισμοῖς καὶ φύσει κτίσμα οὖσαν ἐλαφρῦναι καὶ εἰς οὐρανοὺς ἀναγαγεῖν καὶ εἰς σύμπηξιν καὶ στερεότητα καὶ ἕνωσιν τοὺς λογισμοὺς ἐνέγκαι, ἐὰν μὴ τὸ τοῦ Θεοῦ Πνεῦμα ὥσπερ πτερὰ γινόμενον κουφίσῃ τὴν ψυχὴν καὶ ὑπὲρ τὴν φύσιν ἐνέγκῃ καὶ συνάξῃ τοὺς λογισμοὺς εἰς ἕνα λογισμὸν ἔνθεον; «Ἐτυρώθη» (γάρ φησιν ὁ προφήτης) «ὡς γάλα ἡ καρδία αὐτῶν»[3]. Δύο τυρώσεις ἐνταῦθα νόει, ψυχὰς τυρουμένας εἰς τὸν Θεὸν καὶ πηγνυμένας εἰς τὴν χάριν καὶ εἰς τὸν ἄνω κόσμον, καὶ ψυχὰς τυρουμένας εἰς τὴν κακίαν καὶ πηγνυμένας εἰς τὸν αἰῶνα τοῦτον καὶ τὸ ὅλον τῆς κακίας γινομένας. Ὥσπερ γὰρ οὗτοι πήγνυνται καὶ στερεοῦνται ἐν τῇ κακίᾳ, οὕτω κἀκεῖνοι πήγνυνται καὶ στερεοῦνται ἐν τῷ Κυρίῳ. Ὥσπερ γὰρ τοῦ πετεινοῦ ἡ γῆ ὁ ἀήρ ἐστιν εἰς ὃν διαιτᾶται, οὕτω καὶ οἱ λογισμοὶ καὶ ὁ νοῦς τῶν ἁμαρτωλῶν· ἐν γῇ σκοτεινῇ καὶ γνοφερᾷ ἐνδιατρίβουσι μετὰ τῶν τῆς πονηρίας πνευμάτων ἐν λογισμοῖς κακοῖς πάντοτε τυγχάνοντες, κἀκεῖ περιπατοῦσι καὶ διαιτῶνται. Ὡσαύτως καὶ ὁ νοῦς καὶ οἱ λογισμοὶ τῶν δικαίων ἐν γῇ ζωῆς, ἐν γῇ φωτεινῇ τοῦ Πνεύματος ἐνδιατρίβουσι κἀκεῖ περιπατοῦσι κἀκεῖ ἀπὸ τοῦ νῦν διαιτῶνται ἐν ἀγαθοῖς λογισμοῖς καὶ οὐρανίοις πάντοτε τυγχάνοντες. Τοῦτο ἔλεγεν ὁ Κύριος· «καὶ μείζονα ἔργα ποιήσει» ὁ Υἱός, «ἵνα ὑμεῖς θαυμάσητε»[4], ἔργα ζωῆς ἀθάνατα καὶ μὴ παρερχόμενα τῇ ψυχῇ καὶ τῷ νῷ τῶν πιστῶν, ἔνθα ἐμ **98** περιπατοῦσι καὶ ἐρείδουσι τὰ ἴχνη τῶν λογισμῶν. «Γῆν καινὴν» φωτὸς καὶ «οὐρανὸν καινὸν»[5] Πνεύματος καὶ ἁπαξαπλῶς κόσμον καινὸν κατεσκεύασε (καὶ αἰώνιον βασιλείαν), εἰς ὃν εἰσήνεγκε τὰς αὐτὸν ἐκδεχομένας καὶ ἀγαπώσας ψυχὰς ἀπὸ γῆς θανάτου καὶ σκοτεινῆς πνευμάτων πονηρίας, ἔνθα οἱ λογισμοὶ αὐτῶν διέτριβον, εἰς γῆν ζωῆς καὶ φωτὸς πνευμάτων ἁγίων, εἰς ἣν ἐρείδει τὰ ἴχνη ὁ νοῦς καὶ οἱ λογισμοὶ περιπατοῦσιν εἰς ζωὴν αἰώνιον μετατιθέμενοι ἐκ θανάτου. Τοῦτο ἐπηγγείλατο ὁ Κύριος ποιεῖν «ἔργα μείζονα»[6] ἅπερ ἀκμὴν οὐκ ἦν, ἐπεὶ ὅσον ἐν τοῖς φαινομένοις πᾶσα κατασκευὴ ἐν κόσμῳ ἦν, τὰ ὄρη, δένδρα, νεφέλαι, οὐρανός, ἥλιος, ἄστρα, σελήνη, ἄνθρωποι, ζῷα, ὕδατα, θάλασσα, ποταμοί, καὶ πᾶσα ἡ διακόσμησις ἦν. Τὰ ἔργα οὖν τὰ καινὰ καὶ αἰώνια τὴν τῆς ψυχῆς μεταβολὴν καὶ ὑγείαν νόει καὶ ἴασιν αἰώνιον καὶ τῶν ἐκ Πνεύματος τεκταινομένων αἰωνίων κατα-

---

1. Πρβλ. Φιλιπ. 3,20. 2. Πρβλ. Ἰω. 3,16. 3. Ψαλ. 118,70. 4. Πρβλ. Ἰω. 5,20. 14,12. 5. Πρβλ. Ἀπ. 21,1. 6. Πρβλ. Ἰω. 5,20. 14,12.

σκευῶν, ἃ ἐδωρήσατο τῇ ἀξίᾳ καὶ πιστῇ ψυχῇ. Παρακαλέσωμεν οὖν τὸν Κύριον καὶ προσδοκήσωμεν αὐτὸν ἀδιστάκτῳ πίστει, ὅπως ἡ ἐνυπόστατος ἐργασία τοῦ Ἁγίου Πνεύματος γένηται ἐν ἡμῖν ἡ ἀποκτέννουσα τὴν ἁμαρτίαν, ἵνα ἐντεῦθεν καθαρισθέντες καὶ ἁγιασθέντες ἄξιοι τῆς ἐπουρανίου βασιλείας γενώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΘ′ (=ΟϚ′)

99 Α′. Μέγα γὰρ καὶ τίμιον κτίσμα παρὰ Θεῷ ἡ ψυχὴ τυγχάνει. Τοιούτῳ δέ τινι τρόπῳ τὴν κατασκευὴν τῆς λεπτότητος αὐτῆς παραπλησιάσωμεν, ὥσπερ ἐὰν ᾖ πόλις ἔχουσα πλατείας, βουλευτήρια, δημόσια, ῥύμας, ἀμφόδια, παλάτια καὶ ἕτερα πολλὰ κατασκευάσματα, καί εἰσι τόποι ἐπιτήδειοι πρὸς τὸ συνέρχεσθαι ἐκεῖ τοὺς πρώτους τῆς πόλεως καὶ πᾶν τὸ πολίτευμα, καὶ ἐκεῖ καθέζεται κριτὴς καὶ δικάζει καὶ κατακρίνει πάντας τοὺς ἐν τῇ πόλει κακοποιοὺς καὶ λῃστὰς καὶ κλέπτας ἢ φαρμακοὺς ἢ μοιχοὺς ἢ ἐπιβούλους, ὁ δὲ κριτὴς ἐν τῇ πόλει ἐξουσίαν λαβὼν βασιλικήν, τοῦτ᾽ ἔστι τὰς βασιλικὰς εἰκόνας καὶ τὰ σίγνα, οὕτω δύναται κρίνειν καὶ ἀναιρεῖν διὰ τῆς βασιλικῆς ἐξουσίας τοὺς κακοποιοὺς — οὕτω καὶ ἡ μεγάλη νοερὰ πόλις τοῦ Θεοῦ, ἡ ψυχὴ καὶ τὸ ἐν αὐτῇ πολίτευμα τῶν λογισμῶν, ἐπὰν λάβῃ τὴν ἄνωθεν ἐξουσίαν διὰ τῆς πίστεως καὶ τῆς ἐναρέτου αὐτῆς πολιτείας «τὴν μάχαιραν τοῦ Πνεύματος»[1] καὶ τὴν ἐπουράνιον τοῦ Χριστοῦ εἰκόνα καὶ τὰ οὐράνια τοῦ φωτὸς πνευματικὰ σίγνα, τότε δύναται ἀναιρεῖν καὶ κατακρίνειν τοὺς ἐν αὐτῇ ἐχθροὺς καὶ κακοποιοὺς καὶ ἐπιβούλους καὶ λῃστὰς (τοῦτ᾽ ἔστι τὰ πνεύματα «τῆς πονηρίας»[2]). Ἀλλὰ καὶ ἐπὶ τοῦ Κυρίου τοῦτο ἐν ἑτέρῳ τρόπῳ λαμβάνεται· ὥσπερ ἐκ πόλεως καταπονουμένης ὑπὸ ἐχθρῶν καὶ ἐπιβούλων, μὴ ἐχούσης κριτὴν ἢ ἄρχοντα, εὑρεθῇ δὲ εἷς ἐκ τοῦ γένους ἐκείνης τῆς πόλεως καὶ προσελθὼν τῷ βασιλεῖ καὶ δοὺς ἑαυτοῦ τὰ ὑπάρχοντα ἔλαβεν ἐξουσίαν καὶ οὕτως ἐλθὼν διεχειρίσατο καὶ **100** ἀνήρησε τοὺς ἐν τῇ πόλει ἐχθροὺς καὶ κακοποιοὺς — τὸν αὐτὸν τρόπον καὶ ὁ Κύριος, «ὁ» δεύτερος «Ἀδάμ»[3], ἐκ τοῦ γένους Ἀδὰμ μόνος εὑρέθη καὶ ἔδωκε τὸ ἑαυτοῦ σῶμα ὑπὲρ παντὸς γένους τῶν ἀνθρώπων καὶ ἔλαβε τὴν ἐξουσίαν καὶ τὴν βασιλείαν καὶ τὴν δυναστείαν καὶ ἀνήρησε πᾶσαν τυραννικὴν δύναμιν τῆς πονηρίας καὶ «τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας» ἐθριάμβευσε[4] «προσηλώσας» αὐτὰς «τῷ σταυρῷ»[5], ἀναλαβὼν γὰρ τὸ σῶμα καὶ δι᾽ αὐτοῦ νικήσας τὸν ἐχθρὸν καὶ κατακρίνας αὐτὸν «διὰ τῆς σαρκὸς»[6] ἀνελθὼν ἐκάθισεν ἐν οὐρανοῖς προσκυνούμενος ὑπὸ πάντων τῶν «οὐρανίων

---

1. Πρβλ. Ἐφ. 6,17. 2. Πρβλ. Ἐφ. 6,12. 3. Πρβλ. Α′ Κορ. 15,45. 47. 4. Πρβλ. Κολ. 2,15. 5. Πρβλ. Κολ. 2,14. 6. Πρβλ. Ρωμ. 8,3.

καὶ ἐπιγείων καὶ καταχθονίων»[1], καὶ οὕτω λοιπὸν ταῖς νοεραῖς αὐτοῦ πόλεσιν, ταῖς ζητούσαις αὐτὸν ψυχαῖς καὶ ὑποτασσομέναις αὐτῷ καὶ ὑπ' αὐτοῦ βασιλεύεσθαι ἐπιθυμούσαις, ἄνωθεν ἀποστέλλει τὴν ἑαυτοῦ φωτεινὴν καὶ θείαν τοῦ Πνεύματος εἰκόνα, τὸν ἐπουράνιον ἄνθρωπον, ἵνα ἐντυπωθέντος καὶ κραθέντος ἐν αὐταῖς εἰρηνεύωσι καὶ χαίρωσι καὶ ἀγαλλιῶνται ἀγαλλιάσει «ἀνεκλαλήτῳ»[2], καὶ οὕτως οἱ ἐχθροὶ τῆς ψυχῆς ἀναιροῦνται ἐλθόντος τοῦ ἐπουρανίου κριτοῦ καὶ ἡ πόλις ἡ νοητὴ εἰρήνην μεγάλην λαμβάνει. Ὥσπερ γὰρ ἐὰν μὴ λάβῃ τις τὴν βασιλικὴν ἐξουσίαν καὶ τὴν μάχαιραν καὶ τὰ σίγνα, κρίνειν τοὺς κακοποιοὺς καὶ ἀναιρεῖν οὐ δύναται, ἀλλ' ἔστιν ὅμοιος πάντων, οὕτω καὶ ἡ ψυχὴ ἐὰν μὴ δέξηται ἐν ἑαυτῇ τὴν τοῦ Χριστοῦ ἐπουράνιον εἰκόνα καὶ τὰ τοῦ ἀρρήτου φωτὸς ἐνδύματα καὶ τὰ ἐπουράνια τῶν δωρεῶν τοῦ Πνεύματος σίγνα, ἀναιρῆσαι καὶ κατακρῖναι τοὺς ἑαυτῆς ἐχθροὺς καὶ ἐπιβούλους οὐ δύναται. Καὶ ἤδη ἀκούουσα τὴν ἐπιδημίαν τοῦ ἐπουρανίου ἄρχοντος, χαίρει καὶ ἀγαλλιᾷ, οἱ δὲ ἐχθροὶ αὐτῆς τὰ πνεύματα «τῆς πονηρίας»[3] φόβῳ καὶ τρόμῳ καὶ δειλίᾳ συνέχονται. Ὥσπερ ἐν πόλει ἐρχομένου ἄρχοντος κρῖναι καὶ ἀναιρῆσαι τοὺς ἐν αὐτῇ εὑρισκομένους λῃστὰς καὶ κακοποιοὺς χαίρουσι μὲν οἱ πολῖται τῆς πόλεως, οἱ δὲ ἐχθροὶ δειλίᾳ καὶ φόβῳ συνέχονται, καὶ ἐπὰν εἰς πρόσωπον τοῦ ἄρχοντος ἔλθωσιν, αἰσχύνονται καὶ τρέμουσιν, οἱ δὲ πολῖται παρρησίαν καὶ χαρὰν μεγίστην ἔχουσιν, ὅτι ἀναιροῦνται τῆς πόλεως οἱ κακοποιοὶ καὶ ἐχθροὶ καὶ ἐπίβουλοι, οὕτως ὅταν ἐνδημήσῃ καὶ ἐπιφανῇ ὁ ἀληθινὸς καὶ ἐπουράνιος ἄρχων Χριστὸς ἐν τῇ **101** πόλει τῆς ψυχῆς, παρρησίαν καὶ χαρὰν μεγίστην λαμβάνει σὺν παντὶ τῷ πολιτεύματι τῶν ἰδίων αὐτῆς λογισμῶν, οἱ δὲ ἐπίβουλοι αὐτῆς καὶ ἐχθροί, τὰ πάθη τῆς κακίας, ἐν αἰσχύνῃ καὶ τρόμῳ καὶ δειλίᾳ τυγχάνουσιν. Παρακαλέσωμεν οὖν καὶ ἡμεῖς τὸν Κύριον, ὅπως τύχωμεν τῆς «ἐπουρανίου» δωρεᾶς τοῦ «Πνεύματος»[4] καὶ τὰ ἐν ἡμῖν ἀλλότρια τῆς κακίας πάθη θανατώσωμεν, ἵν' οὕτως εὐάρεστοι αὐτῷ καταστάντες καὶ τὰς ἐντολὰς αὐτοῦ ἀμώμως ἐπιτελέσαντες τῆς αὐτοῦ βασιλείας ἄξιοι γενώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Κ' (=ΟΖ')

102 Α'. Ὡς «ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱόν, καὶ πάντα»[5] διδάσκει αὐτὸν αὐτὸς «ὁ Πατήρ»[6], οὕτω καὶ οἱ Χριστιανοὶ ἀγαπῶντες τὸν Κύριον· αὐτὸς ὁ καιρὸς καὶ τὸ ἔργον καὶ ὁ Κύριος διδάσκει αὐτοὺς τὴν ἐπουράνιον διδασκαλίαν καὶ ἐπιστήμην. Ὥσπερ γὰρ ἐν βίῳ εἴ τις ἔχει χρυσόν,

1. Πρβλ. Φιλιπ. 2,10. 2. Πρβλ. Α' Πέτρ. 1,8. 3. Πρβλ. Ἐφ. 6,12. 4. Πρβλ. Ἑβρ. 6,4. Πράξ. 2,38. 10,45. 5. Πρβλ. Ἰω. 3,35. 6. Πρβλ. Ἰω. 8,28.

ἄργυρον, κτήματα, πλοῦτον πολύν, οὗτος θέλει γεννῆσαι ἐκ τῆς ἑαυτοῦ φύσεως τέκνα, ἵνα κληρονομήσῃ τὰ τοῦ πατρός, ἐὰν δὲ μὴ σχῇ κληρονόμον, λυπεῖται καὶ θλίβεται — οὕτω καὶ ὁ Κύριος, ποιήσας τὸν Ἀδάμ, τὴν γῆν ταύτην καὶ τὸν οὐρανὸν οἶκον αὐτῷ κατεσκεύασε καὶ βασιλέα πάντων αὐτὸν κατέστησε τῶν κτισμάτων, εὐτρεπίσας αὐτῷ καὶ τὴν ἐπουράνιον κληρονομίαν, ἵνα γένηται φίλος καὶ ἀδελφὸς Χριστοῦ, νύμφη καὶ κοινωνὸς τοῦ Ἁγίου Πνεύματος. Ὡς γὰρ ὑμεῖς «ἐξ ὅλης καρδίας»[1] ἀγαπᾶτε τὸν Κύριον καὶ ξένοι γίνεσθε καὶ θλῖψιν φέρετε, οὕτω καὶ ὁ Κύριος ἐξ ὅλης καρδίας ἡμᾶς ἠγάπησε καὶ ἔπαθε καὶ ἐσταυρώθη, ἵνα εἰς τὴν ἑαυτοῦ κληρονομίαν καὶ ζωὴν εἰσαγάγῃ τοὺς ἀνθρώπους· διὰ τοὺς ἁμαρτωλοὺς γὰρ κατῆλθεν. Καὶ λυπεῖται ὁ Κύριος, ὁ ἐπουράνιος Πατήρ, ἐὰν μὴ γεννήσῃ τέκνα ἐκ τῆς ἑαυτοῦ φύσεως καὶ δῷ αὐτοῖς κληρονομίαν, τὴν βασιλείαν τῶν οὐρανῶν, ἣν αὐτοῖς ἡτοίμασεν. Πάντες γὰρ οἱ γενόμενοι δίκαιοι, ἄνθρωποι ὄντες ὡς καὶ οἱ λοιποὶ καὶ σάρκα περιβεβλημένοι, ἔργον μέγα παρὰ τοὺς λοιποὺς ἀνθρώπους ἐποίησαν ἐπὶ τῆς γῆς· ἐβασίλευσαν γὰρ τῆς κτίσεως καὶ τοῦ θανάτου. Εἶπε Μωϋσῆς τῷ ὕδατι καὶ μετεβλήθη εἰς
103 αἷμα[2], εἶπε τῇ γῇ καὶ ἀνῆλθον βάτραχοι[3], εἶπε τῷ θανάτῳ· μὴ εἰσέλθῃς εἰς τὰ πρόθυρα, καὶ ὑπετάγη ὁ θάνατος καὶ ἐποίησε τὸ θέλημα Μωϋσέως[4] καὶ λοιπὸν ἔγνω ὁ θάνατος, ὅτι ἀπὸ τότε οὐκέτι βασιλεύει, ἐξ οὗ ἐφοβήθη τὸ πρόσταγμα Μωϋσέως καὶ ὑπήκουσεν αὐτῷ. Καὶ γὰρ καὶ σίγνον ἦν εἰς τὸ πρόσωπον Μωϋσέως τῆς δόξης τοῦ φωτὸς τοῦ θεϊκοῦ[5], ὅπερ σίγνον ὁ Ἀδὰμ πρὸ τῆς παραβάσεως ἦν περιβεβλημένος, δόξαν γὰρ Θεοῦ καὶ ἔνδυμα θεϊκὸν ἦν ἠμφιεσμένος αὐτὸς ὁ Ἀδάμ. Ἕως οὖν Μωϋσέως οὐδεὶς ἔσχε τοῦτο τὸ σημεῖον εἰς τὸ πρόσωπον εἰ μὴ μόνον Μωϋσῆς. Ἐξεπλάγη οὖν ὁ θάνατος θεασάμενος τὸ σημεῖον, ὅτι ἀπὸ τοῦ Ἀδὰμ ἕως ἄρτι οὐδεὶς ἔσχε τὸ σημεῖον τοῦτο, καὶ περὶ ἑαυτοῦ προεφήτευσεν, ὅτι μέλλει βασιλεύεσθαι καὶ ὑποτάσσεσθαι τῷ γένει τῶν ἀνθρώπων, ὃ καὶ οὕτω γέγονεν. Ἐπεφάνη γὰρ λοιπὸν καὶ ὁ ἐπουράνιος Ἀδὰμ καὶ διὰ τοῦ σταυροῦ κατέκρινε τὸν θάνατον καὶ κατῆλθεν εἰς τὰ μνημεῖα καὶ ἐνεφανίσθη τοῖς προκεκοιμημένοις προφήταις καὶ δικαίοις. Ἐπειδὴ ἦσαν λυπούμενοι ὡς μὴ τυγχάνοντες τῶν ἐπαγγελιῶν, ἤγειρεν αὐτοὺς ἐκ τῶν τάφων καὶ περιέβαλεν αὐτοὺς δόξαν θεϊκὴν καὶ «ἐνεφανίσθησαν»[6] ἐν τῇ πόλει Ἱερουσαλὴμ καὶ εἶδον τοὺς ἑαυτῶν φίλους καὶ συγγενεῖς καὶ πάλιν ἐκοιμήθησαν· ἐκεῖ γὰρ τὰς συμπήξεις καὶ τὰς ἁλύσεις τοῦ πονηροῦ διέρρηξεν ὁ Κύριος καὶ ἐθανάτωσε τὸν διάβολον. Ὁ Ἠλίας ἐξουσιαστικῶς ἔδησε τὰς κλεῖς τῶν οὐρανῶν καὶ οὐκ ἔβρεξεν[7]. Πῶς τοῦτο ἴσχυσε ποιῆσαι; Προσέσχε πρὸς τὸν Θεόν, ἐπίστευσεν, ἠγάπησεν. Οὔτε γὰρ

1. Πρβλ. Μάρκ. 12,30. 2. Πρβλ. Ἐξ. 7,20. 3. Πρβλ. Ἐξ. 8,2. 4. Πρβλ. Ἐξ. 12,23. 5. Πρβλ. Ἐξ. 34,29 ἑξ. 6. Πρβλ. Ματθ. 27,53. 7. Πρβλ. Γ' Βασ. 17,1.

λέγω σοι ὅτι τὰς χεῖρας αὐτοῦ ἐξέτεινεν εἰς τὸν οὐρανὸν οὔτε αὐτὸς τῇ δυνάμει αὐτοῦ τὸ οὐράνιον πῦρ ἤνεγκε καὶ ἔκαυσε τὸ θυσιαστήριον καὶ τοὺς ψευδοπροφήτας[1], ἀλλὰ τῇ ἀγάπῃ αὐτοῦ καὶ τῇ πίστει συνήργησε θεϊκὴ δύναμις, ἥτις ταῦτα δι' αὐτοῦ ἐπετέλεσεν. Εἶπε λόγον καὶ ἄλλος δίκαιος «καὶ ἔστη ὁ ἥλιος»[2], ἄλλος ἔφραξε «στόματα λεόντων»[3].

Β'· Ὁρᾷς πῶς οἱ δίκαιοι βασιλεῖς εἰσι τῶν κτισμάτων καὶ πάντα τὰ κτίσματα τρέχει κατέναντι αὐτῶν. Ἡ «αἱμορροοῦσα»[4], «ἥτις οὐκ ἴσχυσε θεραπευθῆναι » ὑπὸ ἰατρῶν, μὴ ὁ Κύριος ἀπῆλθε πρὸς αὐτήν; Οὐχὶ **104** αὐτὴ «ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ»[5]; Ὁ «ἀπὸ γενετῆς»[6] τυφλὸς οὐχὶ αὐτὸς πρῶτος ἔκραξεν; Ὁ Ζακχαῖος οὐχὶ αὐτὸς πρῶτος ἀνῆλθεν εἰς τὸ δένδρον[7]; Καὶ νῦν οἱ ἄνθρωποι ζῶντες νεκροί εἰσιν, καὶ εἰς τοὺς πιστεύοντας ἔρχεται ὁ Κύριος καὶ κατασκηνοῖ εἰς τὰς ψυχὰς αὐτῶν καὶ ἐκτινάσσει τὰς καρδίας αὐτῶν ἐκ τῶν λίθων καὶ ἐκ τῶν μνημείων τῶν ἀκαθάρτων πνευμάτων καὶ ἀπαθανατίζει τὰς ψυχὰς αὐτῶν καὶ ζωοποιεῖ ἐκ τῆς νεκρώσεως αὐτῶν. Ὥσπερ οὖν οἱ πρῶτοι δίκαιοι ἐπίστευσαν τῷ Κυρίῳ καὶ προσέδραμον αὐτῷ, οὕτω καὶ ἡμεῖς ἀγαπῆσαι ὀφείλομεν τὸν Θεὸν «ἐξ ὅλης καρδίας»[8] καὶ πιστεῦσαι καὶ ἀκοῦσαι, καὶ οὕτως ἔρχεται εἰς τοὺς διαλογισμοὺς καὶ τὰ διανοήματα καὶ πᾶσαν τὴν τοῦ σατανᾶ ἁρμολογίαν καὶ τοὺς δεσμοὺς καὶ τὰ συμπήγματα διαλύει καὶ καθαρίζει τὰς καρδίας ἡμῶν ἐκ τῆς λέπρας καὶ ζωοποιεῖ ἐκ τῆς νεκρώσεως καὶ φωτίζει τὸν νοῦν ἐκ τῆς τυφλώσεως. Πάντα γὰρ τὰ κτίσματα, ἃ ἐποίησεν ὁ Θεός, ἐξ ἀρχῆς ἦν, καὶ ποταμοὶ καὶ ὄρη καὶ βουνοὶ καὶ τὰ ζῷα καὶ πηγαί. Λοιπὸν τί ἐστιν,ὅπερ ἐρχόμενος καὶ ἐνδυόμενος τὸ σῶμα ὁ Κύριος ποιεῖ ἔργον μεῖζον τούτων, †ὡς† ἐν τοῖς φαινομένοις οὐδὲν ἔλειπε τῇ κτίσει; Τί οὖν ἐστιν ὃ εἶπεν· «ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι»[9], καὶ «μείζονα τούτων» «ἔργα»[10] ποιῶ, εἰ γῇ ἦν ἐσπαρμένη καὶ φυτεῖαι καὶ οὐρανοὶ καὶ ἥλιος καὶ σελήνη; Ἀλλὰ δῆλον ὅτι μειζότερον ἔργον τῶν φαινομένων ἔρχεται ποιῆσαι, μὴ φαινόμενον τοῖς σαρκικοῖς ὀφθαλμοῖς. Τὰς γὰρ διεφθαρμένας διανοίας ἐν τῷ κρυπτῷ ὑπὸ τοῦ σατανᾶ ἔρχεται διορθώσασθαι καὶ σπεῖραι σπόρον οὐράνιον ἐν τῇ γῇ τῆς ψυχῆς, ὥσπερ ὁ γεωργὸς ἐν τοῖς φαινομένοις σπείρει τὴν γῆν. Μὴ ἄρα βοῦς ζεύγνυσιν; Οὐχ οὕτως. Μὴ ἄρα φυτείαν φαινομένην φυτεύει; Οὐχ οὕτως. Ἄμπελος γάρ ἐστιν ἡ ψυχὴ τῷ Κυρίῳ (καὶ ὁ Κύριος τῇ ψυχῇ) καὶ φυτεύει ἐκεῖ ῥίζας ἀγάπης, χαρᾶς γλυκείας καὶ πηγὰς ζωῆς βρυούσας ἐν τῇ καρδίᾳ, «οὐρανοὺς καινοὺς καὶ γῆν καινὴν»[11] καὶ φωστῆρας νέους· εἰ γὰρ τὰ ἄνθη τῆς γῆς τοσαύτην δόξαν περιβάλλει καὶ τὰ ἴα ἐνδύει πορφύραν, πόσῳ μᾶλλον[12] τὴν λογικὴν ψυχὴν δοξάζει καὶ καλλωπίζει διακοσμήσει πνευματικῇ καὶ ἐνδύει τὴν πορ-

---

1. Πρβλ. Γ' Βασ. 18,36. 2. Πρβλ. Ἰησ. Ν. 10,13. 3. Ἑβρ. 11,33. 4. Πρβλ. Ματθ. 9,20. Λουκ. 8,43. 5. Ματθ. 9,20. 6. Πρβλ. Ἰω. 9,1. 7. Πρβλ. Λουκ. 19,4. 8. Πρβλ. Μάρκ. 12,30. 9. Ἰω. 5,17. 10. Πρβλ. Ἰω. 5,20. 14,12. 11. Πρβλ. Β' Πέτρ. 3,13. 12. Πρβλ. Ματθ. 6,29-30.

φύραν τοῦ πνεύματος. Οὕτω γὰρ ηὐδόκησεν, καὶ τοῦτο τὸ ἔργον ἐν ταῖς ψυχαῖς ἐργά**105**ζεται, ἵνα ἡ ψυχὴ κερασθῇ τῷ ἐπουρανίῳ Πνεύματι καὶ μεῖξις γένηται καὶ κοινωνία τῶν ἐπιγείων μετὰ τῶν ἐπουρανίων, μόνον ἵνα ἀγαπήσωμεν ἀλλήλους καὶ πιστεύσωμεν τῷ Θεῷ, καὶ δίδωσιν ἡμῖν τὴν ἑαυτοῦ κληρονομίαν. Αὐτὸς γὰρ σβέννυσι τὸ πῦρ τὸ ἐν ἡμῖν, ἡμεῖς μόνον ἀγαπήσωμεν αὐτόν, καὶ ὃ οὐ δυνάμεθα ποιῆσαι, αὐτὸς ἔρχεται καὶ ἐξολοθρεύει τὸν θάνατον. Οὔτε γὰρ «τὰ τείχη Ἰεριχὼ»[1] ἴσχυσαν ἄνθρωποι καθελεῖν, ἀλλὰ δυνάμει θεϊκῇ ἔπεσαν. Ὥσπερ ἵνα ᾗ ἄρχων καὶ ἔχῃ τὸ σίγνον καὶ τὴν εἰκόνα ἔμπροσθεν αὐτοῦ, λοιπὸν διὰ τὸ προηγεῖσθαι τὴν εἰκόνα ἐξουσιαστικῶς πάντας ἀποκτέννει καὶ ἐξορίζει τοὺς ἀτάκτους. Καὶ εἰ ἡ νεκρὰ εἰκὼν τοσοῦτον ἔχει φόβον καὶ ἀξίωμα, πόσῳ μᾶλλον ἡ εἰκὼν ἡ ἐπουράνιος καὶ ἡ ζῶσα δύναμις τοῦ Θεοῦ καὶ τὸ σίγνον τὸ ἐπουράνιον καὶ θεῖον, ἐὰν ζωγραφηθῇ ἐν ταῖς καρδίαις, ἀναιρεῖ καὶ φονεύει τὰς δυνάμεις τοῦ σκότους τὰς μεμειγμένας κρυπτῶς ἐν τῇ καρδίᾳ καὶ «πᾶσαν τὴν τοῦ ἐχθροῦ δύναμιν»[2] ἐξολοθρεύει. Δόξα τῇ μεγαλωσύνῃ αὐτοῦ καὶ τῇ ἀπείρῳ αὐτοῦ εὐσπλαγχνίᾳ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΑ′ (=ΟΗ′)

106 Α′. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς αὐτός ἐστιν ὁ θεμέλιος[3] καὶ αὐτός ἐστι τὸ συμπλήρωμα, ὁ ἀκρογωνιαῖος[4]. Ἀπὸ γὰρ τῆς γῆς καὶ τοῦ οὐρανοῦ ἐστιν ὁ Κύριος· ἐξ οὐρανοῦ γὰρ Θεὸς ἦλθε καὶ ἔλαβε τὸν ἄνθρωπον ἀπὸ γῆς καὶ συνεκεράσθη τῷ ἀνθρώπῳ. Ἴδε ἀπ' οὐρανοῦ καὶ ἴδε ἀπὸ γῆς, ἴδε ὁ θεμέλιος καὶ ἴδε ὁ ἀκρογωνιαῖος. Οὕτως ηὐδόκησε ποιῆσαι καὶ τοῖς οὖσιν ἀπὸ γῆς ἔδωκε Πνεῦμα Ἅγιον ἐξ οὐρανοῦ, ἵνα τοὺς ἄνω καὶ τοὺς κάτω ποιήσῃ μίαν ἐκκλησίαν συγκεράσας τὴν θεότητα τῇ ἀνθρωπότητι. Ὅταν δὲ ἀκούσῃς θεμέλιον, τὸν Κύριον νόησον· αὐτὸς γὰρ ὁ θεμέλιος μεμέτρηται καὶ οἱ ἐποικοδομούμενοι λίθοι πρὸς ἰσόμετρον τοῦ θεμελίου ὀφείλουσιν εἶναι, ἵνα ἡ οἰκοδομὴ ὑπὸ μίαν ἁρμολογίαν γένηται· οὔτε γὰρ κολοβοὶ δύνανται προχωρῆσαι ἐκεῖ οὔτε μακροί, ἀλλ' ἴσοι τοῦ μέτρου τοῦ θεμελίου ἁρμόζουσιν. Οὕτω καὶ ὁ Χριστὸς ὢν ἀληθινὸς θεμέλιος καὶ ἀκρογωναῖος εἰς ἐκεῖνο τὸ μέτρον τῆς τελειότητος τοῦ Χριστοῦ ἐκάλεσεν ἐλθεῖν πάντας ἀνθρώπους. Τοῦτο ἔλεγεν ὁ ἀπόστολος· «ἄχρι καταντήσωμεν οἱ πάντες» «εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ»[5]· καὶ πάλιν· «ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ»[6]· καὶ πάλιν· «ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα»[7] τοῦ Χριστοῦ. Εἰς ταῦτα τὰ μέτρα ἐκάλεσεν ὁ Χριστὸς τὸ γένος τῶν ἀνθρώπων ἐλθεῖν,

---

1. Πρβλ. Ἑβρ. 11,30. 2. Πρβλ. Λουκ. 10,19. 3. Πρβλ. Α′ Κορ. 3,11. 4. Πρβλ. Ἐφ. 2,20. 5. Ἐφ. 4,13. 6. Κολ. 1,28. 7. Ἐφ. 3,19.

εἰς ταύτην τὴν οἰκοδομὴν προσκέκληται πρὸς ἴσον τοῦ θεμελίου, ὅς
107 ἐστιν αὐτὸς ὁ Κύριος — Δόξα τῇ μεγαλειότητι αὐτοῦ. Ὁ κόσμος ὅλος εἰς τὴν φαινομένην διακονίαν ἕστηκεν, οἱ δὲ τοῦ Θεοῦ δοῦλοι ἀόρατον ἔχουσι τὴν διακονίαν ἐν μυστηρίῳ καὶ οὐκ ἴσασιν οἱ ἄνθρωποι. Ὥσπερ γὰρ ἡ ἀγγελικὴ φύσις ἀόρατος οὖσα διακονεῖ ἐν τοῖς ἀοράτοις τῷ ἀοράτῳ Θεῷ, οὕτω καὶ ἡ ψυχὴ οὖσα πνεῦμα ἀοράτως διακονεῖ τῷ Θεῷ τῷ ἀοράτῳ. Καὶ ὁ σατανᾶς πνεῦμα ὢν καὶ αὐτὸς κρυπτῶς ἐν τῷ βάθει τῆς καρδίας πολεμεῖ. Οἱ δὲ νῦν ἔχοντες ἔργον πνευματικὸν κατὰ τὸν ἀπόστολον οὐ «πρὸς αἷμα καὶ σάρκα» ἔχουσι τὴν πάλην, ἀλλὰ «πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους»[1]. Αὕτη ἡ δύναμις τῆς θεότητος· ἀόρατος οὖσα ἔκτισε κόσμον τὸν φαινόμενον. Καὶ ἡ ψυχὴ ὁμοίως ἀόρατος οὖσα ἔκτισε κόσμον τὸν μὴ φαινόμενον. Τὸ αὐτὸ καὶ ὁ πονηρὸς διὰ τῆς ἀφανοῦς δυνάμεως αἰχμαλωτίζει εἰς διακονίας φαινομένας τῆς ἀνομίας.

Β΄. Ἐρώτησις. Τί ἐστιν ὅτι ἐρωτώμενος ὁ διάβολος «πόθεν παραγέγονας» ἀπεκρίνατο· «ἐμπεριπατήσας τὴν ὑπ' οὐρανὸν πάρειμι»[2];

Ἀπόκρισις. Τὰ μὲν πλείονα τούτων ἐστὶν ἀκατάληπτα, πλὴν τοῦτο ἐκ φήμης ἀκήκοα, ὅτι οἱ γόητες ἐν ὑποταγῇ ἔχουσι τοὺς δαίμονας· λοιπὸν συμβαίνει ἐν μιᾷ ὥρᾳ εἴκοσι ἢ καὶ τριάκοντα διὰ τῶν ἐπαοιδῶν καὶ τῆς γοητείας τοὺς αὐτοὺς δαίμονας ἐπικαλεῖσθαι εἰς τὸ κακοποιῆσαι, καὶ ἕκαστος αὐτῶν, εἰς τὰ μέρη τῆς δύσεως ἢ τῆς ἀνατολῆς ὤν, φθάνει ἐν τῇ αὐτῇ ὥρᾳ τοῖς πᾶσιν ἐμφανισθῆναι καὶ ἐνεργῆσαι εἰς τὸ κακόν. Εἰ οὖν τὸ κακὸν οὕτω φθάνει ἐν ῥοπῇ ὥρας πᾶσιν ὑπακούειν, πόσῳ μᾶλλον τὸ ἀγαθὸν δύναται ἐμφανίζεσθαι καὶ βοηθεῖν πᾶσι τοῖς ἐπικαλουμένοις αὐτό.

Γ΄. Τὰ οὖν πλείονα τούτων ὑπερβαίνει τὴν ἡμετέραν ἀσθένειαν. Ὥσπερ δὲ σκεῦος βασιλικὸν κατασκευαζόμενον οὐχὶ ἀπὸ μιᾶς τελειοῦται, ἀλλὰ πλεονάκις εἰσέρχεται εἰς τὸ πῦρ, εἶθ' οὕτω σφυροκοπεῖται καὶ πολυτρόπως κοσμεῖται, καὶ τότε ἀπαρτίζεται σκεῦος τίμιον προχωροῦν εἰς τράπεζαν βασιλικήν, τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ διαφόρως κοσμουμένη καὶ γυμναζομένη τίμιον σκεῦος τοῦ βασιλέως τοῦ ἐπου-
108 ρανίου γίνεται. Ἔστι τις ἔχων ἀρετὰς πολλὰς βίου, ἀκτημοσύνας, νηστείας, ἀγρυπνίας, ἀλλ' ἐπειδὴ διὰ δόξαν ἀνθρωπίνην ποιεῖ καὶ οὐ διὰ Θεόν, ὧδε τὸν μισθὸν ἀπολαμβάνει[3]· οἱ γὰρ δοξάζοντες αὐτὸν ἄνθρωποι οὗτοί εἰσιν αὐτοῦ θεοί. Καί ἐστιν ἄλλος θέλων λανθάνειν ἀνθρώπους καὶ εὐαρεστεῖν Θεῷ καὶ πολλάκις τινὰ ἀδιαφόρως ποιεῖ καὶ ἁπλουστάτως παρ' ἐκεῖνον τὸν δὴ ἐν πᾶσιν ἀκριβῆ καὶ μᾶλλον οὗτος ἀποδεκτέος ἐστὶ παρὰ Θεῷ, ἐπειδὴ διὰ Θεὸν ποιεῖ ἢ ἐκεῖνος ὁ διὰ δόξαν ἀνθρώπων. Ἐπειδὴ τοίνυν υἱὸς εἶ ἐκείνου τοῦ παραβάντος τὴν ἐντολήν[4], ἀνάγκη ὅτι υἱὸς ὢν καὶ τὸ παχὺ σκότος καὶ ἡ ἀράχνη[5] καὶ

1. Ἐφ. 6,12. 2. Ἰὼβ 1,7. 3. Πρβλ. Ματθ. 6,2. 4. Πρβλ. Γεν. 2,3. 5. Πρβλ. Ἰὼβ 8,14. Ψαλ. 38,12.

ἡ ἀπείθεια καὶ ἡ μάχαιρα ἐμπέπηκταί σοι ὡς εἰς πάντας τοὺς υἱοὺς αὐτοῦ, καὶ χρὴ ἐκ τῆς δεινῆς συντροφίας καὶ χαλεπῆς συνηθείας τῆς ἁμαρτίας χωρισθῆναι καὶ ἀναλαβεῖν διαγωγὴν καὶ συντροφίαν καὶ ἦθος πνευματικὸν τοῦ δευτέρου Ἀδὰμ τοῦ ἐπουρανίου καὶ «νοῦν Χριστοῦ»[1] κτήσασθαι, ἵνα γένῃς τούτου υἱὸς καὶ κληρονόμος. Καὶ γὰρ ὅλη ἡ νομοθεσία καὶ προφῆται καὶ ἀπόστολοι καὶ ἄγγελοι καὶ ἡ ἔλευσις κατὰ τοῦ κακοῦ γεγένηται τοῦ παρεισελθόντος καὶ βασιλεύσαντος, ὅπως ἀποκόψωσι τὰ κακὰ καὶ θριαμβεύσωσιν· οὐ μὴν ἀλλὰ καὶ οἱ νόμοι Ῥωμαίων κωλύουσιν (τὸν δὲ σατανᾶν οὔτε προφῆται οὔτε ἀπόστολοι οὔτε Γραφαί). Ὅμως ὁρᾷς ἕτοιμα τὰ κακὰ τὰ συνέχοντα τὸν κόσμον καὶ τοὺς συνηδομένους καὶ κατεχομένους εἰς τὸν θάνατον, καὶ τὸ ἀγαθὸν σπάνιον, ὥστε ἀπὸ πολλῶν ὀλίγους εἶναι τοὺς σῳζομένους[2]. Ἀναγκαῖον οὖν ἐστιν ἡμᾶς τοὺς προσελθόντας τῷ ζῶντι Θεῷ, δι' ἐναρέτου πολιτείας τούτῳ συναρμολογεῖσθαι καὶ συγκολλᾶσθαι ἐπειδὴ «ἡ κεφαλὴ αὐτός ἐστιν»[3], ὁ μαργαρίτης, ὁ θεμέλιος· καὶ εἴ τις οὐ κτᾶται τὸν θεμέλιον τοῦτον, οὐκ οἶδε ποῦ οἰκοδομεῖ. Εἴ τις γάρ ἐστιν ἐν ἐρημίαις καθεζόμενος καὶ ἀσκεῖ ἔτι ἐγκρατὴς ὢν καὶ μὴ οἰκοδομῶν ἐπὶ τὸν Κύριον, ἐπὶ τὴν ἄμμον»[4] οἰκοδομεῖ, ἐπὶ πράγματα
109 λυόμενα καὶ εὔφθαρτα. Ὃν τρόπον γὰρ ἀποσπασθείσης κεφαλῆς ἀνθρώπου οὐκ ἐγχωρεῖ τὰ ἄλλα μέλη συστῆναι, ἀλλ' εὐθέως λύεται καὶ φθείρεται, οὕτως ἄνευ τῆς κεφαλῆς (τοῦτ' ἔστιν ἄνευ τοῦ Χριστοῦ), ζῆσαι ψυχὴν ἀδύνατον, ὥσπερ οὐδὲ ἰχθὺν ἄνευ ὕδατος ζῆν. Ἐκεῖνον γὰρ ἔχων τὸν θεμέλιον ὡς ἐπὶ «πέτραν»[5] ἐστὶν οἰκοδομῶν τὸ ἔργον αὐτοῦ. Δόξα τοῖς οἰκτιρμοῖς αὐτοῦ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΒ' (=ΟΘ')

110 Α'. Αἱ τῶν λόγων συζητήσεις καὶ ἡ πεποίθησις τῆς γνώσεως οὐδὲν κέρδος τῇ ψυχῇ προσποιοῦσιν ὅσον περισπασμὸν καὶ ζημίαν, καὶ οἱ ἐν τούτοις κεκρατημένοι τοῖς πράγμασιν ἐοίκασιν ἀνθρώπῳ χόρτον ἀντὶ ἄρτου ἐσθίοντι, τὸν μὴ ἔχοντα ἡδονήν τινα μηδὲ τῷ σώματι δύναμιν ποιοῦντα ἢ ἀνθρώπῳ ἐν τοίχῳ γεγραμμένῳ καὶ σῴζοντι μὲν πᾶσαν τὴν τῶν μελῶν εἰκόνα, μὴ περιπατοῦντι δὲ μηδὲ κινουμένῳ. Καὶ γὰρ πᾶσαι αἱ αἱρέσεις ἀπ' ἀρχῆς ἐντεῦθεν συνέστησαν· οὐ γὰρ ἐπείσθησαν τῷ ἀποστόλῳ λέγοντι· «ὢ βάθος πλούτου». Βουληθέντες γὰρ τὴν τοῦ Θεοῦ σοφίαν ἐν λόγοις καταλαβεῖν ἐπλανήθησαν. «Ὦ» (γὰρ) «βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίασται αἱ ὁδοὶ αὐτοῦ. Τίς γὰρ ἔγνω νοῦν Κυρίου»[6]; Οὔτε οὖν οἱ διὰ μαθημάτων τὴν ἀκριβῆ τοῦ Θεοῦ κατάληψιν

---

1. Πρβλ. Α' Κορ. 2,16. 2. Πρβλ. Λουκ. 13,23. 3. Πρβλ. Κολ. 1,18. 4. Πρβλ. Ματθ. 7,26. 5. Πρβλ. Ματθ. 7,24. 6. Ρωμ. 11,33-34.

ζητοῦντες εὑρεῖν δύνανται, οὔτε οἱ διαβεβαιούμενοι διδάσκαλοι καὶ ἱκανοὺς ἑαυτοὺς λέγοντες εἶναι εἰς τὴν περὶ Θεοῦ ἐξήγησιν φράσαι τι σαφὲς ἢ καταλαβεῖν ἰσχύουσιν, ἀλλὰ ὑπερβαίνει ὁμοῦ πάντας τοὺς διδασκομένους καὶ τοὺς διδάσκοντας ἡ ἀλήθεια, καὶ λελήθασιν ἑαυτοὺς ἀμφότεροι πλανώμενοι. Ἐὰν γὰρ εἴπῃ σοι ὁ διδάσκαλος ὅτι πῦρ ἐστιν ὁ Θεός, εὑρήσεις αὐτὸν «ὕδωρ ζωῆς»[1] γινόμενον. Ἐὰν εἴπῃ σοι ὅτι ὡς βασιλεὺς ὁρᾶται καὶ φαίνεται, εὑρήσεις αὐτὸν ὡς σκιὰν ὀπτα**111**νόμενον, ἄλλῳ δὲ ὡς πτωχόν, καὶ οἷς μὲν ὡς Θεὸν οἷς δὲ ὡς ἄνθρωπον ταπεινόν. Ἐὰν ζητήσῃς αὐτὸν ἐν οὐρανοῖς, ἐπὶ γῆς εὑρίσκεται· ἐὰν δὲ ἐπὶ γῆς ζητήσῃς, εἰς οὐρανοὺς μετέρχεται. Καὶ τοῖς μὲν πάλιν εὑρίσκεται «θλῖψις» κατ' οἰκονομίαν γινόμενος, τοῖς δὲ «ἄνεσις»[2]. Διὸ παραιτεῖσθαι προσῆκε τὴν πολυλογίαν καὶ ματαιολογίαν, οὐδὲν γὰρ ἐξ αὐτῆς περᾶναί τις δύναται. Ὑπὲρ τῆς κατὰ φύσιν ἑκάστῳ προσούσης γνώσεως κρινόμεθα μὴ παραδεξάμενοι τὸν λόγον τοῦ Θεοῦ.

Β'. Παρεάσαντες οὖν ταῦτα ζητήσωμεν, πῶς δύναται ἄνθρωπος ἐλθεῖν καὶ προσεγγίσαι τῷ Θεῷ καὶ μαθεῖν παρ' αὐτοῦ καὶ δέξασθαί τι ξένον τοῦ αἰῶνος τούτου ἐν τῇ καρδίᾳ, καὶ πεισθῶμεν τῷ εἰρηκότι· οὐδεὶς «ἀνθρώπων οἶδε τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ»[3]. Εἰ οὖν ἄνθρωπος ὁμοιοπαθὴς τὴν σὴν βουλὴν γνῶναι ἢ καταλαβεῖν οὐ δύναται, πῶς Θεοῦ βουλὴν ἐξερευνᾶν ἢ καταλαβεῖν ἄνθρωποι φθαρτοὶ ἐκβιάζονται; Καὶ «οὐδεὶς» ἀνθρώπων οἶδε «τὰ τοῦ Θεοῦ εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ» τὸ ἐν αὐτῷ. «Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἀπὸ τοῦ Θεοῦ, ἵνα γνῶμεν τὰ ἀπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν· ἃ καὶ λαλοῦμεν»[4]. Ζητήσωμεν οὖν τὸν Κύριον, καὶ αὐτὸς ἡμᾶς ὁδηγήσει καὶ διδάξει καὶ δυνησόμεθα γνῶναι τὰ τοῦ Θεοῦ μυστήρια, ὅσον ἀνθρώπῳ γνῶναι δυνατόν, οὐχ ὅσον ἔστιν ὁ Θεός. Ἡμέτερον οὖν ἐστι μαθεῖν, πῶς γεννᾶται ἄνθρωπος ἐκ «Πνεύματος»[5], πῶς δεῖ ἀνθίστασθαι τοῖς πνεύμασι «τῆς πονηρίας»[6], καὶ διδαχθῆναι ζητῆσαι βοήθειαν παρὰ Κυρίου καὶ πολεμῆσαι πρὸς τὸν ἀντικείμενον. Χαίρει γὰρ ὁ Κύριος ἀκεραίῳ ψυχῇ ἀνθρώπου, κἀκείνους ἁρπάζει εἰς τὴν βασιλείαν αὐτοῦ τοὺς φόβῳ καὶ ἀκακίᾳ προσερχομένους αὐτῷ.

Γ'. Ἓν δέ σοι πάλιν δύναμαι εἰπεῖν, ὅτι ὁ ζητῶν τὸν Θεὸν δέχεται δύναμιν Πνεύματος Ἁγίου καὶ ἀναλύεται ἡ φύσις αὐτοῦ εἰς ἀφανισμὸν τῆς πλάνης καὶ τῆς δειλίας, τροφὴν πεσοῦσαν, φύσιν τοῦ ἁγίου πυρός. Ὥσπερ γὰρ ξύλον λεῖον καὶ ξηρὸν καὶ ἄκαρπον ὄζους ἔχον πολλοὺς ἄχρηστόν ἐστι καὶ πάντες οἱ παριόντες ἐπικαθεζόμενοι τὰ πεπηλω**112**μένα τῶν ὑποδημάτων ἐπικαθαίρουσιν, ἐὰν δὲ βληθῇ καὶ εἰσενεχθῇ εἰς πῦρ μεταβαλλόμενον ἄνθραξ γίνεται, τοῦ ξύλου δηλαδὴ ἔνδον τοῦ πυρὸς ἐνδιαμένοντος ὑποστάσει, καὶ οὐδεὶς λοιπὸν ἅπτεσθαι ἢ ἐπικα-

1. Πρβλ. Ἀπ. 22,17. Ἰω. 4,10. 2. Πρβλ. Β' Κορ. 8,13. 3. Α' Κορ. 2,11. 4. Α' Κορ. 2,11-13. 5. Πρβλ. Ἰω. 3,5. 6. Πρβλ. Ἐφ. 6,12.

θέζεσθαι δύναται — τοιαύτην μοι νόει τὴν ἡμετέραν φύσιν ἀπὸ τῆς παραβάσεως ἄκαρπον καὶ ξηρὰν καὶ ὄζους ἔχουσαν τῶν πονηρῶν καὶ ἀκαθάρτων πνευμάτων, ἀλλοιοῦται δὲ εἰς τὴν δύναμιν τοῦ Θεοῦ καὶ ἀνάπτεται εἰς πῦρ καὶ φῶς, καὶ ἐὰν θελήσωσιν οἱ δαίμονες κατὰ τὴν ἀρχαίαν συνήθειαν προσεγγίσαι τῇ ψυχῇ καὶ κακῶσαι, κατακαίονται ὑπὸ τοῦ πυρὸς καὶ φυγαδεύονται ὑπὸ τοῦ φωτὸς καὶ βάψαντος καὶ περισχόντος τὴν ψυχήν. Ἀλλοιοῦται γὰρ οὕτως ὡς αὐτὸν αἰσθέσθαι τὸν ἄνθρωπον τὴν μεταβολὴν καὶ γνῶναι ὅτι οὐκ ἔστιν ἔχων τὸν πρῶτον νοῦν τοῦ χοϊκοῦ φρονήματος. Τοῦτο δὲ γίνεται, ἐπειδὴ κοινωνεῖ ἡ ψυχὴ τῷ Θεῷ καὶ ἀλλάσσει τὴν φύσιν εἰς τὴν τοῦ Θεοῦ μόρφωσιν. Ὥσπερ γὰρ μήτηρ νήπιον ἔχουσα ἀγαπᾷ καὶ ἐν πολλῷ πόθῳ ἐναγκαλίζεται εἰς τοὺς κόλπους λαμβάνουσα, οὕτω τὸ Πνεῦμα ἔρχεται εἰς τὴν ψυχὴν καὶ ἐναγκαλίζεται εἰς τοὺς κόλπους ἐν πολλῇ ἀναπαύσει καὶ χαρᾷ, καὶ ἐνεργείᾳ δυνάμεως θεϊκῇ καταποθεῖται ὑπὸ τοῦ Πνεύματος ὁ τοιοῦτος ἄνθρωπος καὶ ἁρπάζεται καὶ αἰχμαλωτίζεται εἰς αἰχμαλωσίαν μυστηρίων ἐπουρανίων καὶ γίνεται εἰς αὐτὸν νοῦς ἔνθεος. Τὰ γὰρ ῥαθύμως ἀποκείμενα σκεύη ἐν τῇ ψυχῇ τότε διαλύει καὶ πᾶσαν τὴν τῶν εἰδώλων πλάνην τὴν ἐμπολιτευσαμένην εἰς τὴν ψυχὴν καὶ τὸ σῶμα ἀπελαύνει καὶ καθαιρεῖ καὶ τότε γίνεται ὅλος περιφερόμενος καὶ καὶ μεθύων εἰς ἀγάπην καὶ χαρὰν καὶ ταπείνωσιν πολλήν. Ὅσοι οὖν ἀφῆκαν τὴν τῶν λόγων ματαιότητα καὶ ἦλθαν ἁπλότητι ζητῆσαι Θεὸν καὶ ὅλην «τὴν μέριμναν» καὶ τὸν νοῦν ἐπέρριψαν «ἐπ' αὐτὸν»[1] ἀληθῶς εὗρόν τι ξένον τοῦ αἰῶνος τούτου καὶ τῆς φύσεως αὐτῶν συναφθὲν αὐτοῖς, καὶ κατὰ μικρὸν ἐπλούτησαν καὶ ἐγένοντο βασιλεῖς· ἡ γὰρ ἐν σαρκὶ τοῦ Κυρίου παρουσία καὶ οἱ ἀπόστολοι καὶ πᾶς ὁ ἀπ' ἀρχῆς γενόμενος κόπος τοῖς ἁγίοις τοῦτο κατώρθωσε καὶ τοῦτο μέγα κέρδος τοῖς ἀνθρώποις ἐδωρήσατο, ἵνα ναοὶ Θεοῦ γένωνται οἱ ἄνθρωποι καὶ **113** ἵνα ἔλθῃ ὁ Θεὸς καὶ κατοικήσῃ ἐν ταῖς ψυχαῖς αὐτῶν καὶ τὸ μέρος τοῦ θανάτου τὸ ἐπεισελθὸν καὶ ἐκδιωχθῇ καὶ ἐκ μέσου γένηται.

Ἀποδῶμεν οὖν ἑαυτοὺς τῷ Κυρίῳ καὶ ζητήσωμεν εὑρεῖν τι παρὰ τοῦ Θεοῦ διδόμενον, καὶ ὅταν εὕρωμεν, πάντα δι' αὐτοῦ μανθάνομεν, ἃ οὔτε οἱ νομοδιδάσκαλοι οὔτε οἱ λογομάχοι διδάσκειν δύνανται.

---

1. Πρβλ. Α' Πέτρ. 5,7. Ψαλ. 54,23.

ΟΜΙΛΙΑ ΚΓ' (=Π') Μορφὴ Α'*

114 Α'. Ὁ γὰρ τοῦ Θεοῦ ἄνθρωπος
εἰς ἕκαστα τῶν ἀγαθῶν
ἀεὶ προκοπὴν λαμβάνει

εἰς ταπεινοφροσύνην
εἰς χρηστότητα εἰς μακροθυμίαν·

ἡ δὲ πάντων τούτων
κρηπὶς
ἡ πεποίθησίς ἐστιν ἡ εἰς Θεόν.

οἱ γὰρ τοιοῦτον θεμέλιον μὴ ἔχοντες
οὕτως εἰσὶν ὡς οἱ οἰκοδομοῦντες οἶκον ἄνευ θεμελίου·
ὥσπερ γὰρ οἱ περὶ τοὺς Μακκαβαίους μεγάλως ἀνδραγαθήσαντες

ὑπέταξαν τοὺς ἐχθροὺς αὐτῶν
ἐν τῷ σωματικῷ πολέμῳ, ὑπόδειγμα λάβωμεν εἰς ἑαυτοὺς εἰς
τὸν «πρὸς τὰ πνευματικὰ τῆς πονηρίας» πόλεμον, οὕτω
116 γενναῖοι καὶ μεγαλόψυχοι οἱ τοῦ
Χριστοῦ ἀληθινοὶ πολεμισταί.

ὥσπερ ὁ φαινόμενος κόσμος
χάριτι καὶ δικαιοσύνῃ διοικεῖται,
χάριτι μὲν ἐπὶ πλήθει καρπῶν,
δικαιοσύνῃ δὲ ἔν τε λιμῷ καὶ λοιμῷ,

---

* Κατὰ τὴν ὡς ἄνω ἔκδοσιν βάσει τῶν κωδίκων Ἀθηνῶν 272 (ΙΑ' αἰὼν) (Ἰω. Σακκελίων), Ἰβήρων 1318 (ΙΗ' αἰὼν) (Σπ. Λάμπρος), Παντελεήμονος 129 (ΙΕ' αἰὼν) (Σπ. Λάμπρος).

ΟΜΙΛΙΑ ΚΓ' (=Π') Μορφὴ Β'*

115 Α'. Ὁ τοῦ Θεοῦ ἄνθρωπος ὁ κατ' ἀλήθειαν τὴν ὁδὸν τῆς δικαιοσύνης διοδεύων καὶ ὁ εὐπειθὴς δοῦλος τοῦ Κυρίου εἰς ἕκαστον ἀγαθὸν καὶ εἰς πᾶσαν κατάστασιν ἀρετῆς ἀεὶ προκοπὴν λαμβάνει καὶ κρείττων ἑαυτοῦ γίνεται ὁσημέραι βελτιούμενος καὶ εἰς πάντα τὰ τῆς ἀρετῆς ἐπιτηδεύματα θεμέλιον κτᾶται, οἷον εἰς ταπεινοφροσύνην καὶ πραότητα, εἰς χρηστότητα, εἰς ὑπομονήν, εἰς μακροθυμίαν, εἰς ἀγάπην, εἰς πίστιν, εἰς ἐλπίδα, εἰς σωφροσύνην, εἰς ἀνδρείαν, εἰς ἀγαθότητα. Ἕκαστον γὰρ αὐτῶν πολλὴν βαθύτητα καὶ πλατύτητα καὶ λεπτότητος ἐργασίαν ἔχει. Ὥσπερ ἐὰν ᾖ ἐν παραδείσῳ δένδρα πολλὰ καρποφόρα τε καὶ διάφορα καὶ ἕκαστον δένδρον ἔχῃ κλάδους καὶ πάλιν οἱ κλάδοι κλῶνας μικροὺς κάρφη τε λεπτότερα καὶ πλῆθος πολὺ φύλλων, οὕτως ἐν ἑκάστῃ τῶν ἀρετῶν πολλή τις λεπτότης ἔγκειται ἐργασίας καὶ πολλὴ βαθύτης καὶ ἕκαστον ὥσπερ ἀποτέλεσμά τι τέλειον τυγχάνει. Πάντων δὲ τούτων κρηπὶς καὶ ἑδραίωμα καὶ τὸ ἀκρότατον, εἰς ὃ ὀφείλει ἡδραιῶσθαι καὶ τεθεμελιῶσθαι ἕκαστος ὁ προσερχόμενος Θεῷ ἐστιν ἡ εἰς Θεὸν πεποίθησις καὶ ἡ τῆς πίστεως ἑδραιότης, ὅπερ πρὸ πάντων ἕκαστος ὁ βουλόμενος εὐαρεστῆσαι Θεῷ κτήσασθαι ὀφείλει καὶ ἑδραιωθῆναι τῇ πεποιθήσει τοῦ Θεοῦ. Οἱ γὰρ μὴ κτώμενοι τὴν εἰς Θεὸν πεποίθησιν πρότερον ἐοίκασι τοῖς οἰκοδομοῦσιν οἶκον ἄνευ θεμελίου. Καὶ γὰρ οἱ περὶ τοὺς Μακκαβαίους μεγάλως ἀθλήσαντες καὶ γενναιότητα ἐνδειξάμενοι μεγαλοψύχως ἐν πολλοῖς πολέμοις καὶ μεγάλοις τῇ πρὸς Θεὸν πίστει καὶ πεποιθήσει τοὺς ἑαυτῶν ἐχθροὺς ὑπέτασσον ἐν τῷ σωματικῷ πολέμῳ, οὓς ὑπόδειγμα λάβωμεν εἰς ἑαυτοὺς ἐν τῷ «πρὸς τὰ πνευματικὰ τῆς πονηρίας»[1] ἀοράτῳ πολέμῳ, ὅτι οὕτω πρόθυμοι καὶ **117** ἀνδρεῖοι καὶ γενναῖοι καὶ μεγαλόψυχοι εἶναι ὀφείλομεν οἱ τοῦ Χριστοῦ ἀληθινοὶ πολεμισταί· φησὶ γὰρ ὁ ἀπόστολος· «ταῦτα δὲ τυπικῶς συνέβαινεν ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν»[2]. Ἐν ταῖς θλίψεσι τοίνυν ταῖς διαφόροις καὶ τοῖς ποικίλοις πειρασμοῖς, τοῖς ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων ἡμῖν ἐπεγειρομένοις, ὑπομονητικοὶ τυγχάνειν ὀφείλομεν καὶ ἀνδρίζεσθαι καὶ μακροθυμεῖν οἱ γενναῖοι τοῦ Χριστοῦ ἀθληταὶ καὶ πολεμισταί, ὅπως καὶ ἐν ταῖς παρακλήσεσι καὶ δωρεαῖς τῆς χάριτος εὐχάριστοι εἶναι δυνηθῶμεν.

Ὥσπερ γὰρ ὁ φαινόμενος τῶν ἀνθρώπων κόσμος χάριτι καὶ δικαιοσύνῃ ὑπὸ τοῦ Θεοῦ διοικεῖται, χάριτι μὲν ἐπὶ πλήθει καὶ εὐφορίᾳ καρπῶν καὶ ὑγείᾳ καὶ εὐκρασίᾳ καιρῶν καὶ πάσῃ ἀγαθῶν δόσει, δικαιοσύνῃ δὲ καὶ παιδείᾳ ἔν τε λιμοῖς καὶ λοιμοῖς καὶ θλίψεσι καὶ

---

* Κατὰ τὴν ὡς ἄνω ἔκδοσιν βάσει τῶν κωδίκων Βατικανοῦ 694 (ΙΓ' αἰὼν) (R. Devreesse) καὶ Ἀθηνῶν 423 (ΙΔ' αἰὼν) (Ἰω. Σακκελίων).

1. Πρβλ. Ἐφ. 6,12. 2. Α' Κορ. 10,11.

οὕτω καὶ ἡ ψυχὴ ἡ βουλομένη τὸν ἄνω τῆς θεότητος κόσμον κληρονομῆσαι ὑπὸ τῆς χάριτος πολυτρόπως διοικεῖται καὶ ποτὲ μὲν ἐν εὐφροσύνῃ τοῦ Πνεύματος ἀγαλλιᾶται, ποτὲ δὲ παραδίδοται πειρασμοῖς καὶ θλίψεσι τοῦ πονηροῦ πνεύματος, ἵνα οὕτω πυρωθεῖσα δόκιμος ἀποκαταστῇ.

Β'. Ὥσπερ γὰρ ἐν τῷ βίῳ οὐκ ἔστι πάντοτε εὐφορία, **118** εἰ γὰρ πάντοτε ἄνεσις ἦν καὶ τρυφή, κατεσκίρτων ἂν τοῦ Θεοῦ· «ἔφαγε» γὰρ «ὁ Ἰσραὴλ καὶ ἐπαχύνθη καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος»[1]. Οὕτω καὶ ἡ ψυχὴ εἰ πάντοτε ἐν τῇ ἀνέσει τοῦ Πνεύματος διῆγεν, οὐκέτι ἐπεγίνωσκεν ἑαυτὴν καὶ τὴν ὁδὸν τῆς «δικαιοσύνης»[2] ἠγνόει καὶ μόνον οἰήσει προέκοπτεν, ὥς φησιν ὁ ἀπόστολος, ἐπὶ συμφέροντι τὰς θλίψεις διηγούμενος· «ἐδόθη μοί» φησιν «σκόλοψ τῇ σαρκί, ἵνα μὴ ὑπεραίρωμαι»[3]. Ὁρᾷς ὅτι τῷ τοιούτῳ ἁγίῳ ἀνδρὶ αἱ θλίψεις εἰς τὸ συμφέρον ἦσαν.

Γ'. Ὥσπερ γὰρ τὸ εἶδος τῆς καννάβεως ὅσῳ τύπτεται λεπτότερον καὶ χρησιμώτερον καθίσταται, οὕτως ἡ ψυχὴ ἡ φιλόθεος εἰς πολλὰς

---

1. Δευτ. 32,15. 2. Πρβλ. Ματθ. 21,32. 3. Πρβλ. Β' Κορ. 12,7.

ἀνάγκαις, καταστροφαῖς, χαλάζαις, συμπτώσεσι καὶ ὅσα ὑπὸ Θεοῦ πρὸς παιδείαν τέτακται διὰ δικαιοσύνην καὶ ὠφέλειαν τῶν ἀνθρώπων — οὕτω καὶ ἡ ψυχὴ ἡ βουλομένη τὸν ἄνω τῆς θεότητος κόσμον κληρονομῆσαι ὑπὸ τῆς χάριτος πολυτρόπως διοικεῖται καὶ ποτὲ μὲν ἐν ἀνέσει καὶ εὐφροσύνῃ τοῦ Πνεύματος ἀγαλλιᾶται καὶ τῇ τῆς χάριτος παρακλήσει ἐνευφραίνεται, ποτὲ δὲ παραδίδοται παιδείᾳ καὶ πειρασμοῖς διαφόροις καὶ θλίψεσι παντοδαπαῖς τοῦ ἐγκοσμίου πνεύματος, ἵνα γυμνασθεῖσα διὰ πάντων καὶ δόκιμος εὑρεθεῖσα καὶ ἐν πᾶσι πειρασμοῖς γενναίως ὑπομένουσα καὶ τῆς πρὸς Θεὸν εὐαρεστήσεως ἐν μηδενὶ παρεκπεμπομένη καὶ οὕτως εὐδοκιμήσασα ἐν Χριστῷ ἀξία Θεοῦ καταστῇ χάριτι καὶ δικαιοσύνῃ τὴν αἰώνιον ζωὴν κληρονομοῦσα.

Β'. Καὶ ὥσπερ ἐν τῷ βίῳ τούτῳ οὔτε τὸ ὅλον ἀνέσεις καὶ εὐφορίαι καὶ καρπογονίαι καὶ εἰρήνη παρὰ ἀνθρώποις τυγχάνει, ἀλλὰ τῷ τῆς δικαιοσύνης ζυγῷ καὶ μέτρῳ ὁ Θεὸς παιδεύει καὶ ἐλεεῖ καὶ προνοεῖται τοῦ κόσμου, οὕτω καὶ ψυχὴ ἡ τῷ ἄνω κόσμῳ γεννηθῆναι ποθοῦσα οὐ τὸ ὅλον ἐν ἀνέσει καὶ εὐφροσύνῃ καὶ χαρᾷ τοῦ Πνεύματος γίνεται, ἀλλὰ τῷ τῆς δικαιοσύνης καὶ χάριτος ζυγῷ παιδεύει καὶ ἐλεεῖ καὶ **119** οἰκονομεῖ ταύτην ὁ Θεός. Εἰ γὰρ τὸ ὅλον ἄνεσις ἦν ἐν τῷ βίῳ παρὰ ἀνθρώποις καὶ τρυφὴ καὶ κόρος καὶ πλοῦτος ἄνευ θλίψεων καὶ ὀδυνῶν, οὐκ ἂν ἤνεγκαν καὶ ἐβάστασαν οἱ ἄνθρωποι καταφρονοῦντες τοῦ Θεοῦ καὶ εἰς τὰς τῆς σαρκὸς ἡδονὰς ἑαυτοὺς παντελῶς ἐκδιδόντες. «Ἔφαγε» γάρ φησιν «Ἰακὼβ καὶ ἐνεπλήσθη, ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος»[1]. Οὕτω καὶ εἰς τὸ πνευματικὸν ἀνάλαβε. Εἰ τὸ ὅλον καὶ ἀδιαλείπτως ἐν τῇ χαρᾷ καὶ τῇ ἀνέσει καὶ εὐφροσύνῃ τοῦ Πνεύματος μόνον διῆγεν ἡ ψυχή, οὐκ ἂν ἑαυτὴν ἔτι ἐπεγίνωσκε καὶ τὴν γυμνασίαν δὲ καὶ ὁδὸν τῆς «δικαιοσύνης»[2] ἠγνόει ἂν καὶ ὑπερήρετο, καὶ τῇ οἰήσει μόνον προέκοπτε πάντων κατεπαιρομένη καὶ οὐδ' ὡς ἄνθρωπον ἑαυτὴν ἐλογίζετο εἶναι. Ὥς φησιν ὁ ἀπόστολος· ἐν «τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων», «ἐδόθη μοι» «ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι»[3]. Ὁρᾷς ὅτι τῷ τοιούτῳ ἁγίῳ ἀνδρὶ αἱ θλίψεις εἰς συμφέρον ἦσαν. Ἔτι, ὥς φησιν ὁ αὐτός, «ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει»[4]. Ὥστε αἱ θλίψεις εἰς συμφέρον καὶ εἰς τὸ δοκιμωτέραν τὴν ψυχὴν ἀπεργάσασθαι τυγχάνουσιν.

Γ'. Ἐοίκασιν αἱ τῶν Χριστιανῶν ψυχαὶ ὑπὸ τοῦ πονηροῦ εἰς θλίψεις πολλὰς ἐρχόμεναι ἐν τῷ κόσμῳ τούτῳ εἴδει καννάβεως. Ὥσπερ γὰρ τὸ τῆς καννάβεως εἶδος ἐφ' ὅσον τύπτεται καὶ βασανίζεται τοσοῦτον λεπτότερον καὶ χρησιμώτερον καὶ καθαρώτερον ἀπαρτίζεται, εἰς τὸ γενέσθαι ἐξ αὐτοῦ λεπτότατα νήματα, καὶ ἐφ' ὅσον πλέον βασανί-

---

1. Δευτ. 32,15. 2. Πρβλ. Ματθ. 21,32. 3. Β' Κορ. 12,7.
4. Ρωμ. 5,3-5.

δοκιμασίας καὶ θλίψεις
εἰσερχομένη καὶ ὑπομένουσα
120 χρησιμωτέρα καὶ καθαρωτέρα εἰς τὸ πνευματικὸν
ἔργον καθίσταται καὶ τέλος τὸν
ἐπουράνιον τῶν ἁγίων χορὸν κληρονομεῖν καταξιοῦται.

ὑπομενούσης γὰρ τῆς ψυχῆς καὶ μακροθυμούσης κατ' ὀλίγον
τὸ τῆς κακίας μέρος μειοῦται.

ὥσπερ γὰρ ἐάν τις διοδεύῃ ὁδὸν μακρὰν βαστάζων
μαρσίπιον μεστὸν ἄμμου, ἔχῃ δὲ κάτωθεν λεπτοτάτην ὀπήν,
ὅσῳ τις βαδίζει ἐκεῖνο ἀπορρέει καὶ κουφίζεται,
ἕως ἂν ὅλη ἡ ἄμμος ἐκκενωθῇ,

οὕτω κατ' ὀλίγον

ἐλαττοῦται ἡ ἔνοικος ἁμαρτία τῷ προσκολλομένῳ τῷ Θεῷ.

Δ'. Ὥσπερ γὰρ
νήπιον πρὸς τὰ τοῦ κόσμου, ἔργα ἄχρηστον
τυγχάνει οὔτε γὰρ πόλεις οἰκοδομεῖν δύναται οὔτε φυτεῦσαι
οὔτε ἕτερόν τι
122 ποιῆσαι οὕτω ψυχαὶ μὴ δοκιμασθεῖσαι
ἐν διαφόροις θλίψεσιν ἀκμὴν
νήπιαί εἰσιν, οὔπω χρησιμεύουσι
τῇ βασιλείᾳ ὥς φησιν· «εἰ δὲ χωρίς ἐστε
παιδείας», «ἄρα νόθοι καὶ οὐχ υἱοί ἐστε»[1].
Ἴδε, πόσον αἱ θλίψεις εἰς συμφέρον
εἰσὶ τῷ ἀνθρώπῳ,
μόνον ἵνα τις προθύμως καὶ γενναίως ἑαυτὸν ἑτοιμάσῃ
φέρειν.

---

1. Ἑβρ. 12,8.

ζεται καὶ καταξαίνεται πλέον χρησιμώτερον καθίσταται, οὕτω καὶ αἱ φιλόθεοι καὶ φιλαλήθεις τῶν Χριστιανῶν ψυχαί, ἐφ' ὅσον εἰς πολλὰς θλίψεις καὶ δοκιμασίας καὶ πειρασμοὺς ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων εἰσέρχονται, αὐταὶ δὲ ὑπομένουσι καὶ μακροθυμοῦσι,
121 καθαρώτεραι καὶ χρησιμώτεραι καὶ δοκιμώτεραι εἰς τὸ πνευματικὸν τῆς λεπτότητος τῆς χάριτος ἔργον κατασκευάζονται καὶ τέλος τὸν ἐπουράνιον τῶν ἁγίων χῶρον οἰκεῖν καταξιοῦνται. Δοκιμαζομένη γὰρ ἡ ψυχὴ ἐν τοῖς πολλοῖς πειρασμοῖς καὶ ταῖς διαφόροις θλίψεσι καὶ ὑπὸ τῆς χάριτος βοηθουμένη, ὑπομένουσα μακροθύμως ἐπ' ἐλπίδι τοῦ Κυρίου πᾶν τὸ τῆς κακίας εἶδος ἐξ αὐτῆς κατ' ὀλίγον μειοῖ καὶ τὸ βαρὺ τῆς συνοικούσης ἁμαρτίας φορτίον ἀποτίθεται τοιούτῳ τινὶ τρόπῳ· ὥσπερ ἐάν τις ὁδεύῃ ὁδὸν μακρὰν ἀπερχόμενος εἰς πόλιν τινά, βαστάζῃ δὲ μαρσίπιον μεστὸν ἄμμου, τὸ δὲ τοιοῦτον ἔχῃ κάτωθεν ὀπὴν λεπτοτάτην, καὶ ὅσῳ βαδίζει καθ' ὅλης τῆς ὁδοῦ ἀπορρέῃ καὶ αὐτὸς κουφίζεται, καὶ τέλος καταντήσαντος ἐν τῇ πόλει ἡ βαρυτάτη ἄμμος ἐκενώθη καὶ αὐτὸς ἠλαφρύνθη καὶ ἀνεπαύθη τελείως ἀπὸ τοῦ βάρους τῆς ἄμμου — οὕτω καὶ τῆς κατ' ἀλήθειαν ἀγωνιζομένης ψυχῆς διοδευούσης τὴν ὁδὸν τῆς «δικαιοσύνης»[1] καὶ εἰς τὴν πόλιν τῆς βασιλείας ἐπειγομένης, βασταζούσης δὲ μεθ' ἑαυτῆς τὸ βαρὺ φορτίον τῆς ἁμαρτίας τῶν παθῶν, ἐφ' ὅσον διοδεύει τὴν ὁδὸν τῶν ἀρετῶν καὶ τῷ Κυρίῳ προσκολλᾶται, τοσοῦτον ἡ ἁμαρτία καὶ τὰ πάθη μειοῦνται καὶ αὐτὴ ἡ αἴσθησις ἐλαφρότητος καὶ πραϋπαθείας ἐν ἑαυτῇ αἰσθάνεται. Ἐὰν δὲ τελείως προσκολληθῇ καὶ ὁλοκλήρως καὶ τὴν ὁδὸν τῆς «δικαιοσύνης»[2] ἀμώμως καὶ καλῶς διοδεύσῃ, εἰς αὐτὴν τὴν κατάπαυσιν τοῦ πληρώματος τῆς χάριτος εἰσελθεῖν καταξιοῦται παντελῶς τοῦ βαρυτάτου φορτίου τῆς ἁμαρτίας τῶν παθῶν λυτρωθεῖσα. Πρότερον δὲ διὰ πολλῶν πειρασμῶν καὶ θλίψεων διελθεῖν δεῖ, καὶ οὕτω εἰς τὴν κατάπαυσιν τοῦ πληρώματος τῆς χάριτος εἰσέρχεται, τοῦτ' ἔστι τῆς ἀπαθείας τυχεῖν καταξιοῦται.

Δ'. Ὥσπερ γὰρ τὸ νεόπλαστον σκεῦος τῷ πυρὶ μὴ βληθὲν ἀποίητόν ἐστι τοῖς ἀνθρώποις ἢ ὥσπερ νήπιον βρέφος ὡς πρὸς τὰ τοῦ κόσμου ἔργα ἀνεπιτήδειον τυγχάνει, οὔτε γὰρ πόλιν οἰκοδομεῖν οὔτε φυτεῦσαι δύναται, οὐ σπόρον καταθέσθαι οὐδὲ ἕτερόν τι ἔργον τοῦ κόσμου ἐπι-
123τελεῖν· νήπιον γάρ ἐστιν. Οὕτω καὶ ψυχαὶ ἀπείραστοι καὶ μὴ δοκιμασθεῖσαι ἐν διαφόροις θλίψεσιν ὑπὸ τῶν πνευμάτων τῆς πονηρίας ἀκμὴν νήπιαι καὶ ἀγύμναστοι τυγχάνουσι καὶ (ὥσπερ εἰπεῖν) οὐδέπω χρησιμεύουσι τῇ βασιλείᾳ, ὥς φησιν ὁ μακάριος Παῦλος· «εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι καὶ οὐχ υἱοί ἐστε»[3]. Ἰδού, πόσον αἱ θλίψεις «καὶ οἱ δοκιμασμοὶ καὶ οἱ πειρασμοὶ» εἰς συμφέρον εἰσὶ τῷ ἀνθρώπῳ, χρήσιμον καὶ δόκιμον τὴν ψυχὴν ἀπεργαζόμεναι. Μόνον ἵνα τις προθύμως καὶ γενναίως καὶ ἀνδρείως ἑαυτὸν

---

1. Πρβλ. Ματθ. 21,32. 2. Πρβλ. Ἔνθ' ἀν. 3. Ἑβρ. 12,8.

Ε΄. Εἰ γὰρ ἐν τῷ βίῳ τούτῳ εἰς ἀξιώματα καὶ προκοπὰς μεγάλας
οὐ δυνήσεταί τις διελθεῖν,
ἐὰν μὴ πρότερον ἐν πολλῇ γυμνασίᾳ γένηται καὶ
εἰς πόνους καὶ εἰς πολέμους
εὐδοκιμήσῃ πείρᾳ ἐπιδειξάμενος τὴν νίκην καὶ
τρόπαια κατὰ τῶν ὑπεναντίων φέρων —
πόσῳ μᾶλλον ἐπὶ τῷ ἐπουρανίῳ καὶ ἀληθινῷ βασιλεῖ
124 τὰς δωρεὰς τοῦ Πνεύματος τὰς ἐπουρανίους
οὐδεὶς καταξιοῦται, ἐὰν μὴ
πρότερον ἐγγυμνασθῇ ἐν τῇ
μελέτῃ τῶν ἁγίων ἐντολῶν,
καὶ οὕτω λαμβάνει ὅπλον ἐπουράνιον (αὐτὴν
τὴν χάριν) καὶ ἀγωνίζεται κατὰ τῶν πνευμάτων
«τῆς πονηρίας»[1].

---

1. Πρβλ. Ἐφ. 6,12.

ἑτοιμάζῃ, φέρων ἐν ὑπομονῇ τὰ ἐπερχόμενα, καὶ ἵνα κρατήσῃ τῆς ἐλπίδος καὶ τῆς πεποιθήσεως, ἔχων τὴν προσδοκίαν τῆς λυτρώσεως πάντοτε καὶ θαρσῶν τῇ εὐσπλαγχνίᾳ τοῦ Χριστοῦ, ὅτι οὐκ ἀφίησιν εἰς τέλος ψυχὴν ζητοῦσαν αὐτὸν πειρασθῆναι ὑπὲρ δύναμιν, «ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν»[1].

Ε'. Ἔτι δὲ καὶ τοῦτο ἐν ἑαυτῷ κρίνει, ὅτι καὶ ἐὰν ἀποκτενεῖ με καὶ μυρία ἕτερα χείρονα παθῶ παραχωρηθεὶς ὑπὸ τοῦ Κυρίου μου παθεῖν καὶ θλιβῆναι ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων, ἐγὼ αὐτὸν οὐκ ἀφίημι. Πιστὸς γάρ ἐστιν, ὃς ἐξελεῖταί με ἐκ πάσης θλίψεως «καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν»[2] ἀναγάγῃ με, καὶ οὕτως ἑαυτὸν ὅλον ἐξ ὅλου τῷ Κυρίῳ ἀποδεδωκὼς καὶ εἰς τέλος ὑπομείνας ὕστερον τῆς εὐεργεσίας καὶ τῆς ἀντιλήψεως καὶ τῆς τῶν ἀγαθῶν ἀνταποδόσεως πεῖραν λήψεται, καθώς φησιν ὁ Κύριος· «ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται»[3]. Εἰ γὰρ ἐν τῷ βίῳ τούτῳ εἰς ἀξιώματα καὶ προκοπὰς οὐ δύνανται ἐλθεῖν οἱ ἄνθρωποι οὐδὲ ἀξίωμά τι μεῖζον παρὰ βασιλέως λαμβάνειν, ἐὰν μὴ πρότερον ἐν πολλῇ γυμνασίᾳ γένωνται καὶ ἀνδραγαθήματα πολλὰ ἐπιδείξωνται εἰς πόλεμον εἰσελθόντες, πᾶσαν πολεμικὴν τέχνην μαθόντες καὶ ἐγγυμνασάμενοι καὶ πείρᾳ τὴν νίκην ἐπιδειξάμενοι καὶ τρόπαια κατὰ τῶν ἐναντίων ἀράμενοι καὶ εἰς πάντα τῷ βασιλεῖ εὐδοκιμήσαντες (τότε γὰρ ἀξιωμάτων καὶ τιμῶν μεγάλων βασιλικῶν καταξιοῦνται) — πόσῳ μᾶλλον παρὰ τῷ ἐπουρανίῳ καὶ ἀληθινῷ βασιλεῖ **125** τὰ ἀξιώματα τῆς χάριτος καὶ τῆς δωρεᾶς τοῦ Πνεύματος[4] καὶ τὰ οὐράνια παρὰ Θεοῦ δόγματα οὐδεὶς καταξιοῦται εὐθὺς λαμβάνειν, ἐὰν μὴ πρότερον ἐγγυμνάζηται διὰ παντὸς ὁ νοῦς τῇ τῶν ἀγαθῶν ἐννοιῶν μελέτῃ καὶ τῇ τῶν ἁγίων ἐντολῶν προσοχῇ καὶ τῇ πρὸς Θεὸν πεποιθήσει, καὶ οὕτω καταξιωθῇ χάριτος καὶ λάβῃ οὐράνιον ὅπλον (αὐτὸ τὸ Πνεῦμα) καὶ ἐν αὐτῷ μεγάλως εὐδοκιμήσῃ κατὰ τῶν πνευμάτων «τῆς πονηρίας»[5] ἀγωνιζόμενος, καὶ συμφωνῶν καὶ συνενούμενος τῇ δοθείσῃ αὐτῷ παρὰ τοῦ Θεοῦ χάριτι καὶ τῷ οὐρανίῳ ὅπλῳ σύμμαχος καὶ συμπολεμιστὴς κατὰ τῆς κακίας διὰ παντὸς γεγονὼς καὶ τροπωσάμενος διὰ πολλῶν πόνων καὶ ἀγώνων καὶ δοκιμασιῶν τὸν «πρὸς τὰ πνευματικὰ τῆς πονηρίας»[6] πόλεμον. Καὶ ὅτε τὴν νίκην ἄρηται κατὰ τῶν ἐχθρῶν, τότε ἀξιωμάτων θείων καὶ ἐπουρανίων καὶ τιμῶν ἐνδόξων καὶ πνευματικῶν παρὰ τῷ ἐπουρανίῳ βασιλεῖ τυχεῖν καταξιοῦται, δυνάμενος οὗτος καὶ ἑτέρους λοιπὸν καταρτίζειν καὶ διδάσκειν πόλεμον. Εἰ γὰρ ἀπὸ ἀγέλης ἁπλῶς ἄνθρωπος κοινὸς ληφθῇ μὴ εἰδὼς πόλεμον μήτε πεῖραν ἔχων πολεμικῶν πραγμάτων καὶ εὐθὺς στρατηλάτης καταστῇ πάντων γέλωτος ἄξιός ἐστι τῶν πολεμικῶν κατάρχειν βουλόμενος αὐτὸς πρότερον μὴ εἰδὼς πόλεμον. Οὕτως καὶ εἰς τὸ πνευ-

---

1. Α' Κορ. 10,13. 2. Πρβλ. Ψαλ. 70,20. 21. 23. 3. Ματθ. 10,22. 24,13. 4. Πρβλ. Πράξ. 2,38. 10,45. 5. Πρβλ. Ἐφ. 6,12. 6. Πρβλ. Ἔνθ' ἀν.

126 ὅσῳ γάρ τις προκόπτει εἰς τὸν πνευματικὸν ἀγῶνα ἀκμὴν λαμβάνει τῶν πνευματικῶν μυστηρίων καὶ τῶν τῆς σοφίας ἀποκρύφων θησαυρῶν, καὶ ὅσῳ ἐν τῇ χάριτι αὐξάνει, τοσούτῳ προκόπτει εἰς τὸ γινώσκειν τὰ τῆς κακίας «νοήματα».

ματικὸν ὁ τὸν λόγον τοῦ Θεοῦ ὑφηγούμενος καὶ ψυχῶν προϊστάμενος ἔμπειρος κατὰ πάντα τῶν πνευματικῶν πραγμάτων εἶναι ὀφείλει, ἵνα ὧνπερ ὑφηγεῖται λόγων πείρᾳ τὴν ἐργασίαν ἐπιδειξάμενος ὠφέλειαν καὶ βοήθειαν δι' ἑαυτοῦ τοῖς ἀκούουσιν ἑκάστοτε προσάγῃ. Ἡ γὰρ τοῦ Θεοῦ σοφία καὶ ἡ ὁδὸς τοῦ Χριστιανισμοῦ καὶ τὸ τῆς χάριτος ἔργον ἐν τῇ πιστῇ ψυχῇ καταρτιζόμενον ἐν πολλῇ τινι λεπτότητι καὶ αὐξήσει καὶ προκοπῇ ἐπιτελεῖται καὶ ὅτε τις νομίσει τετελεκέναι τότε ἄρξασθαι αὐτὸν δεῖ ἐνδοτέρου πράγματος, τῶν τοῦ Πνεύματος μυστηείων καὶ προκοπῶν πνευματικῶν ἐν ψυχῇ γινομένων, καὶ πολλάκις ρομίσας τελέσαι πολλάκις καὶ ἄρξασθαι ἔχει. Εἰ γὰρ ἐν τῷ βίῳ τούτῳ νν τῇ κοσμικῇ σοφίᾳ ἐστὶ — λέγω δὴ χαμαιδιδασκάλων εἶτα γραμματικῶν εἶτα ῥητόρων πάλιν σοφιστῶν τέλος φιλοσόφων — καὶ ἐπάν τις πάντας τοὺς διδασκάλους διέλθοι ἓν τελειῶν καὶ ἑτέρου ἀρχόμενος, τότε δίκας λέγειν ἐπ' ἀρχόντων ἄρχεται εἶτα χρόνοις ἐπευδοκιμήσας γίνεται κατὰ καιροὺς καὶ αὐτὸς ἄρχων, καὶ τότε πάλιν συγκάθεδρον ἑαυτῷ λαμβάνει μήτι αὐτὸν τοῦ δικαίου παρέλθοι. Εἰ οὖν ἐν τῷ κόσμῳ τούτῳ τοσαύτη σοφίας λεπτότης καὶ προκοπὴ τυγχάνει, πόσῳ μᾶλλον ἡ ἄρρητος καὶ **127** ἄπειρος τοῦ Θεοῦ σοφία καὶ ἡ ὁδὸς τοῦ Χριστιανισμοῦ πολλήν τινα λεπτότητα καὶ πολλὰς προκοπὰς ἔχει. Καὶ ὅσῳ τις προκόπτει, ἀρχὴν λαμβάνει ἑτέρων πραγμάτων, τῶν τοῦ Πνεύματος μυστηρίων καὶ τῶν τῆς σοφίας ἀποκρύφων θησαυρῶν ἐνδότερον γίνεται, καὶ ὅσῳ ἐν τῇ χάριτι αὔξει καὶ προκόπτει καὶ τῇ τοῦ Θεοῦ γνώσει πλουτεῖ, τοσούτῳ καὶ τὰ τῆς κακίας «νοήματα» καὶ πανουργεύματα ἐπιγινώσκει, ὡς φησιν ὁ ἀπόστολος· «οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν»[1]. Τηλικαύτης τοίνυν προκειμένης ἡμῖν ἐλπίδος καὶ τοσούτων πνευματικῶν ἀγαθῶν τοῖς ἐν ἀληθείᾳ βουλομένοις ἀγωνίζεσθαι ἡτοιμασμένων καὶ ἡμεῖς ἑαυτοὺς ὅλῃ δυνάμει ἀποδῶμεν εἰς τὴν πρὸς Θεὸν εὐαρέστησιν, ἵνα τῶν πνευματικῶν χαρισμάτων τυχόντες καὶ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ προκόψαντες καὶ πάντα πειρασμὸν καὶ θλῖψιν διὰ τῆς χάριτος τοῦ Χριστοῦ ὑπερβάντες καὶ τοῦ ἁγιασμοῦ τελείως καταξιωθέντες τῆς αἰωνίου ζωῆς ἄξιοι γενώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1. Β' Κορ. 2,11.

ΟΜΙΛΙΑ ΚΔ΄ (=ΠΑ΄)

128 Πολὺ διαφέρουσι καὶ κρείττους τυγχάνουσιν αἱ τοιαῦται ψυχαὶ παρὰ τὰς λοιπὰς τὰς ἐν κόσμῳ οὔσας, ὡς ἂν εἴποιμι φῶς σκότους ἢ οἱ ζῶντες τῶν νεκρῶν. Οὐ μόνον δὲ αὗται ἀλλὰ καὶ αἱ διὰ τῆς ἀκοῆς τὸν τῆς ἀληθείας λόγον ὑποδεχόμεναι καὶ ἐν ἁπλότητι πολλῇ πιστεύουσαι καὶ εἰς ταύτην τὴν ἐλπίδα ἑστῶσαι τῇ προσδοκίᾳ τῆς χάριτος, κἂν αὐτῶν τῶν χαρισμάτων ἀκμὴν οὐ τετυχήκασι, πολὺ τῶν λοιπῶν διαφέρουσιν ἀνθρώπων διά τε τῆς πίστεως καὶ ἐλπίδος καὶ πάσης ἐν ἀρεταῖς σπουδῆς. Αὗται γὰρ ὡς εἰπεῖν ἐντὸς ἤδη τῆς αὐλῆς εἰσι διὰ τῆς ἐλπίδος τοῦ λόγου παραδεχθέντος καὶ καταυλιζομένου ἐν αὐταῖς. Οὐ μικρὸν γὰρ τυγχάνει καὶ αὐτὸν τὸν τῆς ἀληθείας ἀκρότατον λόγον παραδέξασθαι καὶ εἰσοικῆσαι ἔνδον καὶ καθαρίσαι πάσας τὰς ἰδίας ἐν ὑπονοίᾳ δοκήσεως οἰκοδομὰς καὶ ἀναθεῖναι τὴν ψυχὴν ἑαυτὴν τῇ ἐλπίδι τοῦ Θεοῦ καὶ τοῦ λόγου αὐτοῦ καὶ οὕτως ἀγωνίσασθαι σὺν τῇ τοῦ Κυρίου βοηθείᾳ «πρὸς τὰ πνευματικὰ τῆς πονηρίας»[1]. Οὐ μικρὸς οὖν ἀγὼν καὶ προκοπὴ τὸ κἂν ἐν τῷ λόγῳ τοῦ Θεοῦ δυνηθῆναι στῆναί τινα καὶ πᾶσαν τὴν ἐλπίδα ἔχειν εἰς τὸ ἔλεος τοῦ Κυρίου καὶ κατὰ χάριν ἀγωνιζόμενον πιστεύειν σῴζεσθαι καὶ διὰ τῆς δυνάμεως καὶ βοηθείας τοῦ Κυρίου ἐλπίζειν νικῆσαι τὰ «τῆς πονηρίας»[2] πνεύματα καὶ πάντων τῶν παθῶν περιγενέσθαι διὰ τοῦ Πνεύματος. Πολὺ γὰρ καὶ αἱ τοιαῦται ψυχαὶ ἤδη τῶν λοιπῶν διαφέρουσιν, μόνον ἐὰν «ἕως τέλους»[3] ἐμμείνωσι τῇ ἐλπίδι καὶ πίστει καὶ δρόμῳ καὶ σπουδῇ καὶ σκοπῷ, ἵνα αὐτῇ τῇ πείρᾳ τῶν εὐεργεσιῶν τῆς χάριτος καὶ ἀπαλλαγῆς **129** τῆς κακίας τῶν παθῶν τὴν ἐπίγνωσιν λαβοῦσαι «σωτηρίας αἰωνίου»[4] τύχωσιν. Οἱ γὰρ τῆς «ἡμέρας υἱοὶ»[5] τὰ τῆς ἡμέρας ἐπιτελοῦσι πράγματα καὶ τὰ τῆς νυκτὸς τέκνα (τοῦτ' ἔστι μοιχοὶ καὶ κλέπται καὶ φαρμακοὶ) ὁμοίως τὰ τῆς νυκτὸς ἔργα ἐκτελοῦσιν, ἐν μὲν τῇ ἡμέρᾳ καθεύδοντες τὴν δὲ ἐργασίαν ἐν τῇ νυκτὶ ἔχοντες. Οὕτω καὶ τοῦ Ἀδὰμ πεσόντος ἐκ τῆς ἐντολῆς καὶ ἐν τῇ παραβάσει γεγονότος συνέτριψαν τὰ τῆς νυκτὸς τέκνα (τοῦτ' ἔστι τὰ «τῆς πονηρίας»[6] πνεύματα) τὰ καλὰ καὶ ἐράσμια τῆς ψυχῆς μέλη καὶ ἄτονον καὶ ἀσθενῆ αὐτὴν ἀπὸ τοῦ ἀγαθοῦ πεποιήκασι σκοτίσαντες καὶ ἀνιάτως συντρίψαντες, ὡς μηδενὶ τῶν πατέρων ἢ προφητῶν ἰάσασθαι δυνατὸν <εἶναι> εἰ μὴ μόνον τῷ Κυρίῳ τῷ κατασκευάσαντι αὐτήν. [Διὸ καὶ ἡ ἔλευσις τῆς ἀπείρου αὐτοῦ ἀγαθότητος ἐν τοσαύτῃ ἐλαττώσει καὶ ταπεινότητι γεγένηται, τοῦ ἀνορθῶσαι τὴν πεπτωκυῖαν ἐν τῇ πονηρίᾳ ψυχήν· «ἀνορθώσω» (γάρ φησιν) «καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω»[7] καὶ τῇ ἐν νυκτὶ καὶ σκότει διαιτωμένῃ καὶ τὰ ἔργα τῆς νυ-

1. Πρβλ. Ἐφ. 6,12. 2. Πρβλ. Ἔνθ' ἀν. 3. Πρβλ. Ἑβρ. 6,11. 4. Πρβλ. Ἑβρ. 5,9. 5. Πρβλ. Α' Θεσ. 5,5. 6. Πρβλ. Ἐφ. 6,12. 7. Πράξ. 15,16. Ἀμ. 9,11.

κτὸς ἐπιτελούσῃ ἔν τε ταῖς πονηρίαις τῶν παθῶν <πιπτούσῃ> ἔλαμψεν εἰς αὐτὴν τὴν ἁγίαν τοῦ φωτὸς αὐτοῦ ἡμέραν, ἵνα λοιπὸν ἀνανήψασα ἀπροσκόπως ὁδεύῃ, τὰ τῆς ἡμέρας καὶ τοῦ φωτὸς ἔργα τῆς ζωῆς ἐπιτελοῦσα, ἵν' οὕτως ἀξία τῆς βασιλείας τῶν οὐρανῶν εὑρεθῇ. Ἐκεῖθεν γὰρ τρέφεται ψυχὴ ἔνθα καί ἐστιν, ἔνθα καὶ προσκολλᾶται, ἤτοι ἐκ τοῦ πνεύματος «τοῦ κόσμου»[1] ἢ ἐκ τοῦ Πνεύματος τοῦ Θεοῦ, καὶ ὅθεν τρέφεται ἐκεῖθεν καὶ ζῇ. Τὸ λοιπὸν ἕκαστος εἰ βούλεται δοκιμάσαι ἑαυτὸν καὶ ἐπιγνῶναι, πόθεν τρέφεται καὶ ἐν οἷς ἡ καρδία ἐστίν, ἵν' οὕτω συνήσας καὶ τὴν διάκρισιν κτησάμενος τῇ ἐπὶ τὸ ἀγαθὸν ὁρμῇ ἑαυτὸν ἐκδῷ, πορευόμενος ἕκαστος εἰς τὴν προσευχὴν καταμανθανέτω τοὺς λογισμοὺς τῆς καρδίας καὶ τὰ ἐνεργήματα τῆς διανοίας πόθεν ἐστίν, ἐκ τοῦ πνεύματος «τοῦ κόσμου»[2] ἢ ἐκ τοῦ Πνεύματος τοῦ Θεοῦ, καὶ τίνες προσφέρουσι τῇ καρδίᾳ τροφάς, οἱ ἄνωθεν ἢ οἱ ἐκ τοῦ αἰῶνος τούτου. Καὶ δοκιμάσασα καὶ ἐπιγνοῦσα, ὦ ψυχή, αἰτοῦ τὸν Κύριον μετὰ πολλοῦ πόνου ἐκείνην τὴν ἐπουράνιον **130** τροφὴν μόνον τρέφεσθαι τὴν καρδίαν, ἵνα ἐκεῖ αὐξάνῃ κἀκεῖ ἐργάζηται κἀκεῖ διαιτᾶται ὅλη ἐξ ὅλου τῷ οὐρανίῳ τοῦ Πνεύματος φρονήματι, ὅθεν καὶ χορηγεῖται αὐτῇ ἡ ἐπουράνιος βρῶσις κατὰ τὸ εἰρημένον· «ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει»[3]]*, ἵνα καὶ τῆς ἐκεῖ κληρονομίας εὐαρεστήσασα τελείως ἀξία καταστῇ τῶν αἰωνίων ἀγαθῶν ἐφιεμένη εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΕ' (=ΠΒ')

131 Α'. Πάντες οἱ ἄνθρωποι ὑπὲρ τῶν καλῶν ἐπιτηδευμάτων τὸν λόγον ποιοῦνται καὶ πᾶσαι αἱ θεόπνευστοι Γραφαὶ νόμου ἢ προφητῶν ἢ οἱ εὐαγγελικοὶ τοῦ Κυρίου λόγοι καὶ τῶν ἀποστόλων κατὰ τῶν κακοποιῶν τιμωρίας ὡρίσαντο καὶ τοὺς τὰ καλὰ καὶ ἀγαθὰ ἔργα πράττοντας ἀποδέχονται καὶ τούτοις αἰώνιον βασιλείαν ἐπαγγέλλονται, οἵ τε ἔξωθεν τῶν ἐθνῶν νόμοι καὶ οἱ ἄρχοντες αὐτῶν τιμωροῦνται τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων πρὸς φόβον τῶν λοιπῶν, ἀναστέλλειν καὶ ἀνακόπτειν τὴν τῶν κακῶν ἐργασίαν βουλόμενοι. Τῶν δὲ κακῶν ἔργων εἰς τὸ προφανὲς διδάσκαλος καὶ κήρυξ οὐδεὶς τυγχάνει, ἀλλὰ πάντες τῶν καλῶν ἔργων τὸν ἔπαινον ποιοῦνται — καὶ ἰδού, ὡς ὁρῶμεν, τὰ κακὰ ἐπὶ τὸ πλεῖστον ἐπικρατεῖ καὶ αὐτὰ ἐπιτελεῖται καὶ αὐτὰ ἐν κόσμῳ βασιλεύει. Ἔνθεν οἱ φρόνιμοι καὶ συνετοὶ νοῆσαι δύνανται διὰ πείρας, ἅπερ καὶ διὰ τῶν Γραφῶν παραλαμβάνουσιν, ὅτι δύναμίς τίς ἐστιν ἐναντία κακίας, ἐν κρυπτῷ ποιμαίνουσα καὶ ἀποπλανῶσα τὸ γένος τῶν ἀνθρώπων εἰς τὰ κακὰ καὶ ἐπὶ καρδίᾳ ἀοράτως διδάσκουσα πᾶσαν ἀσέβειαν. Πάντας λοιπόν ἐστιν ἐπιτελεῖν τὰ κρυπτῶς δι' αὐτῶν

---

* Πρβλ. Μακαρίου, Ὁμιλία ΛΑ',5.

1. Πρβλ. Α' Κορ. 2,12. 2. Πρβλ. Ἔνθ' ἀν. 3. Φιλιπ. 3,20.

ὑποσπειρόμενα κατὰ τὸ ἴδιον τῆς ἐξουσίας βούλημα, ἅπερ οἱ πλεῖστοι οὐκ ἐπίστανται πόθεν ὑποσπείρεται, ἀλλὰ φυσικήν τινα ἀγωγὴν ὑπο**132**λαμβάνουσι διὰ τὴν συνήθειαν τοὺς παρὰ φύσιν πονηροὺς διαλογισμοὺς ἐκ τῆς καρδίας ἀναδίδοσθαι. Τὰ δὲ φρονήματα τῶν νοημάτων τῶν ψυχῶν διαφόρως ὑπὸ τοῦ δημιουργοῦ ἐν τῇ ἀνθρωπότητι κατεσκεύασται. Ὥσπερ ἐάν τις ἔχῃ μεγάλην οὐσίαν ἔν τε χρήμασι καὶ σκεύεσι, χρυσῷ τε καὶ ἀργύρῳ καὶ πάσῃ ἐνδυμενίᾳ, καὶ ἕτερος κέκτηται οὐσίαν ἐλαχίστην ἐν πᾶσιν, ἄλλος δὲ σύμμετρον οὐσίαν κέκτηται — οὕτω καὶ αἱ ψυχαί εἰσι τῶν ἀνθρώπων· διαφορὰν γὰρ πολλὴν κέκτηνται ἐν τῇ ἀοράτῳ οὐσίᾳ καὶ τῇ τῶν λογισμῶν διακρίσει. Οἱ μὲν γὰρ πλατεῖς τῷ νῷ, οἱ δὲ ἐν στενότητι τυγχάνουσιν.

Β΄. Ἐπειδὴ τοίνυν ἔστιν οὐσία φωτὸς ἀγαθὴ λογική τε καὶ νοερά, ἥτις ἐστὶν ὁ Θεός, καί ἔστιν οὐσία ἐκ προαιρέσεως σκοτεινή, ἥτις ἐστὶ τὰ πνεύματα «τῆς πλάνης»[1] καὶ «ὁ ἄρχων» «τοῦ αἰῶνος τούτου»[2]. Τῇ ψυχῇ τῇ ἐχούσῃ ὀλίγην ὑπόστασιν νοὸς καὶ διακρίσεως ἢ πάλιν τῇ πλουσίᾳ ἐν τῇ τῶν λογισμῶν καὶ συνέσεως καὶ διακρίσεως κτήσει ὁ ἀγὼν καὶ ἡ σπουδὴ καὶ ὁ δρόμος γενέσθω καὶ τοῦτο ζητήσει, ὅπως τῇ οὐσίᾳ τοῦ θείου καὶ ἐπουρανίου καὶ νοεροῦ φωτὸς κολληθῆναι καταξιωθῇ, ἵνα ὑπ' αὐτοῦ φυλάσσεσθαι ἀπὸ τῆς τῶν παθῶν νόσου δύνηται, καὶ ἵνα ὑπ' αὐτοῦ διδάσκηται καὶ ὁδηγῆται εἰς πᾶσαν ἀγαθὴν τῶν ἁγίων ἐντολῶν ἐργασίαν· διὰ γὰρ τῆς θείας δυνάμεως ἁγιασθεῖσα ἁγία καὶ καθαρὰ ἀποδειχθήσεται. Καὶ αὖθις ἀγὼν μέγας καὶ σπουδὴ γενέσθω ἑκάστῃ ψυχῇ «τῆς ἐξουσίας τοῦ σκότους»[3] τοῦ λογικοῦ καὶ πονηροῦ, τῶν πνευμάτων «τῆς πονηρίας»[4] καὶ παθῶν κακίας λυτρωθῆναι, ἐπειδὴ ἀπὸ «τῆς παραβάσεως Ἀδάμ»[5] σύνεστι τῇ ψυχῇ τὰ προειρημένα κακὰ πολεμοῦντα. Οὗτος οὖν ὁ σκοπὸς παντὶ τῷ βουλομένῳ τῆς βασιλείας καταξιωθῆναι γενέσθω, ἤτοι ἐν πλάτει ἢ ἐν στενότητι τοῦ **133** νοὸς ὑπάρχοντι, ἵνα τῆς κακίας τῶν παθῶν λυτρωθῇ καὶ τῆς τοῦ Πνεύματος οὐσίας κοινωνὸς γενέσθαι καταξιωθῇ. Ἡ νίκη γὰρ καὶ ἡ ἧττα διὰ τοῦ αὐτεξουσίου θελήματος γίνεται, ἤτοι τῶν ἐναντίων ὑπεύθυνον ἑαυτὸν καταστῆναι ἢ διὰ τῆς χάριτος ἀγωνίσασθαι καὶ νικῆσαι τὰ πάθη καὶ τῷ πνεύματι κοινωνῆσαι τὴν ψυχὴν ἁγιασθεῖσαν καὶ ἑνωθεῖσαν τῇ χάριτι ἀξίαν τοῦ Κυρίου γενέσθαι, καὶ οὕτω τὴν βασιλείαν κληρονομεῖν καταξιοῦται. Ἧπερ γὰρ ἂν ψυχῇ σύνεστιν ἡ δύναμις τοῦ σκότους τῶν παθῶν καὶ τῆς κακίας τῶν πονηρῶν πνευμάτων καὶ οἵᾳ ψυχῇ συναναστρέφεται καὶ ἐμπεριπατεῖ τὰ «τῆς πλάνης»[6] ἀόρατα πνεύματα ἐν ταῖς ὁδοῖς καὶ τρίβοις τῶν λογισμῶν διὰ τῶν παθῶν τὴν ἐνέργειαν ἐπιτελοῦντα καὶ συγκοινωνὸς αὐτῶν γινομένη, ἐν τῷ ἐξελθεῖν αὐτὴν ἐκ τοῦ σώματος τὰ πνεύματα «τῆς πλάνης»[7]

---

1. Πρβλ. Α΄ Ἰω. 4,6. 2. Πρβλ. Ἰω. 12,31. Α΄ Κορ. 2,6. 8. 3. Κολ. 1,13. 4. Πρβλ. Ἐφ. 6,12. 5. Πρβλ. Ρωμ. 5,14. 6. Πρβλ. Α΄ Ἰω. 4,6. 7. Πρβλ. Ἔνθ' ἀν.

καὶ ὁ κακοῖς χαίρων ἄρχων, ὁ κοσμοκράτωρ «τοῦ σκότους»[1], ἀποδέχεται καὶ ἀπολαμβάνει αὐτὴν καὶ κατέχει πρὸς ἑαυτὸν ὡς ἰδίαν καὶ οἰκείαν αὐτοῦ καὶ τὸ θέλημα αὐτοῦ ἐργασαμένην καὶ μετ' αὐτοῦ ἐν σαρκὶ εἰς τέλος συναναστραφεῖσαν. Καὶ πάλιν ἧπερ ἂν ψυχῇ σύνεστιν ἡ οὐσία τοῦ ἐπιθυμητοῦ καὶ ἀνεκλαλήτου κάλλους τοῦ φωτὸς τοῦ θεϊκοῦ Πνεύματος, καὶ ἧπερ ἂν ψυχῇ συναναστρέφεται καὶ ἐμπεριπατεῖ ἡ τῆς ἀληθείας τοῦ Χριστοῦ χάρις καὶ ἐν ταῖς ὁδοῖς καὶ τρίβοις τῶν λογισμῶν καὶ τοῦ ἁγιασμοῦ τῆς καρδίας καὶ ἐνοικήσεως Χριστοῦ ἐντεῦθεν καταξιωθῇ, ἐν τῷ ἐξέρχεσθαι αὐτὴν ἐκ τοῦ σώματος τὰ πνεύματα τῶν ἁγίων τοῦ φωτὸς καὶ ὁ «βασιλεὺς» τῆς «εἰρήνης»[2] Χριστὸς ὁ ἀγαθαῖς ψυχαῖς χαίρων ταύτην ἀποδέχεται καὶ ἀπολαμβάνει πρὸς ἑαυτὸν ὡς ἰδίαν 'νύμφην καὶ οἰκείαν αὐτοῦ καὶ τὸ ἐκείνου θέλημα ἐπὶ γῆς μόνον ἐργασαμένην.

134 Γ'. Τὸ λοιπὸν ἕκαστος τῶν ἀνθρώπων ἐπισκεψάμενος τὴν ἑαυτοῦ καρδίαν καὶ ἐγκύψας τοῖς ἰδίοις λογισμοῖς προσχεῖν ὀφείλει ἀκριβέστατα, ποῦ ἡ ψυχή, ποῦ ὁ νοῦς ῥέπει καὶ ποία κοινωνία σύνεστιν αὐτῷ ἢ τοῦ Πνεύματος τοῦ Θεοῦ ἢ τοῦ πνεύματος τοῦ κόσμου, καὶ ποῦ δέδεται καὶ ποῦ ἀγαπᾷ, ἄρα ἐν ταῖς ἐντολαῖς τῆς ζωῆς καὶ τῷ θελήματι τοῦ Θεοῦ ἐν τῷ ἀγαπᾶν αὐτὸν μόνον «ἐξ ὅλης καρδίας» καὶ «ψυχῆς»[3] κατὰ τὸν λόγον τῶν Γραφῶν καὶ μηδὲν ἕτερόν τι περιβλέπεσθαι μηδὲ εἰς ἕτερόν τι ἀναπαύεσθαι ἢ μόνον εἰς αὐτὸν τῇ ἀγάπῃ ἐκκρέμασθαι καὶ τὴν παράκλησιν τοῦ «Πνεύματος»[4] ἀνάπαυσιν ἀληθινὴν ἡγεῖσθαι — ἢ ἐν τῇ γῇ καὶ ἐν τῇ ὕλῃ καὶ ἐν τῇ τῶν ἐντολῶν παραβάσει καὶ χοϊκοῖς τοῦ αἰῶνος τούτου λογισμοῖς κατέχεται καὶ ἀπάγεται καὶ ἀγαπᾷ. Καὶ ἐπισκεψάμενος ἕκαστος ἑαυτὸν ἐν τίσιν καὶ ποίοις ἐστίν, μετανοησάτω καὶ πενθησάτω καὶ βοησάτω πρὸς Κύριον «νυκτὸς καὶ ἡμέρας»[5] καθὼς παρήγγειλεν, ἕως οὗ εὕρῃ τὴν ἑαυτοῦ ψυχὴν καὶ τὸν νοῦν καὶ τοὺς λογισμοὺς ἐν τῇ τοῦ Χριστοῦ εἰρήνῃ φυλασσομένους εἰς τὸ εἶναι αὐτὸν παρεκτὸς κακίας. Ἡ σπουδὴ γὰρ πᾶσα ἡ παρὰ τῷ Θεῷ γεναμένη διὰ πατέρων, διὰ προφητῶν, διὰ πατριαρχῶν, διὰ νόμου, ἔσχατον καὶ δι' αὐτῆς τῆς τοῦ Κυρίου ἐπιδημίας καὶ ἐλεύσεως διὰ τὴν νοερὰν καὶ λογικὴν οὐσίαν τῆς τιμίας καὶ «κατ' εἰκόνα»[6] αὐτοῦ ποιηθείσης ψυχῆς γεγένηται καὶ τὴν τοῦ νοὸς καὶ τῶν λογισμῶν διόρθωσιν καὶ ἴασιν ἐκ τῆς μεγάλης πτώσεως τῶν παθῶν, ὧν πέπονθεν ἡ ψυχὴ εἰς πνεύματα «πονηρίας» καὶ «ἀρχὰς» καὶ «ἐξουσίας» καὶ «κοσμοκράτορας σκότους»[7] ἐμπεσοῦσα διὰ τὴν τοῦ Ἀδὰμ γεναμένην ἐν ἀρχῇ παράβασιν, δι' ἧς τὰ τῶν ἁμαρτημάτων τῆς κακίας πάθη ἐνεδύσατο καὶ δι' αὐτὰ ἀλλοτρία τοῦ Θεοῦ κατέστη. Τὴν γὰρ ἴασιν καὶ λύτρωσιν τῆς νοερᾶς οὐσίας τῆς ψυχῆς ἐμφαίνων ὁ ἀπό-

1. Πρβλ. Ἐφ. 6,12. 2. Πρβλ. Ἑβρ. 7,2. 3. Πρβλ. Μάρκ. 12,30. 4. Πρβλ. Πράξ. 9,31. 5. Πρβλ. Λουκ. 18,7. 6. Πρβλ. Γεν. 1,26-27. 7. Πρβλ. Ἐφ. 6,12.

στολός φησιν· «ἡ εἰρήνη τοῦ Χριστοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν»[1] καὶ τοὺς διαλογισμοὺς «ἐν Χριστῷ», ὥστε ἡ ἴασις τῶν τραυμάτων τῆς ψυχῆς καὶ ἡ ἀνάστασις τῆς πτώσεως τοῦ νοῦ αὕτη ἐστίν· τὰ διανοήματα καὶ τὰ φρονήματα καὶ τοὺς λογισμοὺς τῆς ψυχῆς εἰς Χριστὸν δεθῆναι καὶ ἐν τῷ οὐρανίῳ φωτὶ τοῦ πνεύματος τῆς εἰρήνης αὐτοῦ **135** φυλάσσεσθαι καὶ φρουρεῖσθαι τὴν ὑπόστασιν τῆς ψυχῆς σὺν τῇ κτήσει τῶν ἑαυτῆς λογισμῶν ἀπὸ τῶν πνευμάτων τοῦ σκότους, τῶν πονηρῶν καὶ ὑλικῶν καὶ ματαίων λογισμῶν. Αὕτη ἐστὶν ἡ λύτρωσις τοῦ Κυρίου καὶ ἡ ἔλευσις καὶ ἡ ἐπιδημία ἐπὶ τὸ γένος τῶν ἀνθρώπων, ὅπως τὴν νοερὰν οὐσίαν καὶ λογικὴν καὶ τιμίαν τῆς ψυχῆς ἀποκαταστήσῃ νῦν ἐν τῇ εὐγενείᾳ τῆς ἰδίας ἐξ ἀρχῆς καθαρότητος, πρὸς τούτοις καὶ κοινωνὸν τῆς ἰδίας τοῦ Πνεύματος οὐσίας ταύτην καταστήσῃ ὡς εὐγενίδα τινὰ καὶ βασιλικὴν νύμφην ἑαυτοῦ.

Δ'. Πῶς τοίνυν τὴν τιμίαν ταύτην καὶ νοερὰν οὐσίαν τῆς ψυχῆς, τὴν ἐράσμιον καὶ ὑπὲρ πᾶσαν κτίσιν ὁρατὴν καὶ ἀόρατον ἀξιολογωτέραν τυγχάνουσαν, δι' ἄγνοιαν καὶ ῥαθυμίαν καὶ ἀμέλειαν καὶ λήθην ἀνταλλάσσομεν λεπροῖς καὶ ταλαιπώροις καὶ φθαρτοῖς ὑλικοῖς πράγμασι τῷ ἐν γῇ καὶ ὕλῃ καὶ κόσμῳ καὶ δόξῃ δεδέσθαι καὶ τὰ φαινόμενα ἀγαπᾶν καὶ τοῖς παρερχομένοις τοῦ αἰῶνος τούτου προσέχειν καὶ τῇ περὶ ταῦτα στοργῇ διακεῖσθαι, δέον ἀφ' ἑαυτῶν πάντα ῥίψαντας καὶ ἐκτιναξαμένους τὰ τῆς γῆς παρερχόμενα πράγματα καὶ τὰ τῆς ὕλης καὶ χοὸς φθαρτὰ διανοήματα Χριστῷ μόνῳ δεθῆναι τῇ ἀγάπῃ[2] καὶ οὐρανίῳ ἔρωτι πρὸς αὐτὸν μόνον τετρῶσθαι καὶ πνευματικῷ φίλτρῳ αὐτοῦ μόνου ἐρᾶν; Μέγα γὰρ καὶ τίμιον[3] καὶ εὐγενὲς καὶ ἐράσμιον τὸ τῆς νοερᾶς καὶ λογικῆς οὐσίας τῆς ψυχῆς ἀξίωμα τυγχάνει, δι' ἣν ἀγὼν Θεῷ καὶ ἀγγέλοις καὶ ἁγίαις δυνάμεσι, διὰ πατέρων καὶ πατριαρχῶν, διὰ προφητῶν, δι' αὐτοῦ τοῦ Κυρίου εἰς πρεσβείαν καὶ ἐπιστροφὴν ταύτης ἐλθόντος, δι' ἀποστόλων, διὰ διδασκάλων, ἐργατῶν ἀληθείας ταύτην ἐπιστρεφόντων εἰς τὸ τοῦ Κυρίου θέλημα καὶ ταύτην οἰκειώσασθαι καὶ παρ' ἑαυτοῖς ἔχειν εἰς τὴν αἰώνιον ζωὴν σπουδαζόντων, δι' ἣν ἀγὼν ὁμοίως καὶ σπουδὴ καὶ πόλεμος καὶ κόπος σατανᾷ καὶ ἀρχαῖς καὶ ἐξουσίαις δυνάμεων πονηρῶν, διὰ ψευδοπροφητῶν, ψευδαποστόλων, διὰ πλάνων ἀνθρώπων, διὰ δολίων ἐργατῶν[4] καὶ αἱρέσεων, ἔσχατον καὶ δι' αὐτοῦ τοῦ Ἀντιχρίστου, ταύτην οἰκειώσασθαι εἰς τέλος τοῦ μὴ ἐξειλῆσαι αὐτῶν ἀλλ' εἰς ἀεὶ μετ' αὐτῶν ἐν τῷ σκότει τῆς κατακρίσεως ταύτην ἔχειν ἀγωνιζομένων. Τὴν γὰρ ψυχὴν ταύτην **136** τὴν τιμίαν εἰκόνα Χριστοῦ, τὴν ἐμπεσοῦσαν εἰς βυθὸν παθῶν κακίας, σκότους, δυνάμεων πονηρῶν, τῇ προαιρέσει προσκολληθῆναι βουλομένην Χριστῷ, ἀλλαγῆναι καὶ μεταβληθῆναι καὶ ἀλλοιω-

---

1. Φιλιπ. 4,7. 2. Πρβλ. Ἆσμ. 2,5. 3. Πρβλ. Παρμ. 20,6. 4. Πρβλ. Β' Κορ. 11,13.

θῆναι καὶ ἀνακαινισθῆναι καὶ ἀνακτισθῆναι[1] δεῖ νῦν, ἕως ἐν σαρκὶ τυγχάνει, τοιούτῳ τινὶ τρόπῳ, κατὰ τὴν τῶν Γραφῶν παράδοσιν. Ὥσπερ ἐὰν ᾖ τόπος ἐν ᾧ πολλὴ δυσωδία καὶ βόρβορος τυγχάνει ἀποθήκης τε κοπριῶν μεμέστωται καὶ «πάσης ἀκαθαρσίας»[2] καὶ σηπεδόνος καὶ αἰσχρότητος πεπλήρωται, ἔλθῃ δέ τις δυνάστης καὶ πλούσιος ἀνὴρ καὶ κελεύσῃ καθαρισθῆναι τὸν τόπον ἐκεῖνον ἀπὸ τῆς πολλῆς αἰσχρότητος καὶ ῥυπαρίας καὶ πάσῃ ἐπιμελείᾳ ἐκείνου τοῦ δυσωδεστάτου τόπου κάθαρσιν ποιήσηται καὶ λοιπὸν οἰκοδομήσῃ ἐκεῖ παλάτιον βασιλικὸν κοιτῶνάς τε χρυσορόφους καὶ μεμαρμαρωμένους τρικλίνους καὶ διαφόρους οἴκους ἐνδόξους κατασκευάσῃ πρὸς μονὴν καὶ ἀνάπαυσιν βασιλέως — τὸ λοιπὸν ἐκεῖ θυμιάματα καὶ εὐωδία καὶ καθαρότης πολλὴ ἀπ' ἐκείνης τῆς δυσωδίας καὶ ἀκαθαρσίας γίνεται. Ἢ ὥσπερ ἵνα ἡ γῆ ἔρημος καὶ ἄνυδρος καὶ ἀκανθῶν καὶ τριβόλων μεμεστωμένη, ἔλθῃ δὲ ἀνὴρ γεωργὸς ἀγαθὸς καὶ ἐργάσηται ἐπιμελῶς ἐκείνην τὴν ἔρημον τυγχάνουσαν γῆν καὶ τὰς ἀκάνθας καὶ τριβόλους ἄρας ἐκ μέσου πυρὶ καύσῃ καὶ ἀνανεώσας καὶ ἐργασάμενος αὐτὴν ἐξαγάγῃ ἐκεῖ ὕδατα πλουσιώτατα καὶ καταφυτεύσῃ ἀμπελῶνα καὶ παραδείσους ῥόδα τε καὶ παντοῖα ἄνθη καὶ παντοδαπὰ φυτὰ καρποφόρα, καὶ λοιπὸν γένηται ἐκεῖ τόπος ἀναπαύσεως ἥμερος, καρποφόρος καὶ ἔνυδρος καὶ εὔκαρπος — ἴδε πόση μεταβολὴ καὶ ἀλλαγὴ γέγονεν, ἀπὸ ποίας ἀγριότητος καὶ ἐρημίας εἰς ποίαν ἡμερότητα καὶ ἐπιτηδειότητα μετεκοσμήθη. Ἢ ὥσπερ ἵνα ἡ γυνὴ ἐπαίτης καὶ πενιχρά, εἰς ἣν πάντες οἱ βουλόμενοι καὶ παριόντες ἐμπαίζουσι καὶ παρακέχρηνται, ἐραστὴς δὲ αὐτῆς γένηται βασιλεύς τις ἔνδοξος καὶ ἀναλάβῃ αὐτὴν πρὸς ἑαυτὸν καὶ ἀπ' ἐκείνης τῆς αἰσχρότητος καὶ πορνείας εἰς σωφροσύνην τιμίαν καὶ ἐλευθέραις πρέπουσαν κατάστασιν ἐνέγκῃ καὶ ἀντ' ἐκείνων τῶν δυσωδεστάτων ῥακίων βασιλικὰ φορήματα καὶ διάχρυσα καὶ διάλιθα ἐνδύματα ἀμφιάσῃ διαδήματί τε **137** βασιλικῷ ταύτην περιδησάμενος τιμήσῃ εἰς τὸ γενέσθαι αὐτοῦ κοινωνικὴν καὶ τιμίαν νύμφην βασιλέως — ἰδοὺ πόση μεταβολὴ καὶ ἀλλαγὴ γεγένηται ταύτῃ καὶ ἐξ οἵας αἰσχρότητος καὶ πενίας εἰς οἵαν τιμὴν δόξης καὶ πλοῦτον μετηνέχθη.

Ε'. Τὸν αὐτὸν τρόπον τὸν νοῦν καὶ τὴν ψυχὴν ταύτην σὺν τῷ σώματι ἐν ἁμαρτίᾳ κακίας ἐμπεσοῦσαν καὶ ἐν τῇ ὄντως πτωχείᾳ τοῦ σκότους τῶν παθῶν τῆς πονηρίας κατενεχθεῖσαν ἐκ τῆς τοῦ Ἀδὰμ παραβάσεως καὶ ἐν πορνείᾳ καὶ ἀκαθαρσίᾳ καὶ μιασμῷ τῶν πονηρῶν παθῶν μιανθεῖσαν καὶ ἐνυβρισθεῖσαν καὶ ἐν ἀγριότητι καὶ ἐρημίᾳ τοῦ πονηροῦ καὶ αἰσχροῦ πνεύματος τοῦ κόσμου γεγενημένην, πιστεύσασαν καὶ προσελθοῦσαν εἰλικρινῶς ὅλῃ προαιρέσει καὶ ὅλῳ θελήματι τῷ Κυρίῳ ἐν ἀγάπῃ τοῦ Πνεύματος αὐτοῦ ἀλλαγῆναι καὶ μεταβληθῆναι δεῖ ἀπὸ τῆς ἀγριότητος καὶ ἐρημίας ἐκείνης τῆς προτέρας καὶ ἐκ τῆς δυσω-

1. Πρβλ. Β' Κορ. 5,17. 2. Πρβλ. Ματθ. 23,27.

δίας τῶν ἁμαρτημάτων καὶ παθῶν τῆς κακίας καὶ αἰσχρῶν καὶ ῥακώδων ἐνδυμάτων τῶν πνευμάτων «τῆς πονηρίας»[1], ἀπιστίας, φιλαργυρίας, μίσους, κακίας, ὀργῆς, δόλου, ἀνοίας, ἐπιθυμίας κακῆς καὶ πάσης ἀκαθαρσίας ἀλλοιωθῆναι δεῖ καὶ ἀνακαινισθῆναι καὶ μεταβληθῆναι καὶ ἀναπλασθῆναι νῦν διὰ τῆς χάριτος. Καὶ ἀντὶ μὲν τῶν τριβόλων καὶ ἀκανθῶν τῶν πονηρῶν διαλογισμῶν καὶ τῶν ἁμαρτημάτων τῆς κακίας, ὧν ἡ γῆ τῆς καρδίας αὐτῆς βρύουσα ἐκαρποφόρει, δικαιοσύνην καὶ ὁσιότητα τοῦ θείου καὶ ἐπουρανίου Πνεύματος τῆς ἀγαθότητος ἐν αὐτῇ βρύειν καὶ καρποφορεῖν δεῖ· ἀντὶ δὲ δυσωδίας καὶ βορβόρου καὶ οἰκοπέδων καὶ αἰσχρῶν τόπων, ὧν τὰ πνεύματα «τῆς πονηρίας»[2] ἐν τῷ ἀοράτῳ τῆς ψυχῆς χώρῳ διὰ τῶν παθῶν ἐγκατεσκεύασεν, νῦν παλάτιον ἐπουράνιον καὶ μονὴν καὶ ἀνάπαυσιν ἐπουρανίου βασιλέως κατασκευασθῆναι δεῖ· ἀντὶ δὲ ἐνδυμάτων μιαρῶν καὶ σκοτεινῶν, ὧν ἡ ψυχὴ ἐφόρει, νῦν ἐνδύματα τοῦ Πνεύματος τῆς θεότητος φωτεινὰ πίστεως, ἀγάπης, ἀγαθωσύνης καὶ πάσης ἀρετῆς ἀμφιέννυται· ἀντὶ δὲ ἐκείνης τῆς δεινῆς αἰσχρότητος καὶ πορνείας τῶν πονηρῶν πνευμάτων, μεθ' ὧν ἡ ψυχὴ ἐν τοῖς πονηροῖς λογισμοῖς ἐπόρνευεν, νῦν εἰς σωφροσύνην καὶ ἁγιασμὸν καὶ καθαρότητα καὶ κοινωνίαν τοῦ ἐπουρανίου βασιλέως Χριστοῦ ἄγεται καὶ διαδήματι ἐπουρανίῳ **138** τῆς τοῦ Πνεύματος δόξης ἐν τιμῇ χάριτος περιδεσμεῖται· ἀντὶ δὲ τοῦ πνεύματος τῆς πονηρίας τοῦ κόσμου τοῦ ῥέμβοντος καὶ αἰχμαλωτίζοντος τὸν νοῦν τῆς ψυχῆς ἐν ὕλῃ καὶ ἐν γῇ καὶ ἐν κακίᾳ καὶ ἐν παντὶ περισπασμῷ πονηρῷ, νῦν τὸ Πνεῦμα τῆς ἀγαθότητος τοῦ Χριστοῦ ἐξ οὐρανοῦ αἰχμαλωτίζον τὸν νοῦν τῆς ψυχῆς εἰς μυστήρια Θεοῦ ἀλάλητα καὶ ἐν πᾶσι τοῖς ἁγίοις καρποῖς τῆς ἀγαθωσύνης τοῦ Πνεύματος, ἐν οἷς διαιτᾶται ὁ νοῦς καὶ πάντες οἱ τῆς ψυχῆς διαλογισμοὶ εἰς θείους καὶ ἐπουρανίους τοῦ Πνεύματος λογισμοὺς αἰχμαλωτιζόμενοι, καθ' ὃν τρόπον τὸ πνεῦμα τῆς κακίας τῶν παθῶν τὴν ψυχὴν ἄκουσαν αἰχμαλωτίζει εἰς διαλογισμοὺς κόσμου καὶ ματαιότητος ὕλης. Καὶ γὰρ τὸ Πνεῦμα διὰ τοῦ προφήτου ἐν ἀληθείᾳ λέγει· «ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς»[3].

Ϛ'. Οὕτως ἀλλαγῆναι δεῖ καὶ τὴν πιστεύσασαν ψυχὴν Χριστῷ καὶ ἀγαπῶσαν αὐτὸν εἰλικρινῶς καὶ οὕτως ἀνακαινισθῆναι καὶ μεταβολὴν ἔχειν ἐν πᾶσιν ἔν τε τοῖς κρυπτοῖς τῆς καρδίας λογισμοῖς ὑπὸ τοῦ Πνεύματος ἁγιασθεῖσαν καὶ τοῖς ἀγαθοῖς ἔργοις τῆς δικαιοσύνης ἐν ἀληθείᾳ καὶ πληροφορίᾳ καὶ αἰσθήσει καὶ ἐνεργείᾳ τοῦ Πνεύματος τῆς ἀγαθότητος ἐνεργοῦντος, καθ' ὃν τρόπον τὰ πνεύματα τοῦ σκότους τῶν παθῶν ἐνεργεῖ τὰ κακὰ ἐν αἰσθήσει καὶ πληροφορίᾳ ἔν τε τῇ ψυχῇ καὶ ἐν τῷ σώματι. Πᾶσαι γὰρ αἱ αἱρέσεις διακένοις λόγοις ὑπολήψει φρονήματος ὀρθοῦ καὶ ματαίᾳ οἰήσει δικαιοσύνης πληροφοροῦνται, τὰ δὲ ὄντως τέκνα τῆς Ἐκκλησίας τοῦ Χριστοῦ ἐν ἔργοις ἀληθείας

1. Πρβλ. Ἐφ. 6,12. 2. Πρβλ. Ἔνθ' ἀν. 3. Ψαλ. 138,12.

καὶ πίστεως ἀποδείκνυνται καὶ ἐνεργείᾳ τινὶ θείου Πνεύματος ἐπιφοιτῶντος καὶ ἐπισκιάζοντος τῇ ψυχῇ, καὶ «καρποὺς ἀξίους»[1] τῆς χάριτος ἐπιδεικνυούσης ἐν δυνάμει καὶ αἰσθήσει καὶ πληροφορίᾳ καὶ τῇ «τοῦ νοὸς» «ἀνακαινίσει»[2] καὶ ἀλλαγῇ καὶ καινῇ καὶ νέᾳ κτίσει «κατὰ τὸν ἔσω» τῆς καρδίας «ἄνθρωπον»[3]. Οὗτός ἐστιν ὁ ἀληθὴς Χριστιανισμὸς καὶ πασῶν τῶν ἁγίων Γραφῶν ἀκριβὴς ἐν ἀληθείᾳ ἀποστολικὴ παράδοσις, καὶ αὕτη ἡ τοῦ Κυρίου ἔλευσις καὶ ἡ λύτρωσις τοῦ πεσόντος ὑπὸ τὴν ἁμαρτίαν ἀνθρώπου, καὶ αὕτη ἐστὶν ἡ τῶν ἐν ἀληθείᾳ Χριστῷ πιστευόντων ἐλπίς. Σπουδάσωμεν τοίνυν καὶ ἡμεῖς διὰ πασῶν τῶν
139 ἀρετῶν τῆς ἐλπίδος ταύτης πληροφορίαν ἐν ἑαυτοῖς δέξασθαι, ὅπως τῶν «ἐλπιζομένων»[4] ἀγαθῶν καταξιωθέντες, τοῦτ᾽ ἔστι τῆς ἐνοικήσεως τοῦ Κυρίου καὶ τὸν ἁγιασμὸν τοῦ «Πνεύματος»[5] ἐν τῇ ἑαυτῶν καρδίᾳ κτησάμενοι καὶ τὸν ἐπουράνιον «θησαυρὸν» ἐν τοῖς ἑαυτῶν «σκεύεσιν»[6] ἐναποθέντες καὶ ἐν πάσαις ταῖς ἐντολαῖς ἄμωμοι διὰ τῆς χάριτος καταρτισθέντες τῶν αἰωνίων ἀγαθῶν σὺν Χριστῷ καταξιωθείημεν ἀπολαῦσαι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚϚ′ (=ΠΓ′)

140 Α′. Ἡ διάκρισιν ψυχὴ κεκτημένη ἐν τῇ ἀκοῇ τοῦ λόγου ἐκ θείας χάριτος ταύτην κέκτηται, καὶ γὰρ ἡ τῶν Χριστιανῶν ἐλπὶς καὶ ἀνάπαυσις καὶ κτῆσις οὐκ ἔστιν ἐν τῷ αἰῶνι τούτῳ· οὐδὲ γάρ ἐστι κάλλος[7] πάσης τῆς γῆς καὶ τῶν ἐν αὐτῇ γεγενημένων ἀγαθῶν καὶ τοῦ οὐρανοῦ καὶ τῶν ἐν αὐτῷ φώτων ὃ ζητοῦσι Χριστιανοί. Ἰδοὺ γὰρ πόσα ἀγαθά ἐστιν ἐν τῇ γῇ διάφορα καὶ ποικίλα κάλλη καὶ ἀναπαύσεις, ὁμοίως καὶ ἐν τῷ οὐρανῷ ὅση ποικιλότης ἄστρων, κάλλος φώτων καὶ οὐδέν ἐστιν ἐκ τούτων, ὃ ζητοῦσι καὶ χρῄζουσι Χριστιανοί. Ἀλλ᾽ ἔστι τι ὃ οὔτε ἐν τῇ γῇ οὔτε ἐν τῷ οὐρανῷ ἐστιν, ἐν ᾧ ζῶσι καὶ ὃ χρῄζουσιν οἱ τὸν Κύριον ἀγαπῶντες. Πόσαι γλῶσσαι ἐν κόσμῳ, πόσαι σοφίαι, πόσαι φρονήσεις, πόσαι τέχναι, πόσαι ἐπιστῆμαι καὶ ἐπιτηδεύματα καὶ σπουδὴ καὶ πλοῦτος ἐν τῇ γῇ, καὶ οὐδὲν τούτων ἐστὶν ὃ χρῄζουσι καὶ ἐν ᾧ ζῶσι Χριστιανοί. Ἔστιν οὖν τι ὃ ζητοῦσι μεῖζον οὐρανοῦ καὶ τῶν ἐν αὐτῷ πάντων καὶ γῆς καὶ τῶν ἐν αὐτῇ ἀγαθῶν καὶ καλῶν, καὶ ἅπαξ πάντων τῶν φαινομένων ἀγαθῶν καὶ καλῶν, μηδενὶ τούτων συγκρινόμενον. Τοιγαροῦν τοιαύτης καὶ διανοίας καὶ ψυχῆς χρεία πρὸς τὴν ζήτησιν καὶ τὴν ἔρευναν τούτου τοῦ ἀσυγκρίτου καὶ μόνου καλοῦ καὶ ἀγαθοῦ, ἥτις καὶ αὐτὴ μείζων καὶ ἀνωτέρα τυγχάνει πάντων τῶν
141 ἐν οὐρανῷ καὶ γῇ καὶ πάσης σοφίας ἀνθρωπίνης καὶ φρονήσεως καὶ γνώσεως κοσμικῆς, μείζων δὲ καὶ ἀνωτέρα τῇ πίστει καὶ ἀγάπῃ

1. Πρβλ. Λουκ. 3,8. 2. Πρβλ. Ρωμ. 12,2. 3. Πρβλ. Ρωμ. 7,22.
4. Πρβλ. Ἑβρ. 11,1. 5. Πρβλ. Β′ Θεσ. 2,13. 6. Πρβλ. Β′ Κορ. 4,7.
7. Πρβλ. Σ. Σειρ. 43,9.

λέγω· τὰ γὰρ ἀπὸ τοῦ οὐρανοῦ ἕως τῆς γῆς οὐδὲν τὴν ψυχὴν ὠφελεῖ. Ὥσπερ γὰρ πάντων τῶν ἐν οὐρανῷ καὶ γῇ καὶ ἀέρι ποικίλων τερπνῶν ἀρετὴ μείζων καὶ ἀνωτέρα καὶ κρείττων τυγχάνει, μᾶλλον δὲ ἐκεῖνο μόνον ἀγαθὸν καὶ καλόν ἐστιν ὃ χρήζουσιν καὶ ἐν ᾧ δύνανται ζῆσαι Χριστιανοί, τὸν αὐτὸν τρόπον τοιαύτη καὶ ἡ ψυχὴ ὀφείλει εἶναι πρὸς τὴν τοῦ ἀγαθοῦ καὶ καλοῦ τούτου ἔρευναν καὶ ζήτησιν ἐπειγομένη, ὑπερβαίνουσα πασῶν τῶν ἐν τῷ κόσμῳ σοφιῶν καλλονὴν καὶ γλωσσῶν ποικιλότητα καὶ γηΐνην φρόνησιν καὶ δόξαν καὶ τρυφὴν καὶ τέρψιν, μείζων δὲ καὶ ἀνωτέρα τῇ πίστει καὶ ἀγάπῃ πρὸς τὸ μόνον καὶ ἀσύγκριτον καλόν, πάντων ὑπερπηδῶσα καὶ μηδενὶ δεθεῖσα, ἀλλ' αὐτὸ μόνον ποθήσασα.

Β'. Τί τοίνυν ἐστὶ τὸ μηδὲν συγκρινόμενον ἀγαθὸν καὶ καλόν, ὃ ζητοῦσι καὶ ἐν ᾧ ζῶσι Χριστιανοί; Αὐτός ἐστιν ὁ Κύριος. Αὐτὸς γάρ ἐστιν ὁ μηδενὶ συγκρινόμενος, πάντα γὰρ ὅσα ἐστὶ καλὰ ἀπ' αὐτοῦ γεγένηνται, καὶ αὐτός ἐστιν ἡ κληρονομία καὶ ἡ ζωὴ τῶν Χριστιανῶν· «Κύριος» γάρ φησι «μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου»[1]. Οὐδὲν γὰρ ἄλλο ζητεῖ παρὰ τῶν ἀνθρώπων τὸ μόνον ἀγαθὸν καὶ καλόν, ὅπερ ἐστὶν ὁ Θεός, οὐ χρυσόν, οὐκ ἄργυρον, οὐ κτῆσιν, οὐ ζῷα οὐδὲ ἕτερόν τι τῶν ἐν τῇ γῇ, ἅπερ πάντα αὐτὸς ἔκτισεν ἢ μόνον πίστιν ἀληθῆ καὶ τὴν ἐκ καρδίας ἀγάπην πρὸς αὐτόν. Καὶ τότε καταξιοῦταί τις τῆς κτήσεως τοῦ καλοῦ καὶ μόνου ἀγαθοῦ τούτου. Πνεύματος γὰρ Ἁγίου μετουσίαν ἡ τοιαύτη ψυχὴ κομίσασθαι καταξιοῦται καὶ κοινωνεῖν Χριστῷ ἀπεντεῦθεν ἀξία καθίσταται. Ἐὰν μὴ γὰρ πρότερον πρόφασις γένηται ὁ ἄνθρωπος τῇ ἑαυτοῦ ἀγάπῃ ἑλκύσας τὴν ἀγάπην τοῦ Θεοῦ πρὸς ἑαυτόν, οὐκ ἀνελεύσεται εἰς τὴν ψυχὴν αὐτοῦ ἡ ζωὴ καὶ ἡ κτῆσις τοῦ ἀγαθοῦ καὶ μόνου καλοῦ. Πρόφασις οὖν γίνεται ἕκαστος τῆς ἑαυτοῦ ζωῆς καὶ τοῦ ἑαυτοῦ θανάτου διὰ τὸ αὐτεξούσιον θέλημα τῆς ψυχῆς· ὅπου γὰρ ἂν δῷ τὴν φυσικὴν ἀγάπην αὐτῆς ἡ
142 ψυχή, ἕλκει πρὸς ἑαυτὴν ἤτοι τὴν ζωὴν ἢ τὸν θάνατον, καθὼς καὶ ἡ Γραφή φησιν· «ἔναντι ἀνθρώπου ἡ ζωὴ καὶ ὁ θάνατος, καὶ ὃ ἐὰν εὐδοκήσῃ δοθήσεται αὐτῷ»[2], ἐπειδὴ καὶ ἄτιμοι πάντες οἱ ἄνθρωποι μεταβληθέντες ἐκτήσαντο τὴν ζωὴν ταύτην. Ἰδοὺ γὰρ (ὥς φησιν ὁ ἀπόστολος) ὁ Θεὸς «πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν»[3]. Οὐχ ὅτι οὐ διδόασι τὴν φυσικὴν ἀγάπην αὐτῶν καὶ προαίρεσιν ἀγαθὴν πρὸς τὸν Θεόν· οὐ βιάζεται γὰρ τὰς προαιρέσεις ἀκούσας ὁ Κύριος, ἀλλὰ ἀποσκοπεῖ καὶ θεωρεῖ τὴν προαίρεσιν καὶ ἀγάπην τοῦ ἀνθρώπου, ποῦ ῥέπει καὶ ποῦ ἀγαπᾷ. Ἐὰν πρὸς αὐτὸν ἴδῃ τὴν ἀγάπην τῆς ψυχῆς κολλωμένην, ἰδοὺ ἔρχεται καὶ κατασκηνοῖ καὶ κληρονομεῖται ὑπὸ τῆς ἀγαπώσης αὐτὸν ψυχῆς καὶ κληρονομεῖ αὐτήν, ἐπεὶ ἀδύνατον ἄλλως γενέσθαι· ἐὰν γὰρ μὴ πρόφασιν λάβῃ ὁ Θεὸς τοῦ ἀνθρώπου τῆς πρὸς αὐτὸν ἀγάπης καὶ πίστεως, οὐ γίνεται

---

1. Ψαλ. 15,5. 2. Σ. Σειρ. 15,17. 3. Α' Τιμ. 2,4.

αὐτὸς ζωὴ τοῦ ἀνθρώπου καὶ κτῆμα τὸ μόνον τίμιον καὶ καλόν. Ἕκαστος τοίνυν, ὡς προείρηται, πρόφασις γίνεται τοῦ ἐλθεῖν πρὸς αὐτὸν τὴν ζωὴν καὶ τὴν ἐπαγγελίαν ἐν τῷ πιστεύειν καὶ ἀγαπᾶν αὐτὸν παρὰ πάντα τὰ βλεπόμενα, τοῦτο γὰρ μόνον ἐξαιρέτως ζητεῖ παρὰ τοῦ ἀνθρώπου ὁ Θεός· ἡ τοιαύτη γὰρ ψυχὴ μείζων ἐστὶ καὶ ἀνωτέρα παντὸς τοῦ κόσμου καὶ πάσης τῆς σοφίας αὐτοῦ καὶ δόξης καὶ πλούτου καὶ ἀναπαύσεως καὶ πάσης τῆς φρονήσεως αὐτοῦ καὶ πάντων τῶν ἐν αὐτῷ καλῶν, ὅτι τῷ μόνῳ καλῷ ἐπίστευσε καὶ τὸν μόνον ἀγαθὸν ἠγάπησεν ὑπεριδοῦσα πᾶσαν καλλονὴν καὶ δόξαν καὶ τερπνότητα καὶ σοφίαν γλωσσῶν κόσμου ἀρνησαμένη, καὶ οὕτως ἐπιτυγχάνει καὶ ἀπολαύει τοῦ ἀληθινοῦ καλοῦ καὶ ἀγαθοῦ καὶ μόνου ὡραίου.

Γʹ. Μή τις τοίνυν λεγέτω, ὅτι ἀδυνάτως ἔχω ἀγαπῆσαι ἢ διαλογίσασθαι ἢ πιστεῦσαι τῷ μόνῳ ἀγαθῷ, ὑπὸ δουλείαν καὶ δεσμοὺς ἁμαρτίας τυγχάνων. Τὸ μὲν γὰρ δύνασθαί σε τελείως τὰ ἔργα τῆς ζωῆς ἐργάζεσθαι καὶ τὸ ἑαυτὸν τῇ σῇ ἰσχύι ἐξελέσθαι καὶ ἐλευθερῶσαι τῆς ἐνοικούσης σοι **143** ἁμαρτίας[1] οὐκ ἔστιν εἰς τὴν σὴν ἐξουσίαν, ἐπειδὴ τοῦτο ἑαυτῷ ἀπένειμεν ὁ Κύριος· αὐτὸς γὰρ μόνος «κατέκρινε τὴν ἁμαρτίαν»[2] καὶ αὐτὸς μόνος ἐστὶν «ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[3] καὶ αὐτὸς ἐλευθερῶσαι ἐπηγγείλατο τοὺς ἀγαπῶντας αὐτὸν καὶ πιστεύοντας αὐτῷ ἐκ τῆς δουλείας τῆς ἁμαρτίας τῶν παθῶν καὶ οὓς ἂν αὐτὸς ἐλευθερώσῃ «ὄντως ἐλεύθεροι»[4] τυγχάνουσιν. Τὸ δὲ διαλογίσασθαί σε καὶ πιστεῦσαι ἢ ἀγαπῆσαι τὸν Κύριον ἢ ζητῆσαι αὐτὸν ἔχεις καὶ δύνασαι καὶ τὸ μὴ συνήδεσθαι μηδὲ συνεργάζεσθαι τῇ ἐνοικούσῃ ἁμαρτίᾳ, μόνον πρόφασις γενοῦ σὺ τῆς ἑαυτοῦ ζωῆς ἐν τῷ ζητεῖν τὸν Κύριον, ἐν τῷ διαλογίζεσθαι καὶ ἀγαπᾶν καὶ προσδοκᾶν αὐτὸν καὶ αὐτὸς τὴν δύναμιν καὶ τὴν λύτρωσιν παρέχει. Τοῦτο γὰρ μόνον παρὰ σοῦ ἐκδέχεται. Ὥσπερ γὰρ σῶμα ὑπὸ θερμότητος πυρετοῦ κατεχόμενον ἐμπεπόδισται καὶ ἐπέχεται τοῦ ποιῆσαι ἢ ἐργάσασθαι τὰ τῆς γῆς ἔργα, ὁ μέντοι νοῦς τοῦ κατακειμένου οὐκ ἐπέχεται οὐδὲ ἠρεμεῖ, ἀλλὰ πολλῷ πλέον φροντίζει καὶ μεριμνᾷ περὶ τῶν ἔργων αὐτοῦ καὶ ἡ διάνοια αὐτοῦ διαλογίζεται περὶ τοῦ θέρους, εἰ τύχοι, ἢ περὶ ἀμπέλου ἢ περὶ ὁδοιπορίας ἢ περὶ ἐμπορίας ἢ περὶ ἄλλων τινῶν τοιούτων, καὶ τὸ μὲν σῶμα ἰδοὺ ἔρριπται ἐν τῇ κλίνῃ ὑπὸ τοῦ πυρετοῦ κατεχόμενον, ὁ δὲ νοῦς οὐκ ἠρεμεῖ οὐδὲ ἐπέχεται τῶν ἔργων αὐτοῦ (διαλογιζόμενος δι' αὐτὰ) καὶ τοῦ ζητεῖν τὸν ἰατρὸν καὶ ἀξιοῦν τοὺς ἰδίους αὐτοῦ καὶ ἀποστέλλειν πρὸς αὐτὸν τοῦ ἐλθεῖν καὶ ἐπισκέψασθαι αὐτόν, καὶ προσδοκίαν ἔχει τοῦ ὑγιᾶναι. Ἐάν τε γὰρ οὔτε λαλῇ οὔτε διαλογίζηται οὗτος, παντελῶς τέθνηκεν, ἕως οὗ δὲ ὁ πυρετὸς ἐπίκειται, τὸ σῶμα ἐμπεπόδισται καὶ ἐπέχεται ἀπὸ τῶν ἔργων, ὁ δὲ νοῦς ἰδοὺ περὶ αὐτῶν σφοδρῶς διαλογίζεται καὶ φροντίζει — τὸν αὐτὸν

1. Πρβλ. Ρωμ. 7,17. 2. Πρβλ. Ρωμ. 8,3. 3. Ἰω. 1,29. 4. Πρβλ. Ἰω. 8,34.36.

τρόπον καὶ ἡ ψυχὴ ὑπὸ δουλείαν καὶ ἐξουσίαν τοῦ σκότους τῶν παθῶν τῆς ἁμαρτίας πεσοῦσα καὶ ὑπὸ τοῦ πυρετοῦ «τοῦ νόμου τῆς ἁμαρτίας»[1] κατεχομένη ἀπὸ μὲν **144** τῶν ἔργων τῆς ζωῆς, τῶν τοῦ Πνεύματος τελείων ἀρετῶν, ἐμπεπόδισται καὶ ἐπέχεται ἀδυνάτως ἔχουσα ἀμώμως ταῦτα ἐπιτελεῖν, ἀπὸ δὲ τοῦ διαλογίζεσθαι ἢ μεριμνᾶν περὶ αὐτῶν καὶ κατὰ δύναμιν ἐπιτελεῖν ἐργασίαν ἐντολῶν καὶ ἀγαπᾶν τὴν ζωὴν οὐκ ἐπέχεται, ἐὰν ὄντως θέλῃ τῆς αἰωνίου ζωῆς ὀρέγεσθαι. Ἀπὸ τοῦ βοᾶν τοιγαροῦν καὶ καλεῖν τὸν μόνον ἰατρὸν πρὸς τὴν ἑαυτῆς βοήθειαν καὶ προσδοκᾶν τὴν ὑγείαν αὐτῆς οὐκ ἐμποδίζεται. Εἰ γὰρ καὶ ἀπέθανεν ἀπὸ τοῦ Θεοῦ ἡ ψυχή, τοῦτ' ἔστι χωρισθεῖσα ἀπὸ τῆς ἀπολαύσεως τῆς δόξης τοῦ φωτὸς αὐτοῦ διὰ τὴν παράβασιν καὶ καλύμματι κακίας παθῶν καλυφθεῖσα, ἀλλ' ἀπὸ τῆς ἰδίας γνώσεως καὶ τῶν διανοημάτων οὐκ ἀπέθανεν, ἀλλ' ἔχει τὸ μεριμνᾶν περὶ τῶν ἔργων τῆς ζωῆς καὶ τὸ ἀγαπῆσαι καὶ καλεῖν καὶ βοᾶν πρὸς τὸν ἀληθινὸν ἰατρόν. Ἀπὸ τῆς ἰδίας οὖν γνώσεως οὐ νενέκρωται. Τοῦτο τοίνυν ζητεῖ παρὰ τοῦ ἀνθρώπου ὁ Θεός, ὅπερ ἔχει ἐλεύθερον διαλογίζεσθαι περὶ τῆς ζωῆς, τὸ ἀγαπῆσαι καὶ καλεῖν τὸν μόνον ἀληθινὸν ἰατρόν, καὶ μὴ συντίθεσθαι τῇ κακίᾳ, ἀλλὰ κατὰ δύναμιν ἐν ἔργοις ἀγαθοῖς πολιτεύεσθαι. Ταύτην τὴν πρόφασιν μόνον παρὰ τῶν ἀνθρώπων ζητεῖ ὁ Θεός· τὸ γὰρ δυναμῶσαι τὴν ψυχὴν καὶ ἰάσασθαι ἐκ τοῦ πυρετοῦ τῆς ἁμαρτίας καὶ ῥύσασθαι ἐκ τῆς δουλείας καὶ ἐνεργείας τῶν παθῶν αὐτοῦ ἐστι καὶ αὐτῷ μόνῳ ἀπόκειται, «ὅτι τὸ κράτος» (γάρ φησιν) «τοῦ Θεοῦ, καὶ σοῦ, Κύριε, τὸ ἔλεος»[2]. Ἐπίσταται γὰρ αὐτὸς ἐν ποίοις κακοῖς ἐστιν ἡ ψυχὴ καὶ πῶς ἐπέχεται τοῦ μὴ ποιεῖν τὰ ἔργα τῆς ζωῆς καὶ πῶς ἔρριπται ἐν νόσῳ χαλεπῇ τῶν παθῶν τῆς «ἀτιμίας»[3]· μόνον ἐν τῷ νῷ καὶ ἐν τῇ ἀγάπῃ ἀρέσαι τὴν ψυχὴν αὐτῷ περιμένει. Τὸ γὰρ δύνασθαι αὐτὸς «ἐν τάχει»[4] ποιεῖ, καθὼς εἴρηται· πόσῳ μᾶλλον «ποιήσει τὴν ἐκδίκησιν τῶν βοώντων πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας»[5].

145 Δ'. Ἀλλ' ὥσπερ πάλιν τὸ σῶμα ὑπὸ τοῦ πυρετοῦ κρατούμενον ἐπέχεται τοῦ μὴ ἐργάζεσθαι τὰ ἔργα τῆς γῆς, καὶ ἡ ψυχὴ ἐν τῇ ἁμαρτίᾳ κρατουμένη ὑπὸ τοῦ πυρετοῦ τῶν παθῶν ἐπέχεται καὶ ἐμποδίζεται ἀπὸ τῶν ἔργων τῆς ζωῆς, τὸν αὐτὸν τρόπον ἡ ψυχὴ ἡ καταξιωθεῖσα τοῦ ἐπουρανίου πυρὸς τοῦ Πνεύματος τῆς ζωῆς καὶ κατεχομένη ὑπὸ τῆς δυνάμεως τοῦ πυρὸς τοῦ θείου ἐπέχεται τοῦ μὴ ἐργάζεσθαι τὰ ἔργα τῆς ἁμαρτίας, τῷ φίλτρῳ καὶ τῷ πόθῳ πρὸς τὸν ἐπουράνιον νυμφίον πάντοτε ἑλκομένη. Εἰ γὰρ ὁ τοῦ σώματος πυρετὸς ἐπέχει τὸ σῶμα τοῦ μὴ ἐργάζεσθαι τὰ ἔργα τῆς γῆς καὶ ὁ πυρετὸς τῆς ἁμαρτίας τῶν παθῶν ἐπέχει τὴν ψυχὴν ἀπὸ τῶν ἔργων τῆς ζωῆς, πόσῳ μᾶλλον τὸ ἐπουράνιον τοῦ Πνεύματος πῦρ ἐκκαῖον καὶ φλέγον τὴν ἀξίαν καὶ πιστὴν ψυχὴν εἰς τὸν ἄνω τῆς βασιλείας ἔρωτα καὶ πόθον

1. Πρβλ. Ρωμ. 8,2. 2. Ψαλ. 61,13. 3. Πρβλ. Ρωμ. 1,26. 4. Πρβλ. Λουκ. 18,8. 5. Λουκ. 18,7.

ἐπισχῇ καὶ ἐμποδίσῃ τοῦ μὴ ἐργάζεσθαι τὰ ἔργα τῆς ἁμαρτίας, ἀλλὰ λήθην πάσης ματαιότητος τοῦ αἰῶνος τούτου ποιήσεται. Αὕτη γὰρ ἡ ψυχὴ ἡ ζητήσασα τὸν Θεὸν τῷ ἑαυτῆς θελήματι καὶ τῇ ἑαυτῆς ἀγάπῃ ἕλκει αὐτὸν πρὸς ἑαυτὴν τοῦ βασιλευθῆναι καὶ ἡγεμονευθῆναι καὶ ὁδηγηθῆναι ὑπ' αὐτοῦ κατὰ τὸ αὐτοῦ θέλημα. Καὶ γὰρ αὐτὸς ὁ Κύριος οὕτω βούλεται ζητηθεὶς καὶ ἀγαπηθεὶς καὶ πιστευθεὶς καὶ ἑλκυσθεὶς ὑπὸ τῆς ἀγάπης τῆς ψυχῆς ἐλθεῖν καὶ κατασκηνῶσαι καὶ βασιλεῦσαι καὶ ἡγεμονεῦσαι παντὸς τοῦ φρονήματος αὐτῆς καὶ ὁδηγῆσαι αὐτὴν εἰς πᾶν τὸ τοῦ Θεοῦ θέλημα. Μὴ γάρ τις νομίσῃ μικράν τινα εἶναι τὴν ψυχὴν ἅτε ἐν μικρῷ σώματι κατοικοῦσαν καὶ ἐν σώματι ὅλην οὖσαν. Ἰδοὺ καὶ ἐν τῷ σώματί ἐστι καὶ ἔξωθεν τοῦ σώματός ἐστι καὶ ὅλη ἐν αὐτῷ ἐστι καὶ ὅλη ἔξωθεν αὐτοῦ ἐστι τῷ φρονήματι καὶ τοῖς λογισμοῖς. Μέγα γάρ τι σκεῦος καὶ δημιούργημα ἐποίησεν ὁ Θεὸς τὴν ψυχήν, τίμιόν τι καὶ ὡραῖον καὶ ὑπὲρ πάντα τὰ κτίσματα ὄν, τοιοῦτον τίμιον ἔργον ὡς «εἰς κατοικητήριον Θεοῦ»[1] ἡτοιμασμένον καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ πεποιημένον. Εἰκόνα γὰρ πνευματικὴν καὶ νοερὰν κατὰ τὴν ἰδίαν λεπτότητα τὴν φυσικὴν ἔχει ἡ ψυχή, ὥσπερ τὸ σῶμα ἰδίαν ἔχει **146** εἰκόνα. Ἀλλ' ἡ ἀληθὴς εἰκὼν τοῦ Θεοῦ ἡ ψυχή ἐστιν, καὶ ἐκείνη ἡ εἰκὼν ἡ ζῶσα καὶ ἀθάνατος βαστάζει καὶ φέρει τὴν εἰκόνα ταύτην. Ἀόρατος δὲ καὶ ἀνεύρετος ἑαυτῇ τυγχάνει παρὰ τὴν αἰτίαν ταύτην· κάλυμμά τι σκότους κακίας ἐπίκειται αὐτῇ καλύπτον αὐτὴν τοῦ μὴ καταλαμβάνειν καὶ τοῖς νοεροῖς αὐτῆς ὀφθαλμοῖς τὴν ἰδίαν ἐνορᾶν ὑπόστασιν καὶ μὴ κατανοεῖν καὶ θεωρεῖν τὸν ἑαυτῆς ποιητήν, τοῦ μὴ ἀπολαύειν καὶ ζῆν καὶ ἀναψύχειν τῷ φωτὶ τῆς δόξης τῆς χρηστότητος αὐτοῦ, τοῦ μὴ ἐντρυφᾶν ἐν τῇ ἀγαθότητι καὶ ἀγάπῃ αὐτοῦ. Τοῦτο δὲ τὸ κάλυμμα ἀπὸ τῆς παραβάσεως Ἀδὰμ ἐκτησάμεθα διαδεξάμενοι τὴν κληρονομίαν τοῦ θανάτου.

Ε'. Συγκέκλεισται τοίνυν καὶ κεκάλυπται ἡ ψυχὴ σκότει παθῶν ἀπὸ τῆς ἀπολαύσεως καὶ κατανοήσεως τοῦ Θεοῦ καὶ ἀπὸ τῆς ἰδίας καταλήψεως. Ἐπιμένει δὲ τὸ ἔργον σῶον καὶ τὸ κτίσμα τέλειον τῆς ψυχῆς ὑπὸ τὸ κάλυμμα καὶ ἐν τῇ φυλακῇ ἠγμένης, ἔχον τὴν νοερὰν εἰκόνα καὶ τὴν κατασκευὴν ἣν ἐξ ἀρχῆς ὁ δημιουργὸς ἐποίησε σῶαν. Ὥσπερ γάρ τις συγκέκλεισται ἐν οἴκῳ φυλακῆς, ἐν ᾧ οὐκ ἔστι θύρα, οὔτε ὀπή, οὔτε θυρίς, οὔτε ὅλως ἔξοδός τις, καὶ ἔνδοθεν τῆς φυλακῆς ἐστιν ὁ ἄνθρωπος — οὐδὲν δύναται ὁ ἔσω ἐγκεκλεισμένος ποιῆσαι εἰς τὸ ἐξελθεῖν ἢ μόνον καλέσαι καὶ βοῆσαι πρὸς τοὺς ἔξω, ἵνα ἀνοίξωσιν αὐτῷ, καὶ τὴν διάνοιαν αὐτοῦ ἐκτείνας πρὸς τοὺς ἔξω τοῦ οἴκου ὄντας πρὸς τὴν βοήθειαν αὐτοῦ ἐπικαλέσασθαι — τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ κεκαλυμμένη ἀπὸ Θεοῦ καλύμματι παθῶν καὶ συγκεκλεισμένη ἐν φυλακῇ σκότους ἁμαρτίας μένει τὸ δημιούργημα καὶ τὸ κτίσμα τὸ τίμιον ἔνδον τοῦ καλύμματος σῶον, οἷον ἐκτίσθη, καὶ οὐδὲν δύναται

---

1. Πρβλ. Ἐφ. 2,22.

ποιῆσαι πρὸς τὸ ἐξελθεῖν ἢ μόνον διανοηθῆναι καὶ διαλογίσασθαι καὶ φροντίσαι περὶ τῆς ζωῆς τοῦ φωτὸς καὶ βοῆσαι πρὸς τὸν ἔξωθεν τοῦ καλύμματος τοῦ σκότους ὄντα Κύριον καὶ λυτρωτήν, ἵν' οὗτος τῇ ἑαυτοῦ δυνάμει ὁρῶν ἡμῶν τὴν πρὸς αὐτὸν βοὴν καὶ ἵν' οὗτος τῇ ἑαυτοῦ δυνάμει ὁρῶν ἡμῶν τὴν πρὸς αὐτὸν βοὴν καὶ πίστιν καὶ ἀγάπην διαρρήξῃ τὸ κάλυμμα τοῦ σκότους καὶ φωτίσῃ τῷ **147** ἑαυτοῦ φωτὶ τὴν ψυχὴν καὶ λυτρώσηται ἐκ τοῦ σκότους τῆς ἁμαρτίας τῶν παθῶν καὶ ὁδηγήσῃ αὐτὴν κατὰ τὸ ἑαυτοῦ θέλημα. Αὕτη γὰρ ἔνδοθεν τοῦ καλύμματος οὖσα ἐκτείνει τὴν διάνοιαν αὐτῆς πρὸς αὐτὸν τῇ ζητήσει καὶ τῷ πόθῳ πάντα τὰ βλεπόμενα παριδοῦσα καὶ πρὸς τὴν ἀόρατον θείαν δύναμιν μετὰ πίστεως καὶ πόθου τῇ ζητήσει ἑαυτὴν ἐπείγουσα καὶ προσδοκῶσα τὴν ἐπίσκεψιν τῆς χάριτος. Καὶ αὐτὸς ἄνω ὢν ἐκτείνει τὴν διάνοιαν αὐτοῦ πρὸς αὐτὴν εὑρισκόμενος αὐτῇ καὶ φανερούμενος καὶ ἀναπαύων ἀναπαύσει πνευματικῇ καὶ ὁδηγῶν αὐτὴν εἰς πᾶν τὸ ἑαυτοῦ θέλημα.

Ϛ'. Ἐὰν μὴ γὰρ ἡ διάνοια τοῦ Κυρίου ἔλθῃ πρὸς τὴν αὐτῆς διάνοιαν καὶ ὁδηγήσῃ αὐτήν, οὐκ οἶδε ποιῆσαι τὸ θέλημα τοῦ Θεοῦ. Ὅσον γὰρ αὐτὴ καὶ τὸ φρόνημα αὐτῆς καὶ τὸν νοῦν ἀεὶ κολλᾷ πρὸς αὐτὸν τῇ ζητήσει καὶ πίστει καὶ πόθῳ, [αὐτὸς πολὺ μᾶλλον τῇ ἑαυτοῦ χρηστότητι προσέχων τῇ ἐνδιαθέτῳ αὐτῆς ἀγάπῃ κολλᾶται τῇ διανοίᾳ αὐτῆς καὶ γίνεται μετ' αὐτῆς εἰς «ἓν πνεῦμα»[1] κατὰ τὸν ἀποστολικὸν λόγον. Τῆς γὰρ ψυχῆς κολλωμένης τῷ Κυρίῳ καὶ τοῦ Κυρίου ἐλεοῦντος καὶ ἀγαπῶντος αὐτὴν καὶ ἐρχομένου τε πρὸς αὐτὴν καὶ κολλωμένου αὐτῇ καὶ λοιπὸν τῆς διανοίας παραμενούσης ἀδιαλείπτως τῇ χάριτι τοῦ Κυρίου εἰς «ἓν πνεῦμα» καὶ εἰς μίαν κρᾶσιν καὶ εἰς μίαν διάνοιαν γίνονται ἡ ψυχὴ καὶ ὁ Κύριος. Καὶ τὸ μὲν σῶμα αὐτῆς ἔρριπται ἐν τῇ γῇ, ἡ δὲ διάνοια αὐτῆς ὅλη ἐξ ὅλου «ἐν τῇ «ἐπουρανίῳ» «Ἱερουσαλήμ»[2] πολιτεύεται, «ἕως τρίτου οὐρανοῦ»[3] ἀνερχομένη καὶ κολλωμένη τῷ Κυρίῳ καὶ διακονοῦσα αὐτῷ. Καὶ αὐτὸς ἐν τῷ θρόνῳ «τῆς μεγαλωσύνης»[4] καθεζόμενος ἐν οὐρανοῖς ἐν τῇ «ἐπουρανίῳ» πόλει ὅλος πρὸς αὐτὴν ἐν τῷ σώματι αὐτῆς ἐστιν. Τὴν αὐτῆς εἰκόνα τέθεικεν ἄνω ἐν τῇ «ἐπουρανίῳ» πόλει τῶν ἁγίων «Ἱερουσαλήμ»[5] καὶ τὴν ἰδίαν εἰκόνα τοῦ ἀρρήτου φωτὸς τῆς θεότητος αὐτοῦ ἔθετο ἐν τῷ σώματι αὐτῆς. Αὐτὴ αὐτῷ διακονεῖ ἐν τῇ ἐπουρανίῳ πόλει καὶ αὐτὸς αὐτῇ διακονεῖ ἐν τῇ τοῦ σώματος πόλει. Αὐτὴ αὐτὸν ἐκληρονόμησεν ἐν οὐρανοῖς καὶ αὐτὸς αὐτὴν ἐκληρονόμησεν ἐπὶ γῆς. Ὁ Κύριος γὰρ κληρονομία τῆς **148** ψυχῆς γίνεται καὶ ἡ ψυχὴ τοῦ Κυρίου. Εἰ γὰρ καὶ τῶν ἐν σκότει ἁμαρτωλῶν ὄντων ἡ διάνοια καὶ ὁ νοῦς τοσοῦτον πόρρω τοῦ σώματος εἶναι δύναται καὶ μακρὰν ἀποδημεῖ καὶ εἰς πορρωτέρας πατρίδας ῥοπῇ ὥρας ἐξελθεῖν δύναται καὶ πολλάκις ἔρριπται ἐν τῇ γῇ τῷ σώματι καὶ

---

1. Πρβλ. Α' Κορ. 6,17. 2. Πρβλ. Ἑβρ. 12,22. 3. Πρβλ. Β' Κορ. 12,2. 4. Πρβλ. Ἑβρ. 8,1. 5. Πρβλ. Ἑβρ. 12,22.

ἡ διάνοια ἐν ἑτέρᾳ πατρίδι πρὸς τὸν ἀγαπητὸν αὐτῆς τυγχάνει ἢ πρὸς τὴν ἀγαπητήν, κἀκεῖ ἑαυτὸν ὡς διαιτώμενον καθορᾷ — εἰ οὖν ἡ τοῦ ἁμαρτωλοῦ ψυχὴ οὕτως εὔπτερος καὶ ἐλαφρά <ἐστιν> ὥστε τὸν νοῦν αὐτῆς μὴ ἐμποδίζεσθαι ἀπὸ τῶν πορρωτέρων τόπων, πόσῳ μᾶλλον ψυχή, ἧς ἤρθη τὸ κάλυμμα τοῦ σκότους ὑπὸ τῆς δυνάμεως τοῦ Πνεύματος καὶ ἐφωτίσθησαν οἱ νοεροὶ ὀφθαλμοὶ αὐτῆς ὑπὸ τοῦ ἐπουρανίου φωτὸς καὶ ἐλυτρώθη τελείως τῶν παθῶν τῆς «ἀτιμίας»[1] καὶ καθαρὰ διὰ τῆς χάριτος κατειργάσθη, ὅλη ἐν οὐρανοῖς ἐν πνεύματι διακονεῖ τῷ Χριστῷ καὶ ὅλη ἐν τῷ σώματι διακονεῖ αὐτῷ καὶ τοσοῦτον πλατύνεται τῷ φρονήματι, ὥστε πανταχοῦ αὐτὴν εἶναι καὶ ὅπου βούλεται καὶ ἔνθα βούλεται διακονεῖν τῷ Κυρίῳ.

Ζ΄. Τοῦτό φησιν ὁ ἀπόστολος· «ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις τί τὸ πλάτος καὶ μῆκος καὶ βάθος καὶ ὕψος, γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ Χριστοῦ, ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ Θεοῦ»[2]. Θεώρησον ἄρρητα μυστήρια ψυχῆς, ἧς περιαιρεῖ ὁ Κύριος τὸ ἐπικείμενον σκότος καὶ ἀποκαλύπτει αὐτὴν καὶ ἀποκαλύπτεται αὐτῇ, πῶς πλατύνει καὶ τείνει τὰ φρονήματα τοῦ νοὸς αὐτῆς εἰς τὰ πλάτη καὶ μήκη καὶ βάθη καὶ ὕψη πάσης ὁρατῆς καὶ ἀοράτου κτίσεως. Μέγα τοίνυν καὶ θαυμαστόν τι καὶ θεῖον ἔργον ἐστὶν ἡ ψυχή. Καὶ ὡς φαίνεται καὶ πρὸ τῆς τοῦ σώματος διαπλάσεως ἐδημιούργησεν αὐτήν· ἐν γὰρ τῷ εἰπεῖν· «ποιήσωμεν ἄνθρω-**149**πον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν»[3] παρὰ Θεοῦ ἡ ψυχὴ πεποίηται καὶ οὕτω λαβὼν «χοῦν ἀπὸ τῆς γῆς» ἔπλασε τὸ σῶμα «καὶ ἐνεφύσησε»[4] διὰ τοῦ Πνεύματος ἣν ἔκτισε ψυχὴν ἐν τῷ σώματι. Ἐν δὲ τῷ δημιουργῆσαι τὴν ψυχὴν τοιαύτην αὐτὴν πεποίηκεν· ἐν τῇ φύσει αὐτῆς κακίαν οὐκ ἐνέθηκεν, οὐκ ᾔδει κακίαν ἡ φύσις αὐτῆς, ἀλλὰ κατὰ τὴν εἰκόνα[5] τῶν ἀρετῶν τοῦ Πνεύματος ἐποίησεν αὐτήν. Ἔθηκεν εἰς αὐτὴν νόμους ἀρετῶν, διάκρισιν, γνῶσιν, φρόνησιν, πίστιν, ἀγάπην καὶ τὰς λοιπὰς ἀρετὰς κατὰ τὴν «εἰκόνα»[6] τοῦ Πνεύματος. Ἔτι γὰρ καὶ νῦν τῇ γνώσει καὶ φρονήσει καὶ ἀγάπῃ καὶ πίστει εὑρίσκεται καὶ φανεροῦται αὐτῇ ὁ Κύριος. Ἔθηκεν εἰς αὐτὴν διάνοιαν, λογισμούς, θέλημα, νοῦν ἡγεμόνα, ἐνθρονίσας ἐν αὐτῇ καὶ ἄλλην τινὰ πολλὴν ἔχουσα ἐν αὐτῇ λεπτότητα. Ἐποίησεν αὐτὴν εὐκίνητον, εὔπτερον, ἄκοπον τὸ ἐν ῥοπῇ ἔρχεσθαι καὶ τοῖς φρονήμασιν διακονεῖν αὐτῷ ἔνθα τὸ Πνεῦμα βούλεται, καὶ ἁπαξαπλῶς ἔκτισεν αὐτὴν τοιαύτην τοῦ γενέσθαι αὐτὴν νύμφην καὶ κοινωνικὴν ἑαυτοῦ, τοῦ αὐτὸν μετ' αὐτῆς κεκρᾶσθαι καὶ εἰς «ἓν πνεῦμα» μετ' αὐτοῦ αὐτὴν γενέσθαι, ὥς φησιν· «ὁ κολλώμενος τῷ Κυρίῳ» εἰς «ἓν πνεῦμά ἐστιν»][7]*.

Η΄. [Οὔτε γὰρ σοφοὶ διὰ τῆς σοφίας οὔτε φρόνιμοι διὰ τῆς φρονήσεως

---

* Πρβλ. Μακαρίου, Ὁμιλία ΜϚ΄,3.

1. Πρβλ. Ρωμ. 1,26. 2. Ἐφ. 3,18-19. 3. Γεν. 1,26. 4. Γεν. 2,7. 5. Γεν. 1,26-27. 6. Πρβλ. Ἐνθ' ἀν. 7. Α΄ Κορ. 6,17.

αὐτῶν ἠδυνήθησαν καταλαβεῖν ψυχῆς λεπτότητα ἢ εἰπεῖν περὶ αὐτῆς ὥς ἐστιν, εἰ μὴ μόνον οἷς διὰ τοῦ Πνεύματος ἀποκαλύπτεται ἡ κατάληψις καὶ γνῶσις ἀκριβὴς περὶ ψυχῆς γνωρίζεται. Ἀλλ' ἐνταῦθα θεώρει καὶ διάκρινον καὶ συνετῶς ἄκουσον· οὗτος Θεός, αὕτη οὐ θεός, οὗτος Κύριος, αὕτη δούλη, οὗτος κτίστης, αὕτη κτίσμα, οὗτος ποιητής, αὕτη ποίημα. Οὐδὲν κοινὸν τῆς αὐτοῦ καὶ αὐτῆς φύσεως τυγχάνει, ἀλλὰ διὰ τὴν ἄπειρον καὶ ἄρρητον καὶ ἀνεννόητον ἀγάπην καὶ εὐσπλαγχνίαν αὐτοῦ ηὐδόκησε τοιοῦτον ποίημα καὶ κτίσμα νοερὸν καὶ τίμιον καὶ ἐξαίρετον ποιῆσαι, ὥς φησιν ἡ Γραφή· «εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν **150** τινα τῶν ἑαυτοῦ κτισμάτων»[1], εἰς τὴν ἑαυτοῦ συνάφειαν καὶ τὴν ἑαυτοῦ κοινωνίαν, εἰς ἴδιον «κατοικητήριον»[2], εἰς ἰδίαν τιμίαν καὶ καθαρὰν νύμφην. Τοιούτων οὖν ἀγαθῶν προκειμένων καὶ τοιούτων ἐπαγγελιῶν ἐπαγγελθεισῶν καὶ τοιαύτης εὐδοκίας ὑπὸ Θεοῦ εἰς ἡμᾶς γεγενημένης μὴ ἀμελήσωμεν, ὦ τέκνα, μηδὲ ὀκνήσωμεν ἐπειχθῆναι πρὸς τὴν αἰώνιον ζωὴν καὶ ἑαυτοὺς ὁλοτελῶς τῇ τοῦ Κυρίου εὐαρεστήσει ἀποδοῦναι. Παρακαλέσωμεν τοίνυν τὸν Κύριον, ἵνα τῇ ἰδίᾳ τῆς θεότητος δυνάμει λυτρώσηται ἡμᾶς ἐκ τῆς φυλακῆς τοῦ σκότους τῶν παθῶν τῆς «ἀτιμίας»[3] καὶ τὴν ἰδίαν εἰκόνα καὶ τὸ πλάσμα ἐκδικήσας ἀναλάμψαι ποιήσῃ, σῶαν καὶ καθαρὰν τὴν ψυχὴν ἀπεργασάμενος, ἵνα τυχόντες καὶ καταξιωθέντες τῆς κοινωνίας τοῦ «Πνεύματος»[4] αὐτοῦ σὺν αὐτῷ ἀπολαῦσαι καταξιωθῶμεν εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν]*.

ΟΜΙΛΙΑ ΚΖ΄ (ΠΔ΄)

151 Α΄. Οἱ ἀγαπητοὶ ἡμῶν ἀδελφοὶ τὸν λόγον τῆς ἀληθείας πεινῶσι καὶ διψῶσιν, ἐν ἀγάπῃ πολλῇ ἐπιθυμοῦντες αὐτὸν ἀκούειν. Κἂν ἡμεῖς τοίνυν ἰδιῶται τυγχάνωμεν, ἀλλ' αὐτοὶ ἐν πόθῳ καὶ στοργῇ δεχόμενοι τὸν λόγον τοῦ Θεοῦ εὐφραίνονται καὶ ἐν τούτῳ τὸ Ἅγιον Πνεῦμα χαίρει, ὅταν ὁ ἴδιος λόγος ἐν τῷ κόσμῳ τούτῳ λαλῆται. Κἂν γὰρ νήπιόν ἐστι τὸ βρέφος μὴ δυνάμενον κατὰ τὴν τῆς μητρὸς ὁμιλίαν λαλεῖν, ἀλλ' αὐτὴ ἡ μήτηρ συγκατερχομένη τῷ παιδίῳ καὶ συμψελλίζουσα συλλαλεῖ αὐτῷ, καὶ χαίρει ἡ μήτηρ ἐπὰν πρὸς αὐτὴν τὸ βρέφος προσλαλῇ τῇ στοργῇ τοῦ νηπίου ἀποσκοποῦσα. Καὶ ἡμεῖς τοίνυν, κἂν νήπιοι τυγχάνωμεν πρὸς τὴν ἄπειρον καὶ ἀκατάληπτον τοῦ Κυρίου δόξαν καὶ κράτος καὶ γνῶσιν, μὴ δυνάμενοι κατ' ἀξίαν ὑφηγήσασθαι ἢ ἐξειπεῖν τὰ τοῦ Πνεύματος μυστήρια, ὅμως ἡ χάρις τοῦ Πνεύματος, ἡ μήτηρ τῶν ἁγίων, χαίρει, ὅταν ὁ περὶ αὐτῆς λόγος ἐν τῷ κόσμῳ λαλῆται. Τὰ γὰρ ἐκ Πνεύματος γεννώμενα τέκνα ἐν οὐδενὶ τὴν ἀνάπαυσιν καὶ

---

* Πρβλ. Μακαρίου, Ὁμιλία ΜΘ΄,4.

1. Ἰακ. 1,18. 2. Πρβλ. Ἐφ. 2,22. 3. Πρβλ. Ρωμ. 1,26. 4. Πρβλ. Β΄ Κορ. 13,13.

τὴν ἀγαλλίασιν ἔχουσιν εἰ μὴ ἐν τῷ λόγῳ ἐκείνῳ ὅθεν γεννῶνται. Ἕκαστον γὰρ τῶν ὄντων εἰς ἣν πατρίδα καὶ ἐν ᾧ τόπῳ γεννᾶται, ἐκεῖ καὶ ἀναπαύεται καὶ χαίρει. Ἔστι κτίσματα διάφορα καὶ ἕκαστον κτίσμα ἔχει ἴδια γεννήματα. Ἡ γῆ ἔχει πάντα τὰ ἐν αὐτῇ φυόμενά τε καὶ γεννώμενα ζῷα, θηρία τε καὶ ἑρπετὰ καὶ κτήνη ἢ καὶ ἕτερά τινα. Τὰ ὕδατα ὁμοίως ἴδια γεννήματα ἔχει, τῶν ἰχθύων τὴν πολλὴν διαφοράν. Ὡσαύτως καὶ ὁ ἀὴρ τὴν πολλὴν τῶν πετεινῶν πληθὺν καὶ διαφορὰν ἐν αὐτῷ κέκτηται, καὶ πάλιν ὁ οὐρανὸς ἴδια τὰ τῶν ἀστέρων ἔχει γεννήματα καὶ τὰ ἐπάνω τῶν οὐρανῶν, καὶ οὐκ **152** ἐοίκασιν ἀλλήλοις ἄλληλα οὔτε τὰ τούτων κτίσματα· ἄλλη γὰρ ἰδέα καὶ διαγωγὴ τῶν οὐρανίων καὶ ἄλλη τῶν ἐπιγείων, καὶ ἐξ ἧς οὐσίας οὗ γεγέννηταί τι, ἐὰν βουληθῇ ἀπελθεῖν κἀκεῖ διαιτᾶσθαι ὅθεν οὐκ ἐγεννήθη, πνιγμὸς καὶ θάνατος καὶ ἀφανισμὸς αὐτῷ συμβήσεται. Οἷον οἱ ἰχθύες τῆς θαλάσσης ἐὰν ἐν τῇ γῇ διαιτᾶσθαι βούλωνται θανατωθήσονται, ἐπειδὴ ἐξ αὐτῆς οὐκ ἐγεννήθησαν· τὰ τετράποδα τῆς γῆς ἐὰν τὴν διαγωγὴν ἐν τοῖς ὕδασιν ἔχειν θελήσωσιν πνίγονται καὶ θανατοῦνται, ἐπειδὴ ἐκεῖ οὐκ ἐγεννήθησαν· τὰ πετεινὰ τοῦ οὐρανοῦ ἀφέντα τὴν ἐν τῷ ἀέρι πορείαν ἐπὶ γῆς τὴν διατριβὴν ποιῶνται ὑπὸ θηρίων καὶ ἑρπετῶν ἢ καὶ ὑπὸ ἀνθρώπων ἀναλίσκονται. Ἕκαστον γὰρ εἰς ἣν φύσιν καὶ οὐσίαν καὶ κόσμον ἐγεννήθη, ἐκεῖ ζῇ καὶ ἀναπαύεται. Οὕτω τοίνυν καὶ τὰ τέκνα τοῦ Πνεύματος ὁ ἐκεῖθεν λόγος τοῦ Θεοῦ θάλπει καὶ ἀναπαύει καὶ τροφοφορεῖ, ὁ δὲ τοῦ κόσμου λόγος συμπνίγει καὶ ἐξαφανίζει καὶ θανατοῖ. Οὐδὲν γὰρ κοινωνεῖ καὶ οὐδὲν ἔοικεν ὁ λόγος τοῦ Θεοῦ καὶ ὁ λόγος τοῦ κόσμου.

Β΄.[Ὁ γὰρ τοῦ Θεοῦ «λόγος» «Θεός»[1] ἐστι καὶ ὁ λόγος τοῦ κόσμου κόσμος ἐστί, καὶ πολλὴ διαφορὰ καὶ μεσότης τυγχάνει τοῦ λόγου τοῦ Θεοῦ καὶ τοῦ λόγου τοῦ κόσμου καὶ τῶν τέκνων τοῦ Θεοῦ καὶ τῶν τέκνων τοῦ κόσμου, καὶ ἕκαστον γέννημα τοῖς ἰδίοις γονεῦσιν ἔοικεν. Ἐὰν θελήσῃ τὸ ἐκ τοῦ Πνεύματος γέννημα ἐπιδοῦναι ἑαυτὸ εἰς τὸν λόγον τοῦ κόσμου καὶ τὰ πράγματα τῆς γῆς καὶ τὴν δόξαν τοῦ αἰῶνος τούτου, θανατοῦται καὶ ἀπόλλυται ἀνάπαυσιν ἀληθινῆς ζωῆς εὑρεῖν μὴ δυνάμενον. Ἡ γὰρ ὄντως ἀνάπαυσις αὐτοῦ ἐκεῖ ἐστιν ὅθεν ἐγεννήθη· συμπνίγεται γὰρ (ὥς φησιν) «καὶ ἄκαρπος γίνεται»[2] ἀπὸ τοῦ λόγου τοῦ Θεοῦ ὁ βιοτικαῖς φροντίσι συνεχόμενος καὶ γηΐνοις δεσμοῖς δεσμούμενος. Ὡσαύτως καὶ ὁ σαρκικῇ προαιρέσει ἐνεχόμενος (τοῦτ' ἔστιν ἄνθρωπος τοῦ κόσμου), ἐπὰν ἐπακούῃ τοῦ λόγου τοῦ Θεοῦ συμπνίγεται **153** καὶ ὥσπερ ἀλόγιστός τις καθίσταται. Ἐθισθέντες γὰρ ταῖς κακαῖς ἀπάταις ὁπόταν περὶ Θεοῦ ἀκούσωσιν, ὡς ἀηδεῖ ὁμιλίᾳ καταυγαζόμενοι τὸν νοῦν ἀηδίζονται. Ὡς καὶ ὁ ἀπόστολός φησιν· «ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ ἐστιν»[3], καὶ ὁ προφήτης· ἐγένετό φησιν αὐτοῖς ὁ λόγος τοῦ Θεοῦ ὡς

---

1. Πρβλ. Ἰω. 1,1. 2. Πρβλ. Ματθ. 13,22. 3. Α΄ Κορ. 2,14.

«ἔμετος»[1]. Ὁρᾷς, ὅτι εἰς ὃν αἰῶνά τις οὐ γεγέννηται, ζῆν αὐτὸν ἐκεῖ οὐκ ἐνδέχεται. Καὶ ἑτέρως δὲ ἀκουστέον περὶ τοῦ αὐτοῦ. Ἐὰν ἐπιδῷ ἑαυτὸν εἰς μεταβολὴν ἐλθεῖν ὁ σαρκικὸς ἄνθρωπος, ἀποθνήσκει πρότερον ἐκεῖθεν «καὶ ἄκαρπος γίνεται»[2] τῆς προτέρας καὶ παλαιᾶς τῆς εἰς τὴν πονηρίαν τοῦ κόσμου ζωῆς, καὶ τότε ζῆσαι δύναται εἰς τὸν τοῦ Θεοῦ λόγον. Ἀναγεννηθῆναι γὰρ δεῖ ἀπὸ τῆς προτέρας κακίστης ζωῆς τὸν βουλόμενον ἐν ἑτέρᾳ ζωῇ ἑαυτὸν ἐπιδοῦναι. Καὶ ὥσπερ ἐάν τις νόσῳ ἢ πυρετῷ κατέχεται, καὶ τὸ μὲν σῶμα ἰδοὺ ἔρριπται ἐν τῇ κλίνῃ μηδὲν δυνάμενον διαπράξασθαι τῶν τῆς γῆς ἔργων, ἀλλ' ὅμως ἡ γλῶσσα λαλεῖ περὶ αὐτῶν τῶν ἔργων καὶ ὁ νοῦς οὐχ ἡσυχάζει περισπώμενος καὶ μεριμνῶν περὶ τῆς ἐργασίας, καὶ τὸν ἰατρὸν ἐπιζητεῖ ἀποστέλλων πρὸς αὐτὸν τοὺς φίλους αὐτοῦ, τὸν αὐτὸν τρόπον ἡ ψυχὴ ἀπὸ τῆς παραβάσεως τῆς ἐντολῆς ἐν ἀσθενείᾳ τῶν παθῶν γεγονυῖα καὶ ἄτονος καταστᾶσα, προσερχομένη δὲ τῷ Κυρίῳ καὶ πιστεύουσα τῆς ἀντιλήψεως τυχεῖν καὶ ἀρνησαμένη τὴν προτέραν κακίστην ζωήν, εἰ καὶ ἐν τῇ ἀσθενείᾳ τῆς ἁμαρτίας κατάκειται ἡ ψυχὴ μὴ δυναμένη τὰ ἔργα τῆς ζωῆς ἐν ἀληθείᾳ διαπράξασθαι, ἀλλ' ὅμως τὸ μεριμνῆσαι περὶ τῆς ζωῆς ἐμπόνως, τὸ δεηθῆναι τοῦ Κυρίου, τὸ ζητῆσαι τὸν ἀληθινὸν ἰατρὸν ἔχει καὶ δύναται.

Γ'. Καὶ οὐχ ὥς φασί τινες πλάνῳ διδασκαλίας ἀπαγόμενοι, ὅτι καθ**154**άπαξ ἀπέθανεν ὁ ἄνθρωπος καὶ ὅλως οὐδὲν δύναται ἀγαθὸν διαπράξασθαι. Καὶ γὰρ τὸ βρέφος κἂν μηδὲν ἔργον ἀκμὴν δύναται διαπράξασθαι ἢ τοῖς ἰδίοις ποσὶν ἐλθεῖν πρὸς τὴν μητέρα ἀδυνατῇ, ὅμως κυλίεται, βοᾷ, κλαίει ἐπιζητοῦν τὴν μητέρα, καὶ ἐν τούτῳ σπλαγχνίζεται ἡδομένη ἡ μήτηρ καὶ χαίρει ἐπιζητοῦντος αὐτὴν τοῦ νηπίου ἐν πόνῳ καὶ κραυγῇ, καὶ ἀδυνατοῦντος τοῦ βρέφους ἀπελθεῖν πρὸς αὐτήν, ὅμως διὰ τὴν πολλὴν τοῦ παιδὸς ζήτησιν καὶ πόθον αὐτὴ ἡ μήτηρ ἀπέρχεται πρὸς αὐτὸ ὑπὸ τῆς πρὸς τὸ βρέφος ἀγάπης αἰχμαλωτιζομένη καὶ περιθάλπει καὶ τροφοφορεῖ ἐν πολλῇ στοργῇ]*. Ὅμως καὶ προσλαμβανομένη ἡ μήτηρ τὸ βρέφος, ἀκμὴν οὐκ ἀναπαύεται, ἀλλ' ὀδύρεται ἕως θῇ αὐτὸ ἐν ταῖς ἀγκάλαις αὐτῆς καὶ τὸν μαστὸν τῆς ἰδίας τοῦ γάλακτος τροφῆς προσαγάγῃ, καὶ οὕτω λοιπὸν αἱ πηγαὶ τοῦ γάλακτος ῥέουσαι εὐφραίνουσι τὸ νήπιον. Ὅμως τὸ βρέφος καὶ ἀναπαὲν καὶ ἀναληφθὲν ὑπὸ τῆς μητρὸς καὶ τῷ μαστῷ προσεγγίσαν καὶ τῆς ἰδίας τοῦ γάλακτος τροφῆς ἀπολαῦον ἀκμὴν κλαίει, ὅτι μὴ ταχέως ἡ μήτηρ προσελάβετο καὶ ἀνέπαυσεν, ἀλλ' εἴασεν αὐτὸ ἐπὶ πολὺ θλιβῆναι. Κἂν μυρία γὰρ παραθῇ τις τῷ βρέφει ἐδέσματα ἢ χρυσὸν ἢ ἄργυρον ἢ ἕτερά τινα, ἐπ' οὐδενὶ τούτων χαίρει ἢ ἐπαναπαύεται ἢ περισπᾶται ἢ μόνον ἐν τῇ τῆς μητρὸς θηλῇ καὶ ἐπὶ τῇ ταύτης ὁράσει τέρπεται καὶ ἐξ αὐτῆς τροφὴν λαμβάνον εὐφραίνεται καὶ αὐτὴν ὁρῶν χαίρει καὶ ἀγαλλιᾷ.

* Πρβλ. Μακαρίου, Ὁμιλία ΜϚ',1.

1. Πρβλ. Ἡσ. 28,13. (Θδτ). 2. Πρβλ. Ματθ. 13,22.

Δ'. Ὡσαύτως δὲ καὶ ἕκαστον τῶν ὁρωμένων ἕως καὶ τῶν ἀλόγων, ἤτοι τετραπόδων ἢ πετεινῶν, τὴν πρὸς τὰ τέκνα στοργὴν καὶ ἀναστροφὴν καὶ τῶν τέκνων πρὸς τὰς ἰδίας μητέρας οἰκείωσιν καὶ ἀγάπην ἡ φύσις φυλάττει ἀκολούθῳ τάξει. Οἷον, ὡς ἐπὶ τῶν πετεινῶν τὸ ὑπόδειγμα καταμάθωμεν, ἡ χελιδὼν τὴν ἰδίαν καλιὰν ἄνω που ποιεῖται εἰς ὑψηλοτέρους τόπους ἀπὸ ἑρπετῶν παραφυλαττομένη κἀκεῖ τὰ ἑαυτῆς τέκνα ἀνατρέφει καὶ θάλπει, καὶ οὐδεμιᾷ φωνῇ ἀνθρώπων ἢ ζῴων ἢ ἑτέρων τινῶν προσέχουσιν ἢ περισπῶνται τὰ νοσσία, μόνον δὲ τῆς
155 μητρὸς τὴν φωνὴν ἂν ἀκούσωσιν, εὐθέως προσεπεγείρονται καὶ κεκράγασι ζητοῦντα αὐτήν. Ἡ δὲ χελιδὼν πανταχοῦ περιερχομένη τῷ θελήματι αὐτῆς τὴν τροφὴν τοῖς τέκνοις προσκομίζει καὶ διαμασωμένη καὶ εἰς τρυφερότητά τινα καθιστῶσα προσδίδωσιν, ἵνα τὰ τέκνα αὐτῆς ἀκολούθως καὶ χρησίμως τραφῆναι δυνηθῶσιν. Τὸν αὐτὸν οὖν τρόπον καὶ αἱ ψυχαὶ αἱ ἐν τῇ νηπιότητι τοῦ κόσμου τυγχάνουσαι καὶ ὑπὸ τῶν παθῶν συνεχόμεναι καὶ τὰ ἔργα τῆς ζωῆς ἐν ἀληθείᾳ ποιεῖν ἀδυνατοῦσαι διὰ τὴν συνοῦσαν αὐταῖς τῆς κακίας δύναμιν, βοῶσαι δὲ καὶ ζητοῦσαι τὴν ἐκ Θεοῦ ἀντίληψιν καὶ πόνον πολὺν καὶ πόθον ἔχουσαι πρὸς τὴν αἰώνιον ζωήν, τὴν ἐπουράνιον μητέρα, τὸ Πνεῦμα τὸ Ἅγιον, κλαυθμῷ καὶ βοῇ ταύτην ζητοῦσαι ἐπὶ μηδενὶ ἐπαναπαυόμεναι τοῦ κόσμου τούτου, εἰ μὴ μόνον τὴν ἀνάπαυσιν ἐν τῇ τοῦ Πνεύματος μετουσίᾳ καὶ ἀνατροφὴν τὴν ἐπιπόθησιν ἔχουσαι — αὐτὴ ἡ χρηστὴ καὶ οὐράνιος μήτηρ, ἡ χάρις τοῦ Πνεύματος, ἐρχομένη πρὸς τὰς ζητούσας αὐτὴν ψυχὰς ἀναλαμβάνει ἐν ταῖς ἰδίαις τῆς ζωῆς ἀγκάλαις καὶ ἀναθάλπει τῇ πνευματικῇ καὶ οὐρανίῳ τοῦ τρυφεροῦ καὶ ἐπιθυμητοῦ καὶ ἁγίου καὶ λογικοῦ καὶ ἀδόλου γάλακτος[1] τροφῇ εἰς αἴσθησιν καὶ ἐπίγνωσιν τοῦ οὐρανίου Πατρὸς ὁσημέραι ἐν προκοπῇ τῆς νοητῆς ἡλικίας αὐξανόμεναι, ἕως οὗ εἰς τέλειον μέτρον ἐλθοῦσαι καὶ «εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ»[2] καταντήσασαι κατὰ τὸν τοῦ ἀποστόλου λόγον τῆς αἰωνίου ζωῆς τὴν μετουσίαν κομίσωνται.

Ε'. Αὐτὸς γὰρ μόνος ὁ Κύριος τῇ ἰδίᾳ χρηστότητι καὶ εὐδοκίᾳ τοὺς διεσκορπισμένους ἐν τῷ κόσμῳ τῆς ψυχῆς λογισμοὺς συνάγειν εἰς ἕνα ἔνθεον καὶ ἄνω προσέχοντα λογισμὸν δύναται. Ὥσπερ γὰρ τὸ γάλα λύεται ἐν ἁπαλότητι καὶ κέχυται ἐν τῷ ἀγγείῳ ἐν χαυνότητι, πυτίας δὲ βληθείσης συνάζεται εἰς μίαν τινὰ στερρότητα καὶ παγιότητα καὶ τὸ ἄλευρον ὁμοίως ἐν πολλῇ κέχυται τῇ λεπτότητι, ζύμης δὲ
156 βληθείσης (ὡς ὁ Κύριος ὑπέθετο τῇ βασιλείᾳ τῶν οὐρανῶν παρεικάσας τὰ «τρία σάτα τοῦ ἀλεύρου», «ἕως οὗ», φησίν, «ζυμωθῇ ὅλον»[3]) συνάγεται εἰς ἑνότητα διὰ τοῦ ὕδατος τὸ πολύχουν ἄλευρον, καὶ τίς δύναται εἰς στερρότητα καὶ χρησιμότητα εἰς τὴν τῶν ἀνθρώπων τροφὴν ἀπεργάσασθαι ὥστε ἄρτον γενέσθαι, εἰ μὴ τὸ πῦρ μόνον; Τὸν

1. Πρβλ. Α' Πέτρ. 2,2. 2. Ἐφ. 4,13. 3. Ματθ. 13,33.

αὐτὸν τρόπον καὶ ἡ ψυχή, ἐν πολλῇ χαυνότητι καὶ ὑδαρότητι τοῦ κόσμου κεχυμένη διὰ τὴν πρόληψιν τῆς πρὸς τὰ πάθη συνηθείας καὶ τὴν τῶν λογισμῶν λεπτότητα ἀλεύρου τρόπον ἐν τῷ αἰῶνι τούτῳ καταμεμερισμένη—τίς δύναται ἑνῶσαι τὰ ἐσκορπισμένα αὐτῆς νοήματα καὶ στερρὸν καὶ θεῖον καὶ εὐθῆ λογισμὸν ἀποκαταστῆσαι, εἰ μὴ διὰ πίστεως τῆς ψυχῆς ἡ δύναμις τῆς χάριτος καὶ τὸ ἐπουράνιον πῦρ τοῦ Πνεύματος τῇ ἰδίᾳ δοκιμασίᾳ εἰς χρησιμότητα καὶ σωφροσύνην τῷ ἐπουρανίῳ Πατρὶ ἀποκαταστήσει, καὶ οὕτως ἀξία τῆς βασιλείας τῶν οὐρανῶν γενέσθαι δύναται; Ὁμοίως καὶ ὁ ποιμὴν «τὰ διεσκορπισμένα»[1] πρόβατα συνάγει τῇ ἰδίᾳ φωνῇ εἰς μίαν ποίμνην[2], καὶ αὐτῷ ἀκολουθοῦσιν συνηγμένα ἀλλήλοις καὶ ὑπ' αὐτοῦ ὁδηγούμενα. Οὐαὶ ἐκείνῳ τῷ ποιμνίῳ τῷ μὴ ἔχοντι τὸν ὁδηγοῦντα εἰς τὰς καλὰς νομὰς ἃς αὐτός ἐπίσταται, ὅτι ὑπὸ λύκων καὶ θηρίων διαφθείρεται. Οὐαὶ ψυχῇ τῇ μὴ ἐχούσῃ ἐν αὐτῇ ἐν πληροφορίᾳ τὸν ὁδηγὸν καὶ ποιμένα τῶν λογισμῶν αὐτῆς Χριστόν, ὅτι ὑπὸ τῶν δεινῶν λύκων καὶ τῶν θηρίων, τῶν πνευμάτων «τῆς πονηρίας»[3], διεσκορπισμένη τοῖς λογισμοῖς καταναλίσκεται.

Ϛ'. Πρόσωπα δὲ ἔχει ὁ λόγος σωματικῶς καὶ πνευματικῶς, ἐπειδὴ καὶ σῶμα καὶ ψυχὴν ἔχομεν· πάντα γὰρ τὰ ὁμοιώματα ὥσπερ ἔξωθεν σωματικῶς κατὰ τὴν ἐκκλησίαν καλεῖται, οὕτω δύναται καθ' ἕνα ἕκαστον πνευματικῶς νοεῖσθαι ἐν τῇ τῶν λογισμῶν τῆς ψυχῆς συνάξει καὶ ἑνώσει. Ὁμοίως πάλιν τὸ πολύχουν τοῦ σίτου τῶν σταχύων εἰς ἕτερον πρόσωπόν ἐστι νοεῖν. Ἰδοὺ γὰρ ὁρῶμεν, ὅτι πανταχόθεν συνάγεται διεσκορπισμένον ἐν πολλαῖς γαίαις καὶ ἀρούραις εἰς μίαν ἅλωνα, εἶτα συνθλιβόμενον καὶ συμπατούμενον ὑπὸ ζῴων λεπτύνεται ἡ καλάμη **157** σὺν τῷ σίτῳ· καὶ τίς δύναται τὸ ἄχυρον τοῦ σίτου χωρίσαι, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνέμου πνεύσει καὶ διαχωρίσει αὐτὰ ἀπ' ἀλλήλων; Τὸν αὐτὸν τρόπον τίς δύναται ψυχὴν ἐσκορπισμένην καὶ κεχυμένην ἐν τῇ τοῦ κόσμου γῇ, τοῦ αἰῶνος τούτου τῶν παθῶν πλάνῃ, συναγαγεῖν ἐν τῇ ἅλωᾳ τῆς καρδίας καὶ χωρίσαι ἐξ αὐτῆς τὴν μεμειγμένην ἁμαρτίαν τῶν λογισμῶν τῆς κακίας, εἰ μὴ μόνον τὸ οὐράνιον τοῦ Χριστοῦ Πνεῦμα πνεύσει ἐν αὐτῇ; Φησὶ γὰρ ὁ εὐαγγελιστής· «οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ καὶ τὸν μὲν σῖτον συνάξει ἐν ἀποθήκῃ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ»[4].

Ζ'. Παρακαλέσωμεν οὖν καὶ ἡμεῖς καὶ δεηθῶμεν τοῦ Κυρίου ἡμέρας καὶ νυκτὸς ἐν πόνῳ καρδίας καὶ πόθῳ στοργῆς ζητοῦντες αὐτὸν μόνον, ἐπὶ μηδενὶ τοῦ κόσμου (ἡδονῇ ἢ ἀρχῇ ἢ ἑτέρῳ τινὶ) ἐπαναπαυόμενοι ἢ μόνον πρὸς αὐτὸν τὴν ἐπιπόθησιν ἔχοντες, ἵνα συναγάγῃ τοὺς ἐσκορπισμένους ἡμῶν λογισμούς, ἵνα τῆς ἐπισκέψεως καὶ τῆς ἐπιμελείας αὐτοῦ καταξιωθέντες καὶ ὑπ' αὐτοῦ προσληφθέντες καὶ τροποφορηθέν-

1. Πρβλ. Ἰω. 11,52. 2. Πρβλ. Ἰω. 10,16. 3. Πρβλ. Ἐφ. 6,12. 4. Ματθ. 3,12.

τες τῆς αἰωνίου ζωῆς ἄξιοι γενώμεθα, ἵν' ὡς σῖτος καθαρὸς καθαρισθέντες ἐν τῇ τῶν οὐρανῶν χώρᾳ ὑπ' αὐτοῦ ἀποτεθῶμεν. Ὥσπερ γὰρ ἐργάτης ἢ γεωργὸς πᾶσαν ὕλην καὶ βοτάνας καὶ χόρτον καταλιμπάνων ἐπὶ τὴν ἐργασίαν καὶ συλλογὴν τοῦ σίτου πορεύεται (οἶδε γὰρ ὅτι ἐκεῖθεν τὸ κέρδος καὶ τὴν ἀνάπαυσιν ἔχει), οὕτω καὶ ὁ καλὸς καὶ ἀληθινὸς γεωργὸς τῆς ζωῆς ἡμῶν ὁ Κύριος ἐν τῇ δευτέρᾳ ἐπιδημίᾳ πάντα τὰ ἔθνη καὶ πάσας προαιρέσεις ὑλικὰς καὶ κοσμικάς, ὡς μὴ χρησιμευούσας αὐτῷ καταλιμπάνων καὶ παριδών, <ἐπὶ> τοὺς οἰκείους αὐτοῦ καὶ πιστοὺς καὶ φίλους καὶ μόνον αὐτὸν ἀγαπῶντας καὶ ὡς σῖτος καλὸς «εἰς τὴν ἀποθήκην»[1] τῆς ζωῆς αὐτοῦ καταρτισθέντας ἔρχεται καὶ τούτους συνάγει μόνους εἰς τὴν ἐπουράνιον τοῦ πατρὸς βασιλείαν, τοὺς δὲ λοιποὺς τῶν ἀκάρπων ἀνθρώπων παριδὼν ὡς χόρτον ἄκαρπον «πυρὶ»[2] παραδώσει, τοὺς τὸ θέλημα αὐτοῦ μὴ πεποιηκότας. Σπουδάσωμεν οὖν καὶ ἡμεῖς ἐν πάσῃ ἀγαθῇ ἀναστροφῇ καὶ τῇ τῶν **158** ἁγίων αὐτοῦ ἐντολῶν παραφυλακῇ καὶ πάσαις ταῖς τῆς ζωῆς ἐντολαῖς πάντοτε ἐνέχεσθαι καὶ τὴν τοῦ Πνεύματος μετουσίαν κομίσασθαι, ἵν' ὥσπερ σῖτος καθαρὸς γενόμενοι ὑπ' αὐτοῦ συναχθῆναι εἰς τὴν βασιλείαν ἄξιοι γενώμεθα. Ἀμήν.

---

1. Πρβλ. Ματθ. 3,12. 2. Πρβλ. Ἔνθ' ἀν.

ΟΜΙΛΙΑ ΚΗ΄ (=ΠΕ΄) Μορφὴ Α΄ *

160 Α΄. Ἡγοῦμαι κἀμοὶ νῦν ἁρμόζειν τὰ τοῦ προφήτου φάσκειν, ὅτι «ἐκαρτέρησα ὡς ἡ τίκτουσα»[1], ἀεὶ ὀρεγόμενος τῆς ἐν σοὶ τοῦ Ἁγίου Πνεύματος προκοπῆς, οὐ λόγῳ καὶ σκιαῖς εὑρισκομένης ἀλλ' ἐνεργείᾳ «ἀληθείας»[2] καὶ «δυνάμει Θεοῦ»[3] ἐπιτελουμένης κατ' αὐτὴν τὴν τοῦ δεσπότου ἀπόφασιν, ὅτι ἡ βασιλεία οὐκ «ἐν λόγῳ» ἀλλ' ἐν ἔργῳ καὶ «δυνάμει»[4], καὶ πάλιν· «ἡ βασιλεία» «ἐντὸς ὑμῶν ἐστιν»[5]. Οἱ μὲν γὰρ ἐν σχήματι τὸν Χριστὸν φιλοσοφοῦσιν, ἄλλοι δὲ καὶ ἐν λόγῳ, ἕτεροι δὲ καὶ ἐν αὐτῷ τῷ ἔργῳ, οἱ γὰρ «ἐν δυνάμει Θεοῦ»[6] λίαν σπάνιοι. Εἰσὶ δὲ οὗτοι, ἐφ' οὓς τὸ «Πνεῦμα» τὸ «Ἅγιον ἐπελεύσεται» καὶ «δύναμις ὑψίστου ἐπισκιάσει»[7].

Β΄. Εἰκὸς γὰρ πᾶσαν ψυχὴν ἀποδιδράσουσαν μὲν τὴν ἐκ τῆς δοθείσης καταδίκης τῇ Εὔᾳ λύπην, μεταδιώκουσαν δὲ τὴν χαρὰν τῆς Μαρίας παρθενευθῆναι ἀμώμως καὶ ἀμέμπτως τῷ ἀχράντῳ νυμφίῳ Χριστῷ.

162 Γ΄. Ὥσπερ γὰρ διὰ τοῦ χοϊκοῦ φρονήματος καὶ τῶν σαρκικῶν παθῶν ἐπιγινώσκομεν ἑαυτοὺς υἱοὺς τῆς Εὔας καὶ τοῦ Ἀδάμ, οὕτως ἡμᾶς χρὴ ἐπιγνῶναι τὴν υἱοθεσίαν διὰ τοῦ ἐπουρανίου φρονήματος καὶ τῶν παθῶν τοῦ Χριστοῦ. «Ἑαυτοὺς γὰρ πειράζετε», «ἑαυτοὺς δοκιμάζετε», «εἰ ἐστὲ ἐν τῇ πίστει», εἰ «Ἰησοῦς Χριστὸς» οἰκεῖ «ἐν ὑμῖν»[8]. Εἰ γὰρ φοροῦντες «τὴν εἰκόνα τοῦ χοϊκοῦ»[9] ᾐσθανόμεθα τῆς ἐνεργείας τῶν πονηρῶν καὶ αἰσχρῶν καὶ ῥυπαρῶν λογισμῶν, πόσῳ μᾶλλον ἡμᾶς χρὴ φορέσαντες «τὴν εἰκόνα τοῦ ἐπουρανίου»[10] αἰσθάνεσθαι τῆς ἐνεργείας τοῦ Ἁγίου καὶ προσκυνητοῦ Πνεύματος.

---

* Κατὰ τὴν ὡς ἄνω ἔκδοσιν βάσει τῶν κωδίκων Ἀθηνῶν 272, ΙΑ΄ αἰὼν (Ἰω. Σακκελίων) καὶ Παντελεήμονος 129, ΙΕ΄ αἰὼν (Σπ. Λάμπρος).

1. Ἠσ. 42,14. 2. Πρβλ. Β΄ Κορ. 6,7. 3. Πρβλ. Ἔνθ' ἀν. 4. Πρβλ. Α΄ Κορ. 4,20. Μαρκ. 9,1. 5. Λουκ. 17,21. 6. Πρβλ. Β΄ Κορ. 6,7. 7. Λουκ. 1,35. 8. Β΄ Κορ. 13,5. 9. Πρβλ. Α΄ Κορ. 15,49. 10. Πρβλ. Ἔνθ' ἀν.

ΟΜΙΛΙΑ ΚΗ′ (=ΠΕ′) Μορφὴ Β′ *

161 Α′ Ἤρεσε κἀμοὶ μετὰ τοῦ προφήτου λέγειν Ἡσαΐου· ὅτι ὑπέμεινα ὥσπερ «ἡ τίκτουσα» ἕως οὗ «ξηρανῶ»[1] αὐτοὺς καὶ ἀπολέσω. Εἰ οὖν οἶδας σεαυτὸν ὅτι βρύει ἐν σοὶ ἡ πηγὴ τοῦ Ἁγίου Πνεύματος, τοῦτό ἐστι τὸ σημεῖον ὅτι ἐξηράνθησαν καὶ ἀπώλοντο, καθὼς εἶπεν ὁ Σωτὴρ ἡμῶν, ὅτι οὐκ ἔστιν «ἡ βασιλεία »τῶν οὐρανῶν «ὧδε ἢ ἐκεῖ», ἀλλ' ἔσωθεν «ὑμῶν ἐστιν»[2]. Πάλιν ὁ ἀπόστολος λέγει· «ἡ βασιλεία τοῦ Θεοῦ» οὐκ ἔστιν «ἐν λόγῳ», «ἀλλ' ἐν δυνάμει»[3]. Εἰσὶ γάρ τινες λαλοῦντες τὰ τῆς βασιλείας μὴ ἐργαζόμενοι δὲ αὐτὰ καὶ εἰσί τινες οἱ ἐργαζόμενοι μὲν τὰ τῆς βασιλείας μὴ λαλοῦντες δὲ ἐν φυλακῇ οὐδὲ ἐν γνώσει. Ἐν οἷς δὲ γέγονεν ὁ λόγος τοῦ Σωτῆρος, τὸ «ἡ βασιλεία ἐντὸς ὑμῶν ἐστιν»[4], ὀλίγοι καὶ σπάνιοί εἰσι καὶ δυσεύρετοι· τούτοις ἐπεφοίτησε τὸ «Πνεῦμα» τὸ Ἅγιον τοῦ Θεοῦ καὶ ἐπληρώθη ὁ λόγος τοῦ εὐαγελιστοῦ Ἰωάννου· ὅτι οἱ πιστεύσαντες τῷ ὀνόματι αὐτοῦ «ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι», «οἳ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματος «ἀνδρός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν»[5].

Β′. Οὗτοί εἰσιν οἱ ἀπαλλαγέντες τῆς ἀποφάσεως τῆς πικρᾶς τῆς ἐξελθούσης κατὰ τοῦ Ἀδάμ· ὅτι «ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου»[6], οὗτοί εἰσιν οἱ καταλαβόντες τὴν χαρὰν ἣν κατέλαβε Μαριάμ· ὅτι «Πνεῦμα Θεοῦ ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι»[7]. Ὡς γὰρ ἡ λύπη κατέβη ἐπὶ τὴν Εὔαν[8] καὶ τῷ σπέρματι αὐτῆς ἕως τοῦ νῦν, οὕτω πάλιν κατέλαβεν ἡ χαρὰ τὴν Μαριὰμ καὶ τῷ σπέρματι αὐτῆς ἕως τοῦ νῦν.

163 Γ′. Ὡς οὖν ἦμεν υἱοὶ τῆς Εὔας ποτὲ καὶ ἐγνωρίζομεν τὴν κατάραν αὐτῆς τὴν ἐφ' ἡμᾶς διὰ τῶν λογισμῶν ἡμῶν τῶν ἀτίμων, οὕτω πάλιν ὀφείλομεν γνωρίσαι ἑαυτοὺς ὅτι ἐκ τοῦ Θεοῦ ἐγεννήθημεν διὰ τῶν λογισμῶν τοῦ Ἁγίου Πνεύματος καὶ διὰ τῶν παθημάτων τοῦ Χριστοῦ, εἰ τῷ ὄντι ἐν τῷ σώματι ἡμῶν. Γέγραπται γὰρ ἐν τῷ ἀποστόλῳ· ὅτι «δοκιμάσατε ἑαυτούς», εἰ ὁ «Χριστὸς ἐν ὑμῖν ἐστιν» ἢ οὐκ οἴδατε «ὅτι Χριστὸς Ἰησοῦς ἐν ὑμῖν ἐστιν», «εἰ μήτι» ἄρα «ἀδόκιμοί ἐστε»[9] ὅτε οὖν ἐφοροῦμεν «τὴν εἰκόνα τοῦ χοϊκοῦ»[10], ᾔδειμεν ὅτι υἱοὶ αὐτοῦ ἐσμεν διὰ τῆς ἀτίμου ὕλης τῶν λογισμῶν αὐτοῦ τῶν οἰκούντων ἐν ἡμῖν, ἅπερ ἐστὶ τὰ πάθη. Οἱ δὲ φορέσαντες «τὴν εἰκόνα τοῦ ἐπουρανίου»[11] γνωρίζουσιν ἑαυτοὺς ὅτι υἱοί εἰσι τοῦ ἐπουρανίου «διὰ τοῦ» Ἁγίου «αὐτοῦ Πνεύματος» τοῦ «ἐνοικοῦντος ἐν αὐτοῖς»[12].

---

* Κατὰ τὴν ὡς ἄνω ἔκδοσιν, βάσει τοῦ κώδικος Μόσχας 177 (Vladimir). Τὸ κείμενον τῆς μορφῆς Β′ παραδίδεται ὑπὸ τὸ ὄνομα τοῦ Ἀββᾶ Ἡσαΐου (Ἡσαΐου ὁμιλία 19 (P.G. 40, 1155 ἑξ).), ἀλλ' ἀνήκει εἰς τὰ ἔργα τοῦ ψευδο-Μακαρίου.

1. Ἡσ. 42,14. 2. Λουκ. 17,21. 3. Α′ Κορ. 4,20. Μαρκ. 9,1. 4. Λουκ. 17,21. 5. Ἰω. 1,12-13. 6. Γεν. 3,17. 7. Λουκ. 1,35. 8. Πρβλ. Γεν. 3,16. 9. Β′ Κορ. 13,5. 10. Πρβλ. Α′ Κορ. 15,49. 11. Πρβλ. Ἔνθ' ἀν. 12. Πρβλ. Ρωμ. 8,11.

Δ'. Γινωσκέτω οὖν ἡ φρονίμη παρθένος, ὅτι οὕτως ὀφείλει ἔχειν ἐν ἑαυτῇ τὸν Χριστὸν καθάπερ καὶ ἡ Μαρία καὶ ὡς ἐκείνη ἐν τῇ γαστρί, σὺ ἐν τῇ καρδίᾳ, καὶ τότε δυνήσῃ συνετῶς ψάλλειν καὶ λέγειν· «διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν πνεῦμα σωτηρίας»[1]. Οὕτω καὶ ὁ Ἐκκλησιαστὴς εἴρηκεν· ὅτι «ὡς ὀστᾶ κυοφορούσης»[2] οὕτως «ἡ ὁδὸς τοῦ πνεύματος»[3].

Ε'. Εἰ οὖν ἔχεις «τὸν θησαυρὸν τοῦτον» ἐν τῷ ὀστρακίνῳ σου σκεύει[4], εἰ «ὁ εἰπών· ἐκ σκότους φῶς λάμψαι», ἔλαμψεν ἐν τῇ καρδίᾳ σου «πρὸς φωτισμὸν τῆς γνώσεως»[5] τοῦ εὐαγγελίου, εἰ «εἰρήνη τοῦ Θεοῦ»[6] βραβεύει ἐν τῇ καρδίᾳ σου ἀδιαλείπτως, εἰ διώξας κατείληφας[7] τὴν «εἰρήνην»[8] σὺν τῷ ἁγιασμῷ, εἰ «εἰς τὸν ἔσω» σου «ἄνθρωπον»[9] κατῴκησεν ὁ Χριστός, εἰ «ὁ Πατὴρ»[10] σὺν τῷ μονογενεῖ αὐτοῦ ἐποίησε «μονὴν»[11] παρὰ σοί, εἰ κατηξιώθης τοῦ μακαρισμοῦ διὰ τῆς ἐν καρδίᾳ καθαρότητος[12], εἰ ἐγένου «ναὸς Θεοῦ» «καὶ τὸ Πνεῦμα»[13] αὐτοῦ ᾤκησεν ἐν σοί, εἰ «ἐν πληροφορίᾳ πίστεως» ἐρραντισμένην ἔχεις τὴν καρδίαν «ἀπὸ συνειδήσεως πονηρᾶς»[14], εἰ «ὁ Θεὸς τῆς εἰρήνης» ἡγίασέν σε ὁλοτελῆ «καὶ ὁλόκληρόν» σου «τὸ πνεῦμα» καὶ τὴν ψυχὴν«καὶ τὸ σῶμα ἀμέμπτως»[15], εἰ **164** εἶ παρθένος φρονίμη ἔχουσα τὴν λαμπάδα καὶ τὸ ἔλαιον ἐν τῷ ἀγγείῳ[16], εἰ οἶδας, τί ἐστιν· «αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι»[17], εἰ ἐνδύσω τὸ «ἔνδυμα» τοῦ «γάμου»[18], εἰ τούτων πάντων διὰ τῆς ἐν καρδίᾳ ἐνεργείας πεῖραν ἔλαβες, δυνήσῃ ἀξίως νυμφευθῆναι τῷ ἐπουρανίῳ νυμφίῳ, εἰ δὲ μήγε, κἂν ἐγὼ σιωπήσω, «οἱ λίθοι κεκράξονται»[19].

1. Ἡσ. 26,17-18. 2. Ἐκκλ. 11,5. 3. Ἔνθ' ἀν. 4. Πρβλ. Β' Κορ. 4,7. 5. Β' Κορ. 4,6. 6. Πρβλ. Κολ. 3,15. 7. Πρβλ. Φιλιπ. 3,12. 8. Ἑβρ. 12,14. 9. Πρβλ. Ἐφ. 3,16-17. 10. Πρβλ. Ἰω. 14,23. 11. Πρβλ. Ἔνθ' ἀν. 12. Πρβλ. Ματθ. 5,8. 13. Πρβλ. Α' Κορ. 3,16. 14. Πρβλ. Ἑβρ. 10,22. 15. Α' Θεσ. 5,23. 16. Πρβλ. Ματθ. 25,4. 17. Λουκ. 12,35. 18. Πρβλ. Ματθ. 22,11-12. 19. Πρβλ. Λουκ. 19,40.

Δ'. Ἡσαΐας γὰρ ἀναβοᾷ λέγων· «ἀπὸ τοῦ φόβου σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας † οὗ ἐκυήσαμεν ἐπὶ τῆς γῆς»[1]. Γέγραπται πάλιν παρὰ τῷ Ἐκκλησιαστῇ· ὅτι «ὡς ὀστᾶ ἐν γαστρὶ τῆς κυοφορούσης»[2] οὕτως «ἡ ὁδὸς τοῦ πνεύματος»[3].

Ε'. Ὥσπερ γὰρ αὕτη ἡ ἁγία παρθένος ἐκυοφόρησεν αὐτὸν ἐν σαρκί, οὕτω καὶ οἱ λαβόντες τὴν χάριν τοῦ Ἁγίου Πνεύματος κυοφοροῦσιν αὐτὸν ἐν τῇ καρδίᾳ αὐτῶν κατὰ τὸν λόγον τοῦ ἀποστόλου λέγοντος· τοῦ «κατοικῆσαι τὸν Χριστὸν (εἰς τὸν ἔσω ἄνθρωπον) διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν», «ἐρριζωμένοι καὶ τεθεμελιωμένοι ἐν τῇ ἀγάπῃ»[4] ἵνα «δυνηθῆτε παραστῆσαι ἑαυτοὺς «σὺν τοῖς ἁγίοις πᾶσι»[5], καὶ πάλιν· «ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ καὶ μὴ ἐξ ἡμῶν»[6]. Εἰ οὖν ἔφθασας εἰς τὸν λόγον τοῦτον· ὅτι «τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν»[7], καὶ εἰ ἐπληρώθη ἐπὶ σὲ ὁ λόγος τοῦ ἀποστόλου ὁ λέγων· «καὶ ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν»[8] καὶ τῷ νοΐ ὑμῶν (ὅς ἐστι Χριστὸς Ἰησοῦς), εἰ ἔφθασας εἰς τὸν λόγον τοῦτον· ὅτι «ἐκ τοῦ σκότους φῶς» «ἔλαμψεν ἐν ταῖς καρδίαις ὑμῶν»[9] «τῆς **165** γνώσεως τῆς δόξης τοῦ θεοῦ»[10], εἰ ἐπληρώθη ἐπὶ σοὶ ὁ λόγος· ὅτι «ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι»[11], καὶ ἔσεσθε ὡς δοῦλοι προσδεχόμενοι τὸν ἑαυτῶν δεσπότην, «πότε ἀναλύει» ἀπὸ τοῦ γάμου[12], ἵνα μὴ φραγῇ τὸ στόμα σου μὴ ἔχον τινὰ ἀπολογίαν ἀνὰ μέσον τῶν ἁγίων, εἰ οἶδας ὅτι ἔχει ἔλαιον τὸ ἀγγεῖόν σου, ὡς αἱ φρόνιμοι παρθένοι[13], ἵνα μὴ ἀφεθῇς ἔξωθεν τῆς θύρας, ἀλλ' ἵνα εἰσέλθῃς εἰς τὸν νυμφῶνα σὺν τῷ νυμφίῳ, εἰ ᾐσθάνθης ὅτι τὸ πνεῦμά σου καὶ ἡ ψυχή σου καὶ τὸ σῶμά σου ἡνώθησαν ἀμέμπτως καὶ ἀνίστανται τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἄσπιλα, εἰ ἀνέλεγχος καὶ ἀκατάγνωστος ἐγένου ἀπὸ τῆς συνειδήσεώς σου καὶ εἰ νήπιον ἐγένου κατὰ τὸν λόγον τοῦ Σωτῆρος τὸν λέγοντα· «μὴ κωλύετε» «τὰ παιδία» ἔρχεσθαι« πρός με· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν»[14]. Εἰ ἀληθῶς γέγονας αὐτῷ νύμφη καὶ τὸ Πνεῦμα τὸ Ἅγιον αὐτοῦ ἐκληρονόμησέ σε ἔτι ὄντος σοῦ ἐν τῷ σώματι, προσδόκησον βασιλείαν, εἰ δὲ μήγε, λύπην καὶ στεναγμὸν προσδόκα, διότι αἰσχύνη καὶ ὄνειδος προάγει σου ἐνώπιον τῶν ἁγίων. Τοῦτο δὲ γίνωσκε, ὅτι ὡς παρθένος τις τοῦ κόσμου τούτου ἀνισταμένη πρωΐας καθ' ἑκάστην ἡμέραν ἄλλης μερίμνης οὐχ ἅπτεται, πρὶν ἢ καλλωπίσει ἑαυτὴν τῷ νυμφίῳ ἑαυτῆς ἐσοπτριζομένη πολλάκις, μήποτέ ἐστι μῶμος ἐν τῷ προσώπῳ αὐτῆς. Ἐχούσης γὰρ αὐτῆς μῶμον οὐ μὴ ἀρέσῃ τῷ νυμφίῳ ἑαυτῆς. Οὕτω μέριμνα πολλή ἐστι τοῖς ἁγίοις ἐν νυκτὶ

1. Ἡσ. 26,17-18. 2. Ἐκκλ. 11,5. 3. Ἔνθ' ἀν. 4. Ἐφ. 3,17. 5. Πρβλ. Ἐφ. 3,16. 18. 6. Β' Κορ. 4,7. 7. Β' Κορ. 3,18. 8. Κολ. 3,15. 9. Β' Κορ. 4,6. 10. Πρβλ. Β' Κορ. 4,6. 11. Λουκ. 12,35. 12. Πρβλ. Λουκ. 12,36. 13. Πρβλ. Ματθ. 25,4. 14. Ματθ. 19,14.

166 ς'. Τοιγαροῦν μαρτύρομαι ἐνώπιον αὐτοῦ τοῦ Δεσπότου μου καὶ <τοῦ> προσκυνητοῦ Πνεύματος Ἁγίου, ὅτι ὥσπερ ἡ ἐπίγειος παρθένος, κἂν δέξηται ἀρραβῶνα, κἂν μετὰ τὸν ἀρραβῶνα δῶρα πολλά, κἂν πάσης τῆς οὐσίας κυριεύσῃ, μὴ τύχῃ δὲ τῆς σαρκικῆς ἐκείνης κοινωνίας, ξένη ἐστὶ τοῦ ἐπονομασθέντος αὐτῇ ἀνδρός—οὕτω καὶ ἡ Χριστῷ παρθενευομένη ψυχή, κἂν δέξηται ἀρραβῶνα διὰ τοῦ βαπτίσματος («ἀρραβὼν» γάρ ἐστι τέλειος «τῆς» μελλούσης «κληρονομίας»[1] τὸ βάπτισμα) καὶ μετὰ τὸ βάπτισμα εὐθὺς δέξηται δόματα πολλά, λόγου ἢ ἑρμηνείας ἢ ἰάσεως ἤ τινος ἄλλου χαρίσματος[2], μὴ καταξιωθῇ δὲ τῆς συναφείας τοῦ ἀφθάρτου νυμφίου, ξένη αὐτῷ τυγχάνει. Τὸ χρῖσμα γὰρ τῆς «ἀγαλλιάσεως»[3] καὶ τὸ «ἔνδυμα» τοῦ «γάμου»[4] οὐκ ἐν χαρίσμασιν ἐπιγινώσκεται, ἀλλ' ἐν αὐτῇ τῇ υἱοθεσίᾳ ἐν ᾗ ἡ ἄτρεπτος ἀγάπη. Ἔχουσα οὖν τὸν ἀρραβῶνα τοῦ βαπτίσματος τὸ μὲν «τάλαντον»[5] τέλειον ἔχεις, μὴ ἐπεργασαμένη δὲ ἀτελὴς ἔσῃ, οὐ μόνον δὲ ἀλλὰ καὶ στερηθήσῃ αὐτοῦ. Μὴ τοίνυν λογίζου ψωμίσασά σου «τὰ ὑπάρχοντα»[6] εἶναί τι. Εἰ δὲ καὶ λόγον ἔχεις λαλοῦσα «ταῖς γλώσσαις τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων»[7], μὴ ἐπαίρου· οὐδέπω γὰρ «τὸ τέλειον»[8] εἴληφας. Ἐὰν δὲ καὶ «ἑρμηνείαν»[9] ἔχῃς μὴ ἐναπομείνῃς. Εἰ δὲ καὶ «πᾶσαν τὴν πίστιν»[10] κέκτησαι, ἐλθὲ ἐπὶ τὴν «ἀγάπην» τὴν μὴ συγχωροῦσάν σοι πεσεῖν. «Ἡ» γὰρ «ἀγάπη οὐδέποτε πίπτει»[11], ἄτρεπτος γὰρ οὖσα ἀπαθεῖς καὶ ἀσαλεύτους ἐργάζεται τοὺς αὐτὴν ποθήσαντας. Οὐκοῦν τὰ χαρίσματα οἰκονομίας ἕνεκεν ἐπιτελεῖται κατὰ τὴν διαίρεσιν τῆς τοῦ Θεοῦ[12] βουλήσεως τοῖς ἔτι νηπίοις καὶ ἀτελέσιν, ἡ δὲ ἀγάπη (ὡς προεῖπον) ἀπαθεῖς καὶ ἀτρέπτους τοὺς καταξιωθέντας αὐτῆς καθίστησιν, «Θεὸς»[13] γάρ ἐστιν, ὡς ἐν ταῖς καθολικαῖς μεμαθήκαμεν. Πᾶσα οὖν ψυχὴ ἐνεργουμένη ὑπὸ λογισμῶν ῥυπαρῶν καὶ ἐνθυμήσεων πονηρῶν οὐ Χριστῷ παρθενεύεται, μοιχεύεται γὰρ ὑπὸ τοῦ ἐναντίου. Ἡ δὲ καθαρῶς ἐπιθυμήσασα παραστῆναι τῷ Κυρίῳ ἐν ἁγνότητι καρδίας διάγει, καθώς φησιν· νυμφαγωγός· «ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ· φοβοῦμαι δὲ μή πως, ὡς ὁ ὄφις ἐξ**167**ηπάτησεν Εὔαν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν»[14]. Ὅσων οὖν τὰ νοήματα φθείρεται, ἐν τῇ κοινωνίᾳ τῆς τοῦ διαβόλου φθορᾶς εἰσι καὶ οὐκ ἐν τῇ κοινωνίᾳ τῆς τοῦ σωτῆρος ἀφθαρσίας· «τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος»[15] ἢ «τίς συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων»[16]; Ὥστε πιστεύσωμεν τούτοις, ἵνα καὶ ἀψευδῶς ἀναγινώσκωμεν· «ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός»[17]. Ἐν οἷς γὰρ Χριστὸς οὐκ ἐνοικεῖ, νεκροὶ ὑπάρχοντες οὐκ αἰνοῦσι γνησίως τὸν

---

1. Πρβλ. Ἐφ. 1,14. 2. Πρβλ. Α' Κορ. 12,8. 3. Πρβλ. Ἑβρ. 1,9. 4. Πρβλ. Ματθ. 22,11. 12. 5. Πρβλ. Ματθ. 25,25. 27. 6. Πρβλ. Α' Κορ. 13,3. 7. Α' Κορ. 13,1. 8. Πρβλ. Α' Κορ. 13,10. 9. Πρβλ. Α' Κορ. 14,26. 10. Πρβλ. Α' Κορ. 13,2. 11. Α' Κορ. 13,8. 12. Πρβλ. Α' Κορ. 12,4. 13. Πρβλ. Α' Ἰω. 4,8. 14. Β' Κορ. 11,2-3. 15. Β' Κορ. 6,14. 16. Β' Κορ. 6,16. 17. Γαλ. 2,20.

καὶ ἐν ἡμέρᾳ ἐρευνῆσαι ἑαυτῶν τοὺς λογισμοὺς καὶ μαθεῖν, εἴ εἰσιν ὑπὸ ζυγὸν τοῦ Ἁγίου Πνεύματος ἢ οὔ. Λοιπὸν ἀγωνίζου, ἀδελφέ, ἐπιμελῶς ἐν πόνῳ καρδίας καὶ στόματος, ἐν γνώσει τοῦ κτήσασθαι τὴν αἰώνιον χαρὰν ἐκείνην, διότι σπάνιοί εἰσιν οἱ ἀξιωθέντες αὐτῆς, οἵτινες ἐκτήσαντο «τὴν μάχαιραν τοῦ πνεύματος»[1] καὶ εἰς προκοπὴν ἤγαγον τὴν ψυχὴν αὐτῶν καὶ ἠλευθέρωσαν πάσας τὰς αἰσθήσεις αὐτῆς ἀπὸ παντὸς μολυσμοῦ τῶν παθῶν, καθὼς εἶπεν ὁ ἀπόστολος· ὅτι αὔξησιν αὐτῷ παρασχώμεθα ἐν ἡμῖν ἐν πᾶσιν, «ὅ ἐστιν ἡ κεφαλὴ Χριστός»[2]. Δυνατὸν δέ ἐστι τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ συναντιλαβέσθαι «τῇ ἀσθενείᾳ ἡμῶν»[3], ὅπως ἀξιωθῶμεν φθάσαι μετὰ πάντων τῶν ἁγίων αὐτοῦ. Ἀμήν.

1. Πρβλ. Ἐφ. 6,17. 2. Πρβλ. Ἐφ. 4,15. 3. Πρβλ. Ρωμ. 8,26.

Θεόν, ἐπειδὴ ἐν τῷ προφήτῃ· «οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε»[1]. Βασιλευσάτω τοίνυν «ἡ ζωὴ τοῦ Ἰησοῦ»[2] ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν. Κτησώμεθα ἐν ἑαυτοῖς «Πνεῦμα Χριστοῦ»[3], ἵνα ὦμεν αὐτοῦ· «εἴ τις» γάρ φησι «Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ»[4], ἐξολοθρεύσωμεν τὰ ἐν ἡμῖν ἔθνη· εἴπωμεν τῷ Θεῷ «διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντας»[5], ἄστραψον ἀστραπὴν καὶ σκορπιεῖς αὐτούς»[6], ἑαυτῶν γὰρ κατηγοροῦμεν οὐ τῶν Ἰσραηλιτῶν, λέγοντες· «οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη, ἃ εἶπε Κύριος αὐτοῖς»[7]. Ἑαυτῶν κατηγοροῦμεν, οὐ τῶν εἰδώλων· «ὦτα[8]» γὰρ ἔχομεν καὶ οὐκ ἀκούομεν, «ὀφθαλμοὺς»[9] ἔχομεν καὶ οὐ βλέπομεν, οὐδὲ γάρ ἐστι Πνεῦμα ἐν ἡμῖν.

Ζ'. Ὥστε εὐξώμεθα «πεφωτισμένους τοὺς ὀφθαλμοὺς»[10] τῆς διανοίας ἡμῶν γενέσθαι, ἵνα γνῶμεν τί ἐστιν· «ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσιά σου ἐκ τοῦ νόμου σου»[11]. Βοήσωμεν ἐκ καρδίας «ῥαββουνί»[12], ἵνα ἀναβλέψωμεν. Ὁ ἀναβλέπων εἰ καὶ «ἐν σαρκί»[13] ἐστιν «οὐ κατὰ σάρκα»[14] στρατεύεται· «τὰ γὰρ ὅπλα τῆς στρατείας» αὐτοῦ «οὐ σαρκικὰ ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων, λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ»[15]. Ἐπάρωμεν «χεῖρας ὁσίους» ἐν προσευχαῖς ἀπαραλείπτως «χωρὶς ὀργῆς καὶ διαλογισμῶν»[16]. Γενώμεθα συμφυλέται τοῦ Κυρίου τοῦ ἀνατείλαντος ἐκ τῆς φυλῆς «Ἰούδα»[17]. Ἰουδαΐσωμεν ἐν τῷ κρυπτῷ· «οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖος,», ἀλλ' ὁ ἐν τῷ κρυπτῷ»[18], ὁ διὰ τῆς ἀργίας τῶν ματαίων λογισμῶν καὶ ῥυπαρῶν ἐννοιῶν σαββατίζων πάντοτε καὶ περιτομὴν δεξάμενος ἐν τῷ ἔσω αὐτοῦ ἀνθρώπῳ. **168** Τοιγαροῦν περιτέμωμεν τὴν ἀκάθαρτον ἀκροβυστίαν τῆς «καρδίας»[19] τὸ περιττὸν τοῦ νοὸς ἐκτεμόντες, ὅπερ ἐστὶ «τὸ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία»[20] ἡ παρασπαρεῖσα διὰ τοῦ ἐχθροῦ ἐν τῇ παρακοῇ. Δεξώμεθα ἐν ταῖς καρδίαις ἡμῶν τὸν ἐν πνεύματι Θεοῦ νόμον, ὃν ἐπηγγείλατο λέγων· «διδοὺς νόμους μου ἐν ταῖς καρδίαις αὐτῶν, καὶ ἐπιγράψω αὐτοὺς ἐπὶ ταῖς διανοίαις αὐτῶν»[21] καὶ παρὰ τοῦ Δαβίδ· «ὁ νόμος τοῦ Θεοῦ ἐν καρδίαις αὐτῶν, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτῶν»[22]. Εἰ οὖν βούλει μὴ ὑποσκελίζεσθαι, δέξαι τὸν ἐν τῷ κρυπτῷ τοῦ θεοῦ νόμον, τὸν διὰ τοῦ ἁγιασμοῦ εἰς ἀπάθειάν σε καθιστῶντα. Ταῦτά ἐστι τὰ ἡμέτερα, μᾶλλον δὲ τὰ τοῦ Θεοῦ, νοῦν μὲν ἔχοντα ἀληθῆ, λέξιν δὲ ἁπλῆν. Τούτων καταξιωθέντες εὐχώμεθα «νοῦν Χριστοῦ»[23] ἔχειν καὶ «ἐν καινότητι ζωῆς»[24] περιπατεῖν

1. Ψαλ. 113,25. 2. Πρβλ. Β' Κορ. 4,10. Ρωμ. 6,12. 3. Ρωμ. 8,9. 4. Ἔνθ' ἀν. 5. Ψαλ. 67,31. 6. Ψαλ. 143,6. 7. Ψαλ. 105,34. 8. Πρβλ. Ψαλ. 113,14. 9. Πρβλ. Ἔνθ' ἀν. 13. 10. Πρβλ. Ἐφ. 1,18. 11. Ψαλ. 118,18. 12. Μαρκ. 10,51. 13. Πρβλ. Β' Κορ. 10,3-5. 14. Πρβλ. Ἔνθ' ἀν. 15. Ἔνθ' ἀν. 16. Πρβλ. Α' Τιμ. 2,8. 17. Πρβλ. Ἑβρ. 7,14. 18. Πρβλ. Ρωμ. 2,28-29. 19. Πρβλ. Ρωμ. 2,29. 20. Α' Κορ. 15,56. 21. Πρβλ. Ἱερ. 38,33. 22. Ψαλ. 36,31. 23. Πρβλ. Α' Κορ. 2,16. 24. Πρβλ. Ρωμ. 6,4.

μὴ ἄλλα ἐν τῇ καρδίᾳ δεικνύντες ἕτερα δὲ ἐν τῇ ἐπιφανείᾳ. Μισητὸν γὰρ παρὰ Θεῷ τὸ ψευδὲς καὶ δολερὸν ἦθος. Διὸ καὶ ὁ Κύριος σαφῶς καὶ εὐκρινῶς ὑπέδειξε «τὰ κοινοῦντα τὸν ἄνθρωπον» ἔνδοθεν «ἐκ τῆς καρδίας» ἐκπορεύεσθαι[1], καὶ πάλιν τὸν Φαρισαῖον κατακρίνων, μᾶλλον δὲ ἕκαστον ἡμῶν, ὡς τυφλὸν ὄντα κατὰ τὸν ἔσω ἄνθρωπον μυστηρίων θείων, φησίν· «Φαρισαῖε, τυφλέ, τὸ ἔσωθεν τοῦ ποτηρίου πλῦνον, ἵνα γένηται καὶ τὸ ἔξωθεν καθαρόν»[2]. Ὁ γὰρ ἐπὶ τὴν ἄκραν λαμπρότητα τῶν ἐντὸς τὴν σπουδὴν θέμενος, τοῦτ' ἔστι περὶ τὸν νοῦν καὶ τὴν ψυχὴν διὰ παντὸς ἀσχολούμενος, καὶ τὸν ἔξω συνεκπλύνει δηλαδή. Παρακαλῶ οὖν μὴ ἐναπομείνωμεν τοῖς ἔξωθεν ἤθεσι καὶ σχήμασιν «ναὸς Θεοῦ»[3] «καθαρὸς γενώμεθα, ἀκούσωμεν τοῦ παραινοῦντος ἡμῖν· «ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα Θεοῦ ἀμώμητα»[4]· ἄμωμος γάρ ἐστιν ὁ μὴ ἐν καρδίᾳ ἀνομίας ἐργαζόμενος, ὁ μὴ ἔχων «σπίλον ἢ ρυτίδα ἤ τι τῶν τοιούτων»[5], ὁ εἰδὼς τί ἐστι· «πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν»[6] καὶ οὐκ ἔξωθεν, ὁ ἀψευδῶς λέγων· «ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου»[7], ὁ σημειωθεὶς ὑπὸ τοῦ προσώπου τοῦ Χριστοῦ, μᾶλλον δὲ ὁ ἐνεργηθείς, ὁ ἀγωνιζόμενος φθάσαι «εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ»[8], ὁ τὴν παρ' ἀνθρώποις εὐδο**169**ξίαν ἀποφεύγων, μεταδιώκων δὲ τὴν ἀπὸ τοῦ Θεοῦ δόξαν τὴν ἐνεργοῦσαν τῇ καθαρᾷ καρδίᾳ. Ὥσπερ γὰρ ἐνεργεῖ τὸ ἀπαύγασμα τῆς δόξης τοῦ ἡλίου τούτου ταῖς σαρκικαῖς ὄψεσιν, οὕτως ἐνεργεῖ ἡ δόξα τοῦ Ἁγίου Πνεύματος τοῖς κατὰ τὸν ἔσω ἄνθρωπον καθαροῖς ὄμμασιν—ὥστε ὁ σπουδάζων διὰ τῶν κατορθωμάτων τοῦ ἔξω ἀνθρώπου καὶ τῆς ματαίας αὐτοῦ δυνάμεως δικαιωθῆναι τοιοῦτός ἐστιν ὡς ὁ «ζῆλον Θεοῦ» ἔχων «ἀλλ' οὐ κατ' ἐπίγνωσιν»[9] ὡς ὁ ὀφείλων εἶναι διδάσκαλος κατὰ τὸν «χρόνον»[10] καὶ «πάλιν»[11] χρῄζων διδαχῆς, ὡς ὁ «στερεᾶς τροφῆς»[12] καταξιοῦσθαι ὀφείλων, μετέχων δὲ «γάλακτος», ὡς ὁ ἀρξάμενος «πνεύματι», νῦν δὲ «σαρκὶ» ἐπιτελῶν[13]. Γινωσκέτω τοίνυν ὁ τοιοῦτος, ὅτι «πᾶσα» ἡ τοῦ ἔξω ἀνθρώπου «δικαιοσύνη» «ὡς ῥάκος ἀποκαθημένης»[14] ἐλογίσθη παρὰ τῷ προφήτῃ καὶ παρὰ τῷ ἀποστόλῳ δὲ «σκύβαλα»[15].

Η'. Ἡμῖν δὲ γένοιτο τῇ τοῦ Θεοῦ (δικαιοσύνῃ ὑποταγῆναι τῇ ἐν τῷ ἔσω ἀνθρώπῳ ἐπιτελουμένῃ, ἐν ᾧ τὸ τοῦ Χριστοῦ βῆμα ἅμα τῷ ἀχράντῳ ἁγιαστηρίῳ ἕστηκεν). «Τοῦτο» γάρ ἐστι «κόπος ἐνώπιόν μου» (φησὶν) «ἕως εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ»[16]. (ὅπως «τὸ μαρτύριον τῆς συνειδήσεως»[17] καυχήσηται «ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ»[18] τοῦ) λυτρουμένου ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν καὶ (καθαρίζοντος

---

1. Πρβλ. Μάρκ. 7,15. 21. 2. Πρβλ. Ματθ. 23,26. 3. Πρβλ. Α' Κορ. 3,16. 4. Φιλιπ. 2,15. 5. Ἐφ. 5,27. 6. Ψαλ. 44,14. 7. Ψαλ. 4,8. 8. Ἐφ. 4,13. 9. Πρβλ. Ρωμ. 10,2. 10. Πρβλ. Ἑβρ. 5,12-13. 11. Πρβλ. Ἔνθ' ἀν. 12. Πρβλ. Ἔνθ' ἀν. 13. Πρβλ. Γαλ. 3,3. 14. Πρβλ. Ἠσ. 64,5. 15. Πρβλ. Φιλιπ. 3,8. 16. Ψαλ. 72,16-17. 17. Πρβλ. Β' Κορ. 1,12. 18. Πρβλ. Γαλ. 6,14.

τὴν συνείδησιν ἡμῶν ἀπὸ «νεκρῶν ἔργων»[1], ἵνα «τῷ πνεύματι» τοῦ Θεοῦ λατρεύσωμεν[2]) καὶ μὴ «ἐν σαρκὶ» ὦμεν «πεποιθότες»[3], (ἵνα γνῶμεν τί προσκυνοῦμεν κατὰ τὸν εἰπόντα· «ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν»[4]). Τούτων γὰρ ὁ μάρτυς ἐν οὐρανῷ πιστός, ἐπειδὴ «κατενώπιον τοῦ Θεοῦ ἐν Χριστῷ λαλοῦμεν»[5], οὐχ ἕτερόν τι φρονοῦντες ἢ ὅτι «καλὸν τὴν καρδίαν χάριτι βεβαιοῦσθαι» καὶ «μὴ διδαχαῖς ποικίλαις καὶ ξέναις»[6] παραφέρεσθαι. Εὐχόμεθα δὲ ῥυσθῆναί σε τῆς παρὰ ἀνθρώπων εὐδοξίας τῆς ὡς ἔοικε πανούργως καὶ σοφῶς παγιδευούσης, μὴ κτήσασθαι τὴν ἐκ τῆς τοῦ Θεοῦ δυνάμεως κυβέρνησιν, ἵνα μήτε τῷ φαυλισμῷ τῶν ἀνθρώπων ποτὲ ἡττηθῇς, μήτε πάλιν τῷ μακαρισμῷ ἐπαρθῇς. (Πείσθητι τῷ ὁδηγοῦντί σε) «εἰς πᾶσαν »αὐτοῦ «τὴν ἀλήθειαν»[7]. Κοινωνησάτω **170** ἡ ψυχή σου τῷ Χριστῷ, ὡς κοινωνεῖ νύμφη νυμφίῳ· «τὸ» γὰρ «μυστήριον τοῦτο μέγα ἐστίν, ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν»[8] ἄμωμον ψυχήν)· οὐδεὶς γὰρ ἀπογράφεται ἐν τῇ «ἐκκλησίᾳ» τῶν ἐν οὐρανοῖς «πρωτοτόκων»[9] εἰ μὴ ἡ ἄμωμος ψυχὴ καὶ οὐδεὶς «στεφανοῦται ἐὰν μὴ νομίμως ἀθλήσῃ»[10].

---

1. Πρβλ. Ἑβρ. 6,1. 2. Πρβλ. Φιλιπ. 3,3. 3. Πρβλ. Ἔνθ' ἀν. 4. Ἰω. 4,22. 5. Πρβλ. Β' Κορ. 2,17. 6. Ἑβρ. 13,9. 7. Πρβλ. Ἰω. 16,13. 8. Ἐφ. 5,32. 9. Πρβλ. Ἑβρ. 12,23. 10. Β' Τιμ. 2,5.

ΤΟΥ ΑΓΙΟΥ ΜΑΚΑΡΙΟΥ

ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ ΠΡΟΣ ΜΟΝΑΧΟΥΣ *

233 Α'. Ὁ τῶν ἁπάντων δεσπότης[1], ὁ φιλάνθρωπος Θεὸς ἀγαθὰς ἀφορμὰς τῷ τῶν ἀνθρώπων γένει χαρίζεται πάντοτε πρὸς τὴν τῶν μελλόντων ἐπίγνωσιν καὶ τὴν ἐπὶ τὰ κρείττω προκοπὴν ἕκαστον λαμβάνειν βουλόμενος, οἷς νεύματι χρηστότητος ὑποτίθεται, εἰς ἀγαθὸν ἕλκων ἀεὶ τὸν «κατ' εἰκόνα»[2] αὐτοῦ γεγενημένον ἄνθρωπον· τῆς γὰρ ψυχῆς κατὰ φύσιν τὴν ἐπὶ τὰ καλὰ ῥοπὴν ἐχούσης καὶ τῶν κρειττόνων ἐπιθυμεῖν σπευδούσης τὸ τῆς κακίας ἀριστερὸν μέρος πανουργίᾳ δεινῇ ταῖς ἁπλουστέραις ψυχαῖς φαντασίαν καλῶν πάντοτε προβάλλεται εἰς ἐπισκότωσιν τῶν ὄντως καλῶν. Διὸ <ἡ> τῆς χάριτος τοῦ Θεοῦ ἀνεκδιήγητος ἀγάπη γνῶσιν ἀληθείας διὰ τῶν θεοπνεύστων Γραφῶν διδάσκει ἡμᾶς κατὰ τὸν λέγοντα· «Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με[3], ἵνα οὕτως ἰσχύσωμεν τὴν πάντων <τῶν> κακῶν αἰτίαν ἄγνοιαν ἀπώσασθαι καὶ τὴν ἐν ἡμῖν οὖσαν σαρκικὴν καὶ ἄλογον φρόνησιν δολερῶς ἐπαγγελίᾳ γνώσεως κρατυνομένην τῷ φωτὶ τῆς ἀληθοῦς γνώσεως ὁδηγούμενοι παντελῶς ἐξελάσαι δυνηθῶμεν, σωτηρίας αἰτίαν τὴν γνῶσιν τῆς ἀληθείας μεμαθηκότες εἶναι.

Β'. Ἐπεὶ τοίνυν καὶ ὑμεῖς, ὦ ποθεινότατοι καὶ ἀγαπητοὶ ἀδελφοί, πολλάκις παρ' ἡμῶν ἠτήσατε λόγον ἐκθέσθαι, **234** ὁποῖον χρὴ τρόπον ἔχειν τὸν ἀναχωρήσαντα τῶν σαρκικῶν ἡδονῶν καὶ τῆς πολιτείας τοῦ αἰῶνος τούτου....ἐπὶ τὸ αὐτὸ δὲ κατὰ τὸν ἐν ταῖς Πράξεσιν ἀποστολικὸν χαρακτῆρα συνεληλυθότας ἱερὸν συγκρότημα καὶ στῖφος ἀδελφότητος

---

* Κατὰ τὴν ἔκδοσιν Werner Jaeger, Two rediscovered Works of ancient Christian Literature: Gregory of Nyssa and Macarius, Leiden 1965, σελ. 233-301, ἐπὶ τῇ βάσει τῶν κωδίκων: Vaticanus gr. 710, ΙΒ'-ΙΓ' αἰών, Vaticanus gr. 694, ΙΒ'-ΙΓ' αἰών, Hierosolymitanus gr. S. Saba 157, ΙΑ' αἰών. Ephraemi Syri qui fertur Institutio ad monachos (Assenani, opera graece, tomus III p. 324-356, Romae 1746).

Ἡ ἐνταῦθα δημοσιευομένη κατὰ τὴν ἔκδοσιν τοῦ W. Jaeger ὡς πρώτη ἐπιστολὴ πρὸς μοναχοὺς εἶναι ἡ δευτέρα εἰς τὴν σειρὰν τοῦ J. - P. Migne (P.G. 34 στ. 409 ἑξ.), ἡ λεγομένη «Μεγάλη Ἐπιστολή». Θεωρεῖται δὲ αὕτη ὡς δάνειον ἐκ τοῦ «Περὶ τοῦ κατὰ Θεὸν σκοποῦ» (P.G., 46, 488-508) ἔργου τοῦ Γρηγορίου Νύσσης καὶ ἀπόσπασμα μὲν ἀνταποκρινόμενον πρὸς τὸ πρῶτον μέρος αὐτῆς εἶναι ἡ πραγματεία «περὶ τελειότητος ἐν πνεύματι» (P.G. 34, στ. 841), ἕτερον δὲ ἀπόσπασμα ἀνταποκρινόμενον πρὸς τὸ δεύτερον μέρος τῆς «Μεγάλης Ἐπιστολῆς» εἶναι ἡ «Περὶ προσευχῆς» πραγματεία. Ἐξ ἄλλου τὸ πρῶτον μέρος τῆς ἐπιστολῆς ἀντιστοιχεῖ κατὰ τὸν Dörries πρὸς μέρος τῆς 40ης ὁμιλίας τοῦ Μακαρίου (Βλ. Εἰσαγ. Β.Ε.Π.Ε.Σ. τόμ. 41, σελ. 139,15).

1. Πρβλ. Β' Πετρ. 2,1. 2. Πρβλ. Γεν. 1,26. 3. Ψαλ. 118,66.

γεγενημένον συνεῖναι εὐσεβῶς ἀλλήλοις διὰ παντὸς ἑλομένους, ὅπως τε ἀλλήλων συνδιατριβὴν ποιεῖσθαι δέοι, ποίαν δὲ ἔχειν χρὴ τὴν τῶν ἠθῶν κατάστασιν, τίς δὲ ὁ σκοπὸς τῆς ἄκρας ἀρετῆς ὁδοῦ καὶ «τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον»[1], ὁποῖός τε ὁ δρόμος καὶ ἀγὼν τῶν εἰς τὸ τέλειον ἐπιθυμούντων φθάσαι καὶ εἰς μέτρον τῆς πνευματικῆς ἡλικίας καταντῆσαι σπευδόντων· καὶ ἵνα μὴ εἰς μακρὸν παρατείνωμεν τὸν λόγον, ταῦτα καὶ τὰ τούτοις ἀκόλουθα ᾐτήσατε παρ' ἡμῶν διὰ γράμματος ὑμῖν χαραχθῆναι εἰς ὑπόμνησιν συνεχῆ ψυχωφελοῦς μελέτης, πεπεισμένοι δηλονότι περὶ τοῦ εὐσεβοῦς τῆς ὀρθοδόξου πίστεως δόγματος, μίαν εἶναι θεότητα τῆς προσκυνητῆς καὶ μακαρίας Τριάδος, μίαν οὐσίαν, ἓν θέλημα, μίαν δόξαν, μίαν προσκύνησιν προσφέρειν ταῖς τρισὶ τῆς μιᾶς θεότητος ὑποστάσεσι, καθὼς καὶ ἐν τῷ ἁγίῳ μυστηρίῳ τοῦ βαπτίσματος εὐσεβῶς τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων ὡμολογήσαμεν. Διὰ τοῦτο καὶ ἡμεῖς τὴν πολλὴν ὑμῶν ἐπὶ τὸ ἀγαθὸν ὁρμὴν θεασάμενοι καὶ τὴν ἐπὶ τὸ ἄκρον τῆς ἀρετῆς ἐπιθυμίαν ἰδόντες δι' ὀλίγων ὑπόμνησιν ποιῆσαι οὐκ ὠκνήσαμεν, ἐξ αὐτῶν τῶν θεοπνεύστων Γραφῶν τὰς ἀφορμὰς τῶν νοημάτων λαβόντες· ἅμα <δὲ> καὶ αὐτὰς τὰς Γραφικὰς μαρτυρίας εἰς πληροφορίαν ἀδιστάκτου πίστεως παρεθέμεθα, ἵνα μή τις δόξῃ ἡμᾶς ἀφ' ἑαυτῶν τι λέγειν καὶ ὡς ὑπέρογκα ματαιότητος φρονοῦντας ὑποπτεύσῃ.

235 Γ'. Ἔστω τοίνυν προηγουμένως πᾶσι τοῖς ἀφιερώσασιν ἑαυτοὺς τῷ Θεῷ καὶ τὰ «σώματα» αὐτῶν «θυσίαν ζῶσαν ἁγίαν εὐάρεστον τῷ Θεῷ τὴν λογικὴν λατρείαν»[2] παριστᾶν πάντοτε σπουδάζουσι σκοπὸς ὁ τῆς εὐσεβείας προκείμενος φωτισμὸς [καὶ] εἰς τὸ πιστεύειν κατὰ τὰς ἱερὰς τῶν Εὐαγγελίων καὶ τῶν λοιπῶν Γραφῶν ἐπαγγελίας, ἐπιδιδόντας ἑαυτοὺς «εἰς πᾶν ἔργον ἀγαθὸν»[3] καὶ εἰς πᾶσαν ἀρετῆς ἐπιτήδευσιν· πεπεῖσθαί τε βεβαίως, ὅτι διὰ τῆς χάριτος τοῦ Χριστοῦ καὶ τῆς θείας δυνάμεως παντελῶς τὴν ἴασιν καὶ τὴν κάθαρσιν τῶν τῆς ἀτιμίας παθῶν δυνατὸν ἐν ἡμῖν γενέσθαι τῶν ἐνεργουμένων ἐν τῇ ψυχῇ καὶ τῷ σώματι, ὅτι «τὰ παρ' ἡμῖν «ἀδύνατα» παρὰ τῷ ἐπαγγειλαμένῳ «Θεῷ δυνατὰ»[4] τυγχάνει· τὰ γὰρ τῆς ἁμαρτίας πάθη ὕστερον ἐπιγεγόνασι τῇ ψυχῇ καὶ τῷ σώματι διὰ τὴν τοῦ πρωτοπλάστου Ἀδὰμ παράβασιν· καὶ τοῦ πνεύματος τῆς υἱοθεσίας[5] τελείως καὶ ὁλοκλήρως εἰς ἁγιασμὸν[6] ψυχῆς καὶ σώματος ἐν πάσῃ πληροφορίᾳ καταξιωθῆναι κατὰ τὸν εἰπόντα ὅτι· «Τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη πρὸς ἡμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει καὶ ἐν Πνεύματι Ἁγίῳ καὶ ἐν πληροφορίᾳ πολλῇ, καθὼς οἴδατε»[7]· καὶ πάλιν· «Ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως τηρηθείη» ἐν τῇ ἡμέρᾳ «τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»[8]· **236** οὗ τὸν ἀρραβῶνα τῆς ἀρρήτου εὐεργεσίας ἐπὶ τοῦ ἁγίου

1. Ρωμ. 12,2. 2. Ρωμ. 12,1. 3. Πρβλ. Β' Τιμ. 3,17. 4. Πρβλ. Λουκ. 18,27. 5. Πρβλ. Ρωμ. 8,15. 6. Πρβλ. Ρωμ. 6,19. 7. Α' Θεσ. 1,5. 8. Α' Θεσ. 5,23.

τῆς μακαρίας Τριάδος βαπτίσματος οἱ πιστεύσαντες ἐδεξάμεθα, εἰς αὔξησιν καὶ προκοπὴν τῆς τελείας κληρονομίας καὶ εἰς πολλαπλασιασμὸν τοῦ ταλάντου[1] τοῦτο τὸ μέγα καὶ ἄχραντον μυστήριον πιστευθέντες.

Δ.' Τὸ γὰρ θεῖον καὶ παράκλητον[2] Πνεῦμα τὸ δοθὲν τοῖς ἀποστόλοις[3] καὶ δι' αὐτῶν τῇ μόνῃ καὶ ἀληθινῇ ἐκκλησίᾳ τοῦ Θεοῦ διακονηθὲν ἀπὸ τῆς τοῦ βαπτίσματος ὥρας κατὰ ἀναλογίαν τῆς πίστεως διαφόρως καὶ πολυτρόπως σύνεστιν ἑκάστῳ τῷ ἐκ πίστεως εἰλικρινοῦς τῷ βαπτίσματι προσελθόντι· εἰς πολλαπλασιασμὸν μέντοι καὶ ἐπεργασίαν καὶ αὔξησιν λαμβάνει ἕκαστος τὴν μνᾶν[4], ὡς ἐν τῷ εὐαγγελίῳ εἴρηται. Ὥσπερ γὰρ τὸ γεννώμενον ἐν τῷ αἰῶνι τούτῳ βρέφος οὐκ εἰς τὴν νηπιώδη ἡλικίαν ἕστηκε πάντοτε, ἀλλ' ὁσημέραι τὴν αὔξησιν λαμβάνει ἀνάγκης τινὸς ἀκολουθίᾳ κατὰ τοὺς ἀρρήτους τῆς φύσεως νόμους, ἕως ἂν «εἰς ἄνδρα τέλειον»[5] καὶ εἰς συμπλήρωσιν τῶν λογικῶν ἐννοιῶν φθάσῃ, τὸν αὐτὸν τρόπον καὶ ὁ γεννώμενος ἄνωθεν[6] «ἐξ ὕδατος καὶ Πνεύματος»[7] οὐκ εἰς τὴν νηπιώδη τῆς πνευματικῆς ἡλικίας ἕξιν ἵστασθαι ὀφείλει, ἀλλ' ὁσημέραι ἀγῶνι καὶ πόνῳ καὶ «ὑπομονῇ πολλῇ»[8] χρώμενον διὰ τὴν πρὸς τὸν ἀνταγωνιστὴν πάλην προκόπτειν αὐτὸν καὶ αὔξειν δεῖ εἰς τὴν τῆς πνευματικῆς ἡλικίας συμπλήρωσιν κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ ἀποστόλου· «Μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ εἰς ἄνδρα τέλειον, εἰς **237** μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης, ἀληθεύοντες δὲ ἐν ἀγάπῃ αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα ὅς ἐστι Χριστός»[9]· καὶ πάλιν ἀλλαχοῦ λέγει ὁ αὐτός· «Μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον»[10], εἰς τὸ τέλειον τοῦ Θεοῦ θέλημα φθάνειν φάσκων τοὺς εἰς μέτρον ἡλικίας καὶ λογικῆς συμπληρώσεως τοῦ πνεύματος ἐλθόντας. Ἀλλ' ἐπὶ τῆς σωματικῆς γεννήσεως ἀνάγκης τινὸς ἀκολουθίᾳ καὶ φύσεως νόμῳ ἐπὶ τὴν ἀνδρικὴν ἡλικίαν τὸ γεννώμενον παιδίον φθάνει, οὕτω τῆς προνοίας ἀνάγκης ὅρῳ καὶ οὐ προαιρέσει θελήματος διαταξαμένης τὴν σωματικὴν ἡλικίαν συμπληροῦσθαι. Ἐπὶ δὲ τῆς ἄνωθεν <ἐκ> τοῦ Πνεύματος[11] γεννήσεως οὐ ταύτην ὥρισε τὴν ἀκολουθίαν, ἀλλὰ πόνον καὶ ἀγῶνα καὶ δρόμον μετὰ ὑπομονῆς πολλῆς τῇ αὐτεξουσίῳ προαιρέσει τοῦ ἀνθρώπου ἔθετο κατὰ τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον· Ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς θύρας[12]· καὶ πάλιν· Βιάζεσθε, «βιασταὶ» γὰρ «ἁρπάζουσι τὴν βασιλείαν τῶν οὐ-

1. Πρβλ. Ματθ. 25,15 ἑξ. 2. Πρβλ. Ἰω. 14,16. 3. Πρβλ. Πράξ. 2,4. 4. Πρβλ. Λουκ. 19,13 ἑξ. 5. Ἐφ. 4,13. 6. Πρβλ. Ἰω. 3,3. 7. Ἔνθ' ἀν. 5. 8. Β' Κορ. 6,4. 9. Ἐφ. 4,13-15. 10. Ρωμ. 12,2. 11. Πρβλ. Ἰω. 3,5. 12. Πρβλ. Ματθ. 7,13.

ρανῶν»[1] καί· «Ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται»[2]· καί· «Ἐν τῇ ὑπομονῇ κτήσασθε τὰς ψυχὰς ὑμῶν»[3]· καὶ ὁ ἀπόστολος· «Δι' ὑπομονῆς τρέχομεν τὸν προκείμενον ἡμῖν ἀγῶνα»[4]· καί· «Οὕτως», φησί, «τρέχετε ἵνα καταλάβητε»[5]· καὶ πάλιν· «Ὡς Θεοῦ διάκονοι ἐν ὑπομονῇ πολλῇ»[6] καὶ τὰ ἑξῆς.

238 Ε'. Οὕτως δὲ ᾠκονόμησεν ἡ θεία χάρις, ἵνα ἰδίᾳ γνώμῃ καὶ ἰδίῳ θελήματι καὶ πόνῳ καὶ ἀγῶνι τὴν νοητὴν αὔξησιν ἕκαστος προσλαμβάνῃ, καθ' ὅσον πιστεύει καὶ καθ' ὅσον ἀγωνίζεται· καὶ καθ' ὅσον ἀγαπᾷ καὶ καθ' ὅσον ἀγῶνι σωματικῷ καὶ ψυχικῷ εἰς πᾶσαν τὴν τῶν ἐντολῶν εὐαρέστησιν ἑαυτὸν ἐκδίδωσι, τοσοῦτον καὶ τὴν μετουσίαν τοῦ Πνεύματος εἰς τὴν πνευματικὴν αὔξησιν τῆς ἀνακαινώσεως τοῦ νοός[7] προσκτᾶται, χάριτι μὲν καὶ δωρεᾷ θείᾳ τὴν σωτηρίαν κομιζόμενος, πίστει δὲ καὶ ἀγάπῃ καὶ ἀγῶνι αὐτεξουσίου προαιρέσεως τὴν προκοπὴν καὶ αὔξησιν ἐπὶ τὸ τέλειον μέτρον τῆς πνευματικῆς ἡλικίας δεχόμενος, ἵν' ὥσπερ χάριτι, οὕτω καὶ δικαιοσύνῃ τῆς αἰωνίου ζωῆς ἔσται κληρονόμος, οὔτε τὸ ὅλον διὰ τῆς θείας δυνάμεως καὶ χάριτος ἄνευ τῆς τοῦ ἀνθρώπου συνεργίας καὶ σπουδῆς τὴν αὔξησιν τῆς προκοπῆς λαμβάνων, οὔτε τὸ ὅλον διὰ τῆς ἰδίας δυνάμεως καὶ σπουδῆς καὶ ἰσχύος ἄνευ τῆς συνεργίας καὶ βοηθείας τοῦ Ἁγίου Πνεύματος εἰς τὸ τέλειον τοῦ Θεοῦ θέλημα καὶ τὸ τῆς ἐλευθερίας καὶ καθαρότητος μέτρον φθάσαι δυνάμενος. «Ἐὰν γὰρ μὴ Κύριος οἰκοδομήσῃ οἶκον» καὶ «φυλάξῃ πόλιν», «εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων»[8] καὶ κοπιῶν καὶ οἰκοδομῶν· καὶ πάλιν· «Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς»[9], καίπερ ῥομφαίαις καὶ βραχίοσι **239** πολεμούντων, «ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου»[10], ἃ τὴν τοῦ Θεοῦ δύναμιν τῷ ἰδίῳ αὐτῶν ἀγῶνι συνεργοῦσαν δηλοῖ· ἅμα δὲ καὶ τὴν οἴησιν τῶν δι' ὀλίγας ἀρετὰς ἐφ' ἑαυτοῖς φρονούντων ἐκκόπτων, πίστει δὲ καὶ ἀγάπῃ διὰ χάριτος τὴν ζωὴν γίνεσθαι τοῖς ἐλπίζουσιν ἐδίδαξεν ὁ προφήτης.

Ϛ'. «Τί» τοίνυν ἐστὶ «τὸ θέλημα τοῦ Θεοῦ»[11], εἰς ὃ προτρέπεται ἕκαστον παρακαλῶν ὁ ἀπόστολος σπεύδειν φθάσαι; Ἢ ἄρα περὶ ὧν ὁ Κύριος εἴρηκε μακαρίζων αὐτούς· «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται»[12]· καὶ πάλιν· Γίνεσθε «οὖν ὑμεῖς τέλειοι, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστι»[13]. Τὴν παντελῆ τῆς ἁμαρτίας κάθαρσιν διὰ τούτων ἐπαγγέλλεται, ὅ ἐστιν ἡ παντελὴς τῶν τῆς ἀτιμίας παθῶν ἀπαλλαγὴ καὶ τὴν τελείαν τῆς ἄκρας ἀρετῆς, ἀνάληψιν, ὅ ἐστι καθαρισμὸς καὶ ἁγιασμὸς τῆς καρδίας διὰ τῆς μετουσίας τοῦ τελείου καὶ θεϊκοῦ Πνεύματος, ἐν πληροφορίᾳ γινομένης τῆς μετὰ πίστεως καὶ ἀγάπης ἐπιδιδούσης τῷ Θεῷ ὅλην ἐξ ὅλου ἑαυτὴν ψυχῆς. Καθὼς καὶ

---

1. Πρβλ. Ματθ. 11,12. 2. Ματθ. 10,22. 3. Λουκ. 21,19. 4. Ἑβρ. 12,1. 5. Α' Κορ. 9,24. 6. Β' Κορ. 6,4. 7. Πρβλ. Ρωμ. 12,2. 8. Πρβλ. Ψαλ. 126,1. 9. Ψαλ. 43,4. 10. Αὐτόθι. 11. Ρωμ. 12,2. 12. Ματθ. 5,8. 13. Ματθ. 5,48.

διὰ τοῦ Δαβὶδ τὸν τέλειον τῆς ἀληθείας σκοπὸν ὑποδεικνύον τὸ Πνεῦμα καὶ διδάσκον τοῦτον παρὰ τοῦ Θεοῦ ἐπιζητεῖν καὶ πιστεύειν τοὺς ἐπιθυμοῦντας «υἱοὺς φωτὸς»[1] ἀναδειχθῆναι καὶ τῆς «ζωῆς κληρονόμους»[2] γενέσθαι φησί· «Γεννηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς **240** δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ»[3]· αἰσχύνην καὶ ἀτιμίαν φέρειν ἐσήμανε τοὺς ἄμωμον τὴν καρδίαν ἀπὸ παντὸς σπίλου καὶ ῥύπου μηδέπω κεκτημένους· πάλιν γάρ φησι «Τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου»[4]· πασῶν τῶν ἐντολῶν συμπλήρωσιν καὶ παντὸς παραπτώματος ἀναχώρησιν τελείαν παρρησίαν ἐπὶ Θεὸν κεκτῆσθαι ἐδίδαξε τὸ Πνεῦμα τὸ Ἅγιον. Καὶ πάλιν· «Καρδίαν καθαράν», εὐχόμενος ὁ προφήτης ἔλεγε, «κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου»[5] «καὶ πνεύματι», φησίν, «ἡγεμονικῷ στήριξόν με»[6], <δ> τὸν αὐτὸν σκοπὸν παρίστησιν. Ἀντερωτῶντος δὲ πάλιν «Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ»[7], ἐπάγει τίνες εἰσὶ καὶ ποταποὶ οὗτοι· «Ἀθῷος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ»[8]· ὥστε τὴν διὰ πράξεως καὶ λόγου καὶ διανοίας ἐπιτελουμένην ἁμαρτίαν παντελῶς ἐκκοπῆναι ἐξ ἡμῶν διὰ τῆς ἰδίας ἐνεργείας τὸ Πνεῦμα ἐμήνυσε καὶ σπουδάζειν εὐχομένους καὶ διὰ πίστεως ἐλπίζοντας ὁσημέραι φθάσαι εἰς τὴν τελείαν τοῦ Θεοῦ καθαρότητα.

Ζ'. Ὁ γὰρ ἀπόστολος διαρρήδην διδάσκων, ὁποῖαι αἱ ψυχαὶ εἶναι ὀφείλουσιν αἱ γάμου μὲν σαρκὸς καὶ δεσμῶν κόσμου ἀναχωρήσασαι, παρθενίαν δὲ ἐξασκεῖν ἐπιθυμοῦσαι, φησίν· «Ἡ παρθένος μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία» οὐ «σώματι» μόνον, ἀλλὰ «καὶ πνεύματι»[9], πρακτικῶν τε καὶ λογιστικῶν, **241** τοῦτ' ἔστι φανερῶν τε καὶ κρυπτῶν, ἁμαρτημάτων ἐκτὸς εἶναι αὐτὴν παραγγέλλων, [ὡς] ἅτε δὴ νύμφην Χριστοῦ ἐπουρανίῳ βασιλεῖ καθαρῷ τε καὶ ἀμιάντῳ συναφθῆναι ἐπιποθοῦσαν. Ἐξομοιοῦσθαι γὰρ ἐκείνῳ τῷ ἀμώμῳ καὶ ἀχράντῳ κάλλει χρὴ τὴν ἐπιποθοῦσαν αὐτῷ συναφθῆναι ψυχὴν καὶ εἰς ἓν πνεῦμα ἐπιθυμοῦσαν μετ' αὐτοῦ γενέσθαι κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ μακαρίου Ἰωάννου· «Καὶ πᾶς», φησίν, «ὁ ἔχων τὴν ἐλπίδα ταύτην» «ἁγνίζει ἑαυτόν, καθὼς ἐκεῖνος ἁγνός ἐστι»[10]· καί· «Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ»[11]. Οὐ γὰρ ἀπὸ φανερῶν ἁμαρτημάτων μόνον οἷον πορνείας ἢ κλοπῆς ἢ φόνου ἢ γαστριμαργίας ἢ καταλαλιᾶς ἢ ψεύδους ἢ ἀργολογίας ἢ κραυγῆς ἢ γέλωτος ἢ εὐτραπελίας ἢ φιλαργυρίας ἢ πλεονεξίας ἁγνεύειν δεῖ τὴν ψυχὴν τὴν ἀρνησαμένην μὲν κοινωνίαν σαρκικήν, κόσμου δὲ ἀναχωρήσασαν καὶ παρθενίαν ἐξασκοῦσαν εἰς συνάφειαν δὲ καὶ κοινωνίαν τοῦ ἀφθάρτου νυμφίου ἑαυτὴν καθομολογήσασαν, ἀλλὰ πολλῷ μᾶλλον τῶν βιαιοτέρων τῆς ψυχῆς παθῶν καὶ κρυπτῶν

---

1. Ἰω. 12,36. 2. Πρβλ. Τιτ. 3,7. 3. Ψαλ. 118,80. 4. Ψαλ. 118,6. 5. Ψαλ. 50,12. 6. Ψαλ. 50,14. 7. Ψαλ. 23,3. 8. Ψαλ. 23,4. 9. Πρβλ. Α' Κορ. 7,34. 10. Α' Ἰω. 3,3. 11. Α' Κορ. 11,1.

ἁμαρτημάτων καθαρεύειν αὐτὴν χρή, τοῦτ' ἔστιν ἐπιθυμίας, κενοδοξίας, ἀνθρωπαρεσκείας, ὑποκρίσεως, φιλαρχίας, δόλου, κακοηθείας, μίσους, ἀπιστίας, φθόνου, ἐπάρσεως, ζήλου, αὐταρεσκείας, φιλαυτίας, τύφου, καὶ τῶν τούτοις ὁμοίων ἀοράτων τῆς ἀτιμίας παθῶν.

Η'. Οἶδε γὰρ ἡ Γραφὴ τὰ κρύφια τῆς ψυχῆς ἁμαρτήματα, εἴ γε πιστεύομεν τοῖς λόγοις τοῦ Πνεύματος, τῶν ἐκτὸς ἁμαρτημάτων ἴσα καὶ ὅμοια ἡγεῖσθαι· «Κύριος γάρ», φησί, «διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων»[1], καί· «Ἄνδρα αἱμάτων καὶ δόλιον **242** βδελύσσεται Κύριος»[2], τὸν δόλον καὶ τὸν φόνον εἰς ἓν συναριθμῶν παράβαμα· καὶ <κατὰ> τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν, κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν· «Δὸς αὐτοῖς, Κύριε, κατὰ τὰ ἔργα αὐτῶν»[3]. Καὶ πάλιν· «Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίαν ἐργάζεσθε ἐν τῇ γῇ»[4]. Καὶ Κύριος μεμφόμενος τοῖς ἀνθρωπαρέσκοις φησί· «Πάντα ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις»[5]· διὸ καὶ παραγγέλλει λέγων· Βλέπετε «μὴ» ποιήσητε «τὴν ἐλεημοσύνην ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων»· «εἰ δὲ μή γε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ Πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς»[6] τοῦτ' ἔστι μὴ παρὰ ἀνθρώπων ἐπιζητεῖν θέλετε καὶ θηρεύειν ἔπαινον ἢ δόξαν διὰ τὰ καλὰ ἐπιτηδεύματα, ἀλλὰ μᾶλλον παρὰ τοῦ Θεοῦ, οὗ ἡ δόξα ἀληθὴς καὶ αἰώνιος καὶ οὐ ἡ ἀτιμία αἰώνιος. Καὶ τό· «Οὐαὶ ὑμῖν ὅταν καλῶς ὑμᾶς εἴπωσιν» «οἱ ἄνθρωποι»[7], τοῦτ' ἔστιν ὅταν θέλητε παρὰ ἀνθρώπων καλῶς ἀκούειν καὶ δόξαις καὶ ἐπαίνοις τοῖς παρ' αὐτῶν προσερχομένοις χαίρειν· ἐπεὶ πῶς δυνατὸν ἦν ἀγαθοεργοῦντας μὴ φανεροὺς εἶναι πᾶσιν; Ὁπότε αὐτὸς ὁ Κύριος λέγει· «Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς»[8]. Εἰς δόξαν Θεοῦ ἀγωνίζεσθε, φησί, πᾶν ἀγαθὸν ποιεῖν ἐπιτήδευμα καὶ μὴ εἰς τὴν ἰδίαν δόξαν, μὴ δὲ ἐπιζητεῖτε καὶ χαίρετε τοῖς ἐπαίνοις τῶν ὀλιγοχρονίων **243** ἀνθρώπων, ἀλλὰ τὸν ἔπαινον καὶ τὴν δόξαν παρὰ Θεοῦ μόνου ἐκδέχεσθε· καθὼς καὶ ὁ μακάριος Δαβὶδ λέγει· «Παρὰ σοῦ ὁ ἔπαινός μου[9], καὶ πάλιν· «Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου»[10]· ὡς καὶ ὁ ἀπόστολος ἕως τοῦ φαγεῖν καὶ πιεῖν εἰς δόξαν Θεοῦ ἐντέλλεται γίνεσθαι. «Εἴτε γὰρ ἐσθίετε εἴτε πίνετε εἴτε τι ποιεῖτε», φησί, «πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε»[11]· τοὺς γὰρ παρὰ ἀνθρώπων δόξαν ἢ ἐπαίνους ἐπιζητοῦντας ἀπίστους εἶναι ὁ Κύριος ἀπέδειξεν εἰπών· «Πῶς δύνασθε ὑμεῖς» πιστεύειν «δόξαν παρὰ» ἀνθρώπων «λαμβάνοντες καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ» ζητοῦντες[12]; Ὁ δὲ Ἰωάννης τὸ μῖσος τῷ φόνῳ συγκρίνων φησίν· «Ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστί»· καί· Οἴδατε ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν ἑαυτῷ»[13]. Τὸ ἐν τῷ κρυπτῷ μῖσος <τὸ> κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ γινό-

---

1. Ψαλ. 52,6. 2. Ψαλ. 5,7 3. Ψαλ. 27,3-4. 4. Ψαλ. 57,3. 5. Ματθ. 6,1. 6. Πρβλ. Ματθ. 6,1. 7. Λουκ. 6,26. 8. Ματθ. 5,16. 9. Ψαλ. 21,26. 10. Ψαλ. 33,3. 11. Α' Κορ. 10,31. 12. Πρβλ. Ἰω. 5,44. 13. Α' Ἰω. 3,15.

μενον τῷ φόνῳ συγκρίνει. Ἀλλὰ καὶ ὁ ἀπόστολος Παῦλος τοὺς τοῖς πάθεσι τῆς ἀτιμίας παραδοθέντας διὰ τὴν «ἀσύνετον αὐτῶν» καὶ ἀπειθῆ «καρδίαν»[1] διαγορεύων καὶ ἐξαριθμῶν αὐτῶν τὴν ἐπὶ τὸ χεῖρον τῆς ἀπωλείας ἐργασίαν, κρυπτὰ καὶ φανερὰ ἁμαρτήματα εἰς ἓν συναριθμῶν, φησίν· «Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει», διὸ «καὶ παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα πεπληρωμένους» πάσης ἀδικίας, πονηρίας, πορνείας, πλεονεξίας, κακίας· «με**244**στοὺς φθόνου, φόνου, ἔριδος, δόλου, κακοηθείας, ψιθυριστάς, καταλάλους, θεοστυγεῖς, ὑβριστάς, ὑπερηφάνους, ἀλαζόνας, ἐφευρετὰς κακῶν, γονεῦσιν ἀπειθεῖς, ἀσυνέτους, ἀσυνθέτους, ἀστόργους, ἀσπόνδους, ἀνελεήμονας· οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσὶν»[2] καὶ τὰ ἑξῆς.

Θ'. Ὁρᾷς πῶς οὐ μόνον τὰ φανερὰ ἁμαρτήματα ἐξηγόρευσεν τὰ μόνα παρὰ ἀνθρώποις ὄντα βδελυκτά, ἀλλὰ σὺν τοῖς φανεροῖς καὶ τὰ κρύφια τῆς ψυχῆς πάθη συνηρίθμησε, δόλον, ὑπερηφανίαν, ἔριν, κακοήθειαν, ἀλαζονείαν, μῖσος, ἀσυνεσίαν· καὶ πάλιν ὁ Κύριος λέγει· «Τὸ ὑψηλὸν παρὰ ἀνθρώποις βδέλυγμα παρὰ τῷ Θεῷ»[3] καί· «Ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται»[4] καὶ ἡ Σοφία φησίν· «Ἀκάθαρτος παρὰ Θεῷ πᾶς ὑψηλοκάρδιος»[5]. Καὶ τὰ ὅμοια δὲ ἀναλεξάμενοι ἐκ τῶν Γραφῶν πάμπολλα ἂν εὕροιμεν τὰ εἰρημένα κατὰ τῶν κρυφίων ἐν τῇ ψυχῇ τῆς ἀτιμίας παθῶν. Τὰ γὰρ κρύφια πάθη τῆς ἀτιμίας τὸ Πνεῦμα τὸ Ἅγιον ἐπιστάμενον βιαιότερα καὶ κατερριζωμένα τῇ ψυχῇ ἐνυπάρχοντα τὴν ἀπαλλαγὴν αὐτῶν διὰ ποίου τρόπου γενέσθαι δυνατὸν διδάσκον ἡμᾶς διὰ τοῦ Δαβὶδ φησιν· «Ἐκ τῶν κρυφίων μου καθάρισόν με καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου»[6]· ὥστε διὰ πολλῆς δεήσεως καὶ πίστεως καὶ τῆς πρὸς Θεὸν τελείας ἀγαθῆς ὁρμῆς τῶν κρυφίων τῆς ἀτιμίας παθῶν διὰ **245** τῆς τοῦ Πνεύματος δυνάμεως περιγενέσθαι δυνάμεθα. Ὥσπερ γὰρ τὸν ἔξω ἄνθρωπον, ὅπερ ἐστὶ τὸ σῶμα, ἀπὸ τῶν φανερῶν ἁμαρτημάτων σπουδάζομεν φυλάττειν ὡς «ναὸν Θεοῦ»[7], καθὼς εἶπεν ὁ ἀπόστολος· Ὁ φθείρας «τὸν ναὸν τοῦ Θεοῦ», περὶ τοῦ σώματος λέγων, «φθερεῖ τοῦτον ὁ Θεός»[8], οὕτως καὶ τὸν ἔσω ἄνθρωπον, ὅπερ ἐστὶν ἡ ψυχή, σπουδαστέον καὶ διαγωνιστέον «ἀπὸ παντὸς μολυσμοῦ»[9] ῥυπαρῶν λογισμῶν φυλάττειν <ὡς νύμφην Χριστοῦ> κατὰ τὸ εἰρημένον· «Πάσῃ φυλακῇ τήρει σὴν καρδίαν»[10]· ἐκ γὰρ τούτων ἔξοδοι ζωῆς [ὡς νύμφην Χριστοῦ].

Ι'. Τοῦτο δὲ κατορθῶσαι ἡμῖν ἔσται ἀνταγωνιζομένων ἡμῶν καὶ ἀντιλεγόντων πάντοτε τοῖς πονηροῖς λογισμοῖς τῆς τε κενοδοξίας καὶ μίσους καὶ τύφου καὶ δόλου ἐπιθυμίας τε καὶ ἀπιστίας, ζήλου καὶ

---

1. Πρβλ. Ρωμ. 1,21. 2. Ρωμ. 1,28-32. 3. Λουκ. 16,15. 4. Λουκ. 14,11. 5. Παρμ. 16,5. 6. Ψαλ. 18,13-14. 7. Α' Κορ. 3,17. 8. Ἔνθ' ἀν. 3,17. 9. Πρβλ. Β' Κορ. 7,1. 10. Παρμ. 4,23.

φιλαρχίας καὶ πάσῃ ἀκριβείᾳ ἑαυτοὺς ἐρευνώντων τόν τε νοῦν ἀσυνδύαστον καὶ ἀσύμφωνον φυλασσόντων πρὸς τὰ κρύφια τῆς ψυχῆς πάθη καὶ ἐν πᾶσιν ἀγαθοῖς ἐπιτηδεύμασιν ἑαυτοὺς ἐπιδιδόντων μετὰ βίας καὶ πόνου καὶ ἀγῶνος διὰ τὸ ἐμποδίζειν ἡμῖν τὸν ἀντικείμενον· τὴν **246** γὰρ μονότροπον εὐθύτητα αἰνισσόμενος ὁ μακάριος Μωυσῆς καὶ διὰ τύπων ὑποδεικνὺς ἐνέφηνε τὸ μὴ δεῖν δυσὶ γνώμαις, κακοῦ καὶ ἀγαθοῦ, τὴν ψυχὴν ἐξακολουθεῖν, ἀλλὰ μόνῳ τῷ ἀγαθῷ· καὶ τὸ μὴ δεῖν δύο καρποὺς ἐν ἡμῖν, χείρονος καὶ χρησίμου, γεωργεῖσθαι, ἀλλὰ μονοτρόπως τὰ χρήσιμα ἐργαζομένους παντελῶς τοῦ χείρονος ἀλλοτριοῦσθαι. Φησὶ δὲ δι' αἰνιγμάτων· Οὐ ζεύξεις ἐν τῇ ἅλωνί σου ἀλλογενῆ ζῷα ἐπὶ τὸ αὐτό, οἷον βοῦν καὶ ὄνον[1], ἀλλὰ τὰ ὁμογενῆ ζῷα ζεύξας ἀλοήσεις τὸν ἄμητόν σου. Τοῦτ' ἔστιν ἵνα μὴ ἐν τῇ ἅλωνι τῆς καρδίας ὑμῶν ἐπὶ τὸ αὐτὸ ἀρετὴ καὶ κακία, τὴν ἐργασίαν ἔχῃ, ἀλλὰ μόνον ἀρετή. Οὐ συνυφανεῖς, φησίν, ἐρέῳ ἱματίῳ λινὸν οὐδὲ πάλιν λινῷ ἔριον[2]· οὐ γεωργήσεις ἐν τῇ χώρᾳ τῆς γῆς σου δύο καρποὺς ἐπὶ τὸ αὐτὸ οὐδὲ δεύτερον τοῦ ἐνιαυτοῦ[3]· οὐκ ἐπιβαλεῖς ἑτερογενὲς ζῷον ἐπὶ ἕτερον εἰς γονήν, ἀλλὰ τὰ ὁμογενῆ τοῖς ὁμογενέσι συζεύξεις[4]. Διὰ δὲ τούτων πάντων μυστικῶς αἰνίττεται τὸ μὴ δεῖν κακίαν καὶ ἀρετὴν ἐν ἡμῖν γεωργεῖσθαι, ἀλλὰ μονοτρόπως τὰς ἀρετὰς ἐξ ἡμῶν ἀποκυεῖσθαι διὰ τῆς θειοτέρας γονῆς· καὶ τὸ μὴ δεῖν δυσὶ πνεύμασι, τῷ πνεύματι τοῦ κόσμου καὶ τῷ Πνεύματι τοῦ Θεοῦ, τὴν ψυχὴν κοινωνεῖν καὶ ἑνοῦσθαι, ἀλλὰ μόνον τῷ τοῦ Θεοῦ Πνεύματι **247** συνενουμένην καὶ προσκολλωμένην τὰς τῆς ἀρετῆς ἱερὰς γονὰς καὶ τοὺς καρποὺς τοῦ Πνεύματος καρπογονεῖν τὴν ψυχὴν προσέταξεν, μηδὲ δυσὶ προσώποις τῷ χείρονι καὶ τῷ κρείττονι, συμφωνεῖν τὴν προαίρεσιν, ἀλλὰ μόνον τῷ καλῷ χρωμένους καὶ τοῦ κακοῦ παντελῶς ἠλλοτριωμένους τὸν μονότροπον τῶν ἀρετῶν καρπὸν ἐν τῇ ψυχῇ γεωργεῖν κατὰ τὸ γεγραμμένον· «Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην· πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα»[5]· καὶ «Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα»[6], ἵν' οὕτως τὸν ἀγῶνα τῆς ψυχῆς ὁρῶν ὁ Κύριος τῇ ἰδίᾳ φιλανθρωπίᾳ τὴν μεγάλην ἴασιν τῶν κρυφίων παθῶν διὰ τῆς τοῦ Πνεύματος δυνάμεως παντελῶς ἐν ἡμῖν ποιήσῃ, τὴν ἐκδίκησιν τῶν νοητῶν ἐχθρῶν ἡμῶν ἐργαζόμενος· καθὼς αὐτὸς ὁ Κύριος περὶ τῆς χήρας[7] διεξερχόμενος τῆς ὑπὸ τοῦ ἀντιδίκου καταπονουμένης καὶ πρὸς τὸν ἄδικον ἄρχοντα προσελθούσης, ἐπιζητούσης τε τὴν παρ' αὐτοῦ ἐκδίκησιν καὶ διὰ τὴν ἐπὶ πολὺ τῆς προσμονῆς ἀναίδειαν αὐτῆς τῆς ἐκδικήσεως αὐτῆς τετυχηκυίας, διδάσκει ἡμᾶς μὴ ἐκκακεῖν ἐν ταῖς δεήσεσιν· «Ἔλεγε γὰρ αὐτοῖς καὶ παραβολὴν πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι καὶ μὴ ἐκκακεῖν»[8] καὶ τὰ ἑξῆς. Τὸ μὴ ἐκκακεῖν τὴν ἐπὶ πολὺ προσμονὴν τῆς εὐχῆς αἰνίττεται· καὶ μετὰ **248** ταῦτα ὁ Κύριος· Ἴδετε τί λέγει ὁ ἄδικος

---

1. Πρβλ. Δευτ. 22,10. 2. Πρβλ. Δευτ. 22,11. 3. Πρβλ. Δευτ. 22,9; 4. Πρβλ. Δευτ. 22,11; 5. Ψαλ. 118,128. 6. Ψαλ. 118,163. 7. Πρβλ. Λουκ. 18,3 ἑξ. 8. Λουκ. 18,1.

κριτής· πόσῳ μᾶλλον «ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ποιήσει τὴν ἐκδίκησιν» τῶν βοώντων πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας»· ναὶ «λέγω ὑμῖν ποιήσει τὴν ἐκδίκησιν ἐν τάχει»[1].

ΙΑ΄. Οἷον γὰρ ἀγῶνα εἶχεν ὑπὲρ τῶν μαθητῶν ὁ ἀπόστολος καὶ εἰς ὁποῖον πνευματικὸν μέτρον ἐλθεῖν αὐτοὺς ἐσπούδαζεν ἐνδιαθέτως ὑπὲρ αὐτῶν εὐχόμενος, ἅμα δὲ καὶ τὸν ἄκρον τοῦ χριστιανισμοῦ σκοπὸν πᾶσι φανερὸν καθιστῶν τοῖς βουλομένοις ἀπόνως φιλαλήθως τρέχειν καὶ τὸν ἀποστολικὸν τῆς καινῆς κτίσεως κανόνα τοῖς ἐπὶ τὸ ἔμπροσθεν προκόπτειν σπουδάζουσιν ἔκδηλον ποιῶν· «Νουθετοῦντες», φησί, «πάντα ἄνθρωπον καὶ διδάσκοντες ἐν πάσῃ σοφίᾳ, ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ, εἰς ὃ καὶ κοπιῶ ἀγωνιζόμενος»[2]. Καὶ πάλιν τοὺς τὴν σφραγῖδα τοῦ Πνεύματος τῆς ἐπαγγελίας διὰ τοῦ βαπτίσματος καταξιουμένους ἐπεύχεται τῆς πνευματικῆς προκοπῆς λαβεῖν αὔξησιν λέγων· «Διὰ τοῦτο κἀγὼ ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους οὐ παύομαι ὑπὲρ ὑμῶν προσευχόμενος καὶ αἰτούμενος, ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης, δῴη ὑμῖν Πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ· πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν εἰς τὸ εἰδέναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνά**249**μεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας»[3]. Τὸν δὲ τρόπον τῆς μετουσίας καὶ μεταλήψεως τοῦ Πνεύματος ἀκριβῶς ὑποσημειωσάμενος ἐν πληροφορίᾳ γινομένης «Κατὰ τὴν ἐνέργειαν,» φησί, τῆς δυνάμεως «αὐτοῦ, ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ τῶν νεκρῶν»[4] κατ' ἐκείνην φησὶ τὴν ἐνέργειαν τοῦ Πνεύματος, ἵνα καὶ ὑμεῖς τὴν πληροφορίαν δέξησθε. Καὶ πάλιν ἐν τῇ αὐτῇ ἐπιστολῇ μικρὸν προβὰς εἰς ὑψηλοτέραν αὔξησίν τινα καὶ προκοπὴν τελειότητος πνευματικῆς ἐλθεῖν αὐτοὺς ἐπιθυμῶν ἐπεύχεται λέγων· «Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται, ἵνα δῷ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ», δύναμιν κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν, ἐν ἀγάπῃ» ἐρριζωμένους καὶ τεθεμελιωμένους· «ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσιν τοῖς ἁγίοις, τί τὸ πλάτος καὶ μῆκος καὶ βάθος καὶ ὕψος, γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ Χριστοῦ, ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ Θεοῦ»[5].

ΙΒ΄. Ἐν ἄλλῃ δὲ ἐπιστολῇ περὶ τῶν αὐτῶν διδάσκων καὶ τὴν ὑπερβολὴν τοῦ πνευματικοῦ πλούτου ἐπιδεικνύων τοῖς μαθηταῖς καὶ προτρεπόμενος σπεύδειν αὐτοὺς εἰς τὸ τέλειον μέτρον καταντῆσαι ἔλεγε·

---

1. Πρβλ. Λουκ. 18,6-8. 2. Πρβλ. Κολ. 1,28-29. 3. Ἐφ. 1,15-19. 4. Πρβλ. Ἐφ. 1,19-20. 5. Πρβλ. Ἐφ. 3,14.

«Ζηλοῦτε δὲ τὰ» πνευματικὰ «χαρίσματα· καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι»[1]. Ἐὰν ταῖς γλώσσαις τῶν ἀγγέλων λαλῶ, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον· κἂν ἔχω προφητείαν καὶ **250** εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, κἂν ἔχω πᾶσαν τὴν πίστιν ὥστε ὄρη μεθιστᾶν, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι· κἂν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου καὶ παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι»[2]. Καὶ ἐπάγει τοὺς καρποὺς τῆς ἀγάπης οἷοί εἰσι καὶ πῶς οἱ ταύτην κεκτημένοι τῶν τῆς κακίας παθῶν παντελῶς ἐλυτρώθησαν, λέγων· «Ἡ ἀγάπη οὐ ζηλοῖ· ἡ ἀγάπη οὐ περπερεύεται· οὐ φυσιοῦται· οὐκ ἀσχημονεῖ· οὐ ζητεῖ τὰ ἑαυτῆς»· «οὐ λογίζεται τὸ κακόν· οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· πάντα στέγει· πάντα ὑπομένει· πάντα πιστεύει· πάντα ἐλπίζει»[3]. Καὶ πάλιν ὁ αὐτός· «Ἡ ἀγάπη οὐδέποτε πίπτει»[4]. Τὸ δὲ οὐδέποτε πίπτει τοῦτο σημαίνει, ὡς οἱ ἐν τοῖς προειρημένοις χαρίσμασι τοῦ πνεύματος ὄντες καὶ μηδέπω διὰ τῆς πληρεστάτης καὶ ἐνεργοῦ ἀγάπης τοῦ πνεύματος τὴν λύτρωσιν τῶν παθῶν δεξάμενοι ἐν κινδύνῳ ἔτι καὶ ἀγῶνι καὶ φόβῳ τυγχάνουσι διὰ τὴν «πρὸς τὰ πνευματικὰ τῆς πονηρίας»[5] πάλην, εἰ καὶ χαρίσματα πνευματικὰ κέκτηνται. Ἰδοὺ γὰρ οἷον καὶ ὅσον πνευματικὸν μέτρον, ἅτε μηκέτι ὂν ὑπὸ πτῶσιν καὶ πάθος, ἔδειξε τοῖς βουλομένοις ἀκριβῶς βαίνειν τὴν ὁδὸν τοῦ χριστιανισμοῦ· **251** ὥστε καὶ γλώσσας ἀγγέλων καὶ προφητείαν καὶ πίστιν καὶ πᾶσαν τὴν γνῶσιν καὶ χαρίσματα ἰαμάτων μηδὲν εἶναι ὡς πρὸς σύγκρισιν τῆς ἀκροτάτης ἀρετῆς καὶ τοῦ πληρώματος τῆς ἀγάπης τῆς τελειότητος, καίπερ κἀκεῖνα τοῦ αὐτοῦ Πνεύματος ὄντα ἐνεργήματα. Ἀλλ' ἵνα, ἐάν τις ἐκείνων τῶν χαρισμάτων καταξιωθῇ, μὴ νομίσῃ διὰ τὴν καινοτέραν τῆς χάριτος ἐνέργειαν εἰς τὸ τέλειον ἐφθακέναι καὶ ὡς μηκέτι χρῄζων τινὸς οἰηθεὶς ἀπομείνῃ τῶν τελείων τῆς ἀπαθείας μέτρων, ἐν τοῖς ἐλάττοσι χαρίσμασι μόνον ἐμπληροφορούμενος, διὰ τοῦτο τὸν σκοπὸν τῆς τελειότητος ὑπέδειξεν, ἵνα ἕκαστος ἑαυτὸν πτωχὸν ἀπὸ τηλικούτου πλούτου ἐπιγινώσκων ἀπαύστως ἀνενδότως τὸν καλὸν ἀγωνίζεται ἀγῶνα καὶ τὸν πνευματικὸν δρόμον οὕτως τρέχῃ ἕως οὗ καταλάβῃ, καθὼς εἴρηκεν· «Οὕτως τρέχετε, ἵνα καταλάβητε»[6].

ΙΓ'. Ἰδοὺ πῶς τὸν τῆς εὐσεβείας καὶ τελειότητος ὅρον καὶ σκοπὸν καὶ κανόνα διὰ πολλῶν εἰς φανερὸν πᾶσι τίθησιν ἐπευχόμενος τοῖς ἰδίοις μαθηταῖς εἰς αὐτὸν πάντας φθάσαι· πάλιν γὰρ ὁ αὐτὸς ἐν ἑτέρῳ δεικνύων τὴν ἐν Χριστῷ γινομένην καινότητα καὶ μεταβολὴν τοῖς πιστοῖς καὶ ἀγαπῶσι τὸν Κύριόν φησιν· «Οὔτε γὰρ περιτομή τι ἰσχύει οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις· καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχοῦσιν εἰρήνη ἐπ αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ»[7]. Καὶ πάλιν· «Εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις, τὰ ἀρχαῖα παρῆλθε»[8]. Διὰ μιᾶς

1. Πρβλ. Α' Κορ. 12,31. 2. Α' Κορ. 13,1-3. 3. Α' Κορ. 13,3-7. 4. Α' Κορ. 13,8. 5. Ἐφ. 6,12. 6. Α' Κορ. 9,24. 7. Γαλ. 6,15-16. 8. Β' Κορ. 5,17.

λέξεως τῆς καινῆς κτίσεως τὸν ἀποστολικὸν κανόνα **252** εἰς φανερὸν τέθεικεν· ἡ δὲ καινὴ κτίσις τί ἄλλο ἐστὶν ἢ καθὼς ὁ αὐτὸς ἀλλαχοῦ λέγει· «Ἵνα παραστήσῃ αὐτὸς ἑαυτῷ τὴν ἐκκλησίαν ἔνδοξον, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος»[1], τὴν παντελῆ ἀπὸ τοῦ αἴσχους καθαρότητα, ὅ ἐστιν ἡ παντελὴς τῶν παθῶν ἀπαλλαγή, καὶ τὴν πλήρη τῆς θείας τοῦ Πνεύματος δυνάμεως ἄρρητον καὶ μυστικὴν ἐν ἁγιασμῷ κοινωνίαν, ἐν καρδίαις ἁγίων ἐνεργουμένην, καινοτέρας ὑπὲρ τὴν φύσιν καὶ πνευματικῆς ἐν ἀρεταῖς ἀπολαύσεως κατηξιωμένων, ταύτην εἶναι τὴν ἐν Χριστῷ καινὴν κτίσιν ὁ ἀπόστολος ἐδίδαξεν. Ἀλλὰ καὶ τὸ «Ἐκκαθάρατε τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα»[2] καὶ τὸ «Ἑορτάζομεν μὴ ἐν ζύμῃ παλαιᾷ», «ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας»[3], τὸν αὐτὸν σκοπὸν παρίστησι. Καὶ διὰ τὸ μὴ ἱκανοὺς εἶναι <πρὸς τὴν> «πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας» καὶ «τὰ πνευματικὰ τῆς πονηρίας»[4] πάλην ἀναλαβεῖν ἡμᾶς «τὴν πανοπλίαν τοῦ Θεοῦ»[5] προτρέπεται· «τὸν θώρακα τῆς δικαιοσύνης ἐνδύσασθε καὶ ὑποδήσασθε «τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης»[6] καὶ περιζώσασθε «τὴν ὀσφὺν ἐν ἀληθείᾳ», «ἐπὶ πᾶσι τὸν θυρεὸν τῆς πίστεως ἀναλαβόντες», δι' ἧς φησι «δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι»[7], ἅπερ εἰσὶν αἱ τῶν μιαρῶν παθῶν ἐνέργειαι· «Καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε» «καὶ τὴν» ἁγίαν «τοῦ πνεύματος μάχαιραν, ὅ ἐστι ῥῆμα Θεοῦ»[8]. Διὰ τῶν ὑπὲρ τὴν ἡμετέραν φύσιν προειρημένων πνευματικῶν **253** ὅπλων ἰσχύσειν «στῆναι πρὸς τὰς» χαλεπὰς «μεθοδείας τοῦ διαβόλου»[9] ὁ ἀπόστολος ὑπέδειξε, τὸν δὲ τρόπον, δι' οὗ ταῦτα κτήσασθαι δυνάμεθα, ἀκριβῶς ἐπεσημειώσατο εἰπών· «Διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι ἐν παντὶ καιρῷ ἐν πνεύματι καὶ εἰς αὐτὸ ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει»[10]· διὸ καὶ ἐπεύχεται τοῖς πᾶσι λέγων· «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν»[11]. Καὶ πάλιν· «Ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη»[12]. Ἰδοὺ κατὰ πόσον τρόπον εἰς φανερὸν τέθεικε τὴν εὐθεῖαν τῆς δικαιοσύνης ὁδὸν καὶ τὸν ἄκρον τοῦ χριστιανισμοῦ σκοπόν, πάντας προτρεπόμενος καὶ ἐπιθυμῶν φθάσαι εἰς αὐτόν, εἰς ὃν οἱ φιλαλήθεις ἀποβλέποντες καὶ παντελῶς ἀκμητὶ ἀγωνιζόμενοι πίστει καὶ ἐλπίδι καὶ πάσῃ ἀρετῆς καταστάσει εὔχονται καὶ ἐπιθυμοῦσιν εἰς αὐτὸν καταντῆσαι. Οὗτοι γὰρ δυνήσονται καὶ τὰς μεγάλας ἐντολάς, εἰς ἃς «ὁ νόμος καὶ οἱ προφῆται κρέμανται»[13], τό «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης

1. Ἐφ. 5,27. 2. Α' Κορ. 5,7. 3. Α' Κορ. 5,8. 4. Ἐφ. 6,12. 5. Ἐφ. 6,11. 6. Ἐφ. 6,14-15. 7. Πρβλ. Ἐφ. 6,14. 16. 8. Πρβλ. Ἐφ. 6,17. 9. Ἐφ. 6,11. 10. Ἐφ. 6,18. 11. Β' Κορ. 13,13. 12. Α' Θεσ. 5,23. 13. Ματθ. 22,40.

τῆς ἰσχύος σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν»[1], πάσης κακίας ἀπαλλαγέντες καθαρῶς καὶ τελείως καὶ ἀμώμως ἀποπληρῶσαι.

ΙΔʹ. Εἰ δὲ καὶ ἐδόξαμεν ἐπὶ πλεῖον παρατεῖναι τὴν διήγησιν **254** περὶ τοῦ σκοποῦ τῆς εὐσεβείας, ὁποῖον ἡμῖν ὁ Κύριος καὶ οἱ ἀπόστολοι καὶ πᾶσαι αἱ θεόπνευστοι Γραφαὶ παραδιδόασι, διὰ πολλῶν μαρτυριῶν παριστῶντες, οὐκ ἀκαίρως πεποιηκέναι ἡγούμεθα, ἵνα ἐκ παντὸς τρόπου ἀναμφισβητήτως καὶ ἀδιστάκτως πεπληροφορημένοι ὦμεν, τίς ἡμῶν ἡ ἐλπὶς τῆς πίστεως καὶ τίς ὁ σκοπὸς καὶ ὁποῖος ἡμῖν ὁ δρόμος πρόκειται, μάλιστα οἱ τὸν μονήρη βίον ἀναδεξάμενοι καὶ δεσμῶν κοσμικῶν καὶ σαρκικῆς κοινωνίας ἑαυτοὺς ἄραντες καὶ παρθενεύειν ἐν Κυρίῳ ἡρημένοι, ἵνα προσέχων ἕκαστος καὶ ἑκάστη, ποῦ κέκληται καὶ εἰς οἷον μέτρον φθάσαι ὀφείλει, πάσης μὲν οἰήσεως διά τινα γεγενημένα κατορθώματα παύσωνται, ὄντως μηδὲν εἶναι ἑαυτοὺς ἡγούμενοι διὰ τὴν ὑπερβολὴν τοῦ τελείου τῆς κλήσεως μέτρου καὶ τοῦ ἀνεξιχνιάστου πλούτου τῆς ἀγάπης τοῦ Χριστοῦ, παντὶ δὲ τρόπῳ καὶ παντὶ σθένει καὶ πάσῃ σπουδῇ ἑαυτοὺς εἰς τὸ ἀγαθὸν πάντοτε προθύμως ἐπιδιδῶσι, κατὰ τὸν λόγον τοῦ Κυρίου μετὰ πάντων τῶν τοῦ αἰῶνος τούτου ἔτι καὶ τὴν ἑαυτῶν ψυχὴν ἀρνούμενοι, τὸν σταυρὸν καθ' ἡμέραν αἴροντες μετὰ χαρᾶς καὶ ἀγαλλιάσεως καὶ ἀκολουθοῦντες αὐτῷ, αὐτὸν ἔχοντες τὸν Κύριον ἐν πᾶσι τύπον καὶ ὁδὸν καὶ ὑπογραμμὸν καὶ σκοπὸν ἡμῖν γεγενημένον κατὰ τὸ εἰρημένον· «Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ»[2], καὶ πάλιν· «Δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρὸν αἰσχύνης καταφρονήσας ἐν δεξιᾷ τε τοῦ Θεοῦ κεκάθικε»[3]· μή ποτε γὰρ ἐμπληροφορούμενοι **255** καὶ ἐπαναυαπόμενοι ἐπί τισι τοῦ Πνεύματος χαρίσμασιν ἢ ἐπ' ὀλίγοις τισὶ κατορθώμασι καὶ ὡς ἤδη εἰς τὸ τέλειον καταντήσαντες πανουργίᾳ κακίας οἰήσει δικαιοσύνης ἀπατηθῶμεν, ἀπομένοντες ἐκ τῶν μειζόνων τοῦ πνεύματος προκοπῶν· ἀλλ' ὡς φιλαλήθεις μέχρι τέλους τὸν πόνον καὶ τὴν θλῖψιν καὶ ἀγῶνα καὶ δρόμον ἄπαυστον ἔχωμεν, ὁσημέραι ἐπὶ τὰ «ἔμπροσθεν ἐπεκτεινόμενοι» πάντοτε καὶ τῶν ὄπισθεν «ἐπιλανθανόμενοι»[4], «πεινῶντες» ἀεὶ «καὶ διψῶντες τὴν δικαιοσύνην»[5], «συντετριμμένην» ἔχοντες τὴν «καρδίαν»[6], ἅτε δὴ μηδέπω φθάσαντες εἰς ἣν ἐκλήθημεν κλῆσιν μηδὲ κατειληφότες τὸ τέλειον τοῦ χριστιανισμοῦ μέτρον μηδὲ φθάσαντες ἀκμὴν εἰς τὴν τελείαν τοῦ Χριστοῦ ἀγάπην· οἱ γὰρ ὄντως ἐπιθυμοῦντες τυχεῖν τοῦ προκειμένου καὶ προδηλωθέντος ἀκροτάτου σκοποῦ τέτρωνται ἀεὶ τῷ πόθῳ εἰς ἐκείνην τὴν τῆς ἀνεκλαλήτου τελειότητος κλῆσιν, ἐν μηδενὶ τῶν ἐν τοῖς ἐλάττοσι καλῶν, δικαιοσύνης νηστειῶν ἢ ἀγρυπνιῶν ἢ ἐλεημοσυνῶν ἢ χαρισμάτων τοῦ πνεύματος μετοχῇ, πληροφορούμενοι καὶ ἐναπομένοντες ἕως ἐσχάτης

---

1. Μαρκ. 12,30. 2. Αʹ Κορ. 11,1. 3. Ἑβρ. 12,2. 4. Πρβλ. Φιλιπ. 3,13. 5. Πρβλ. Ματθ. 5,6. 6. Πρβλ. Ψαλ. 50,19.

ἀναπνοῆς· ἀλλ' ἐν πᾶσιν ἀγαθοῖς καὶ καλοῖς καὶ πάσαις ἀρεταῖς ὁλοτελῶς ἑαυτοὺς ἀποδιδόντες καὶ οὕτως ἐνδεεῖς διαμένοντες ἕνεκεν ἀρετῆς οὐδέποτε δόξουσι πληροῦν νόμον σοφίας· ἀλλὰ καίπερ ὄντες παρὰ Θεοῦ τίμιοι ἑαυτοὺς ἀναξίους ἡγοῦνται καὶ ὄντες ἐν πνευματικῇ προκοπῇ παρ' ἑαυτοῖς ὡς ἀρχόμενοι τυγχάνουσιν, καὶ ὄντες μεγάλοι ἑαυτοὺς ἐξουθενοῦσι καὶ ὡς μηδὲν ὄντας κρίνουσι· καὶ οὕτως καθ' ὅσον ἐπίστευσαν καὶ καθ' ὅσον ἠγάπησαν τὰς ἀμοιβὰς τῶν εὐαγγελιῶν τῆς βασιλείας ἀπολήψονται. Αἱ τοιαῦται ψυχαὶ εὐαρεστῆσαι τῷ Θεῷ δυνήσονται καὶ τῆς βασιλείας κληρονόμοι γενέσθαι, αἱ «συντετριμμένην» ἔχουσαι «τὴν καρδίαν»[1] καὶ «πτωχαὶ τῷ πνεύματι»[2], πεινῶσαι <δ> ἀεὶ καὶ
256 διψῶσαι τὴν δικαιοσύνην τῶν τελείων ἐφιέμεναι τιμῶν διὰ τὴν ἄκραν αὐτῶν πρὸς Θεὸν ἀγάπην ἄκροις δώροις ἀμειφθήσονται.

ΙΕ'. Καὶ περὶ μὲν τῆς ἐλπίδος τοῦ σκοποῦ, οἷον ὀφείλουσιν ἔχειν μάλιστα οἱ τὸν μονήρη βίον ἐπανῃρημένοι καὶ παρθενίαν ἀσπασάμενοι, αὐτάρκως εἴρηται· περὶ δὲ τῆς συναγωγῆς καὶ τῆς ἱερᾶς συγκροτήσεως τῶν μοναστηρίων τῆς ἀδελφότητος πῶς τε ὀφείλουσι συνδιάγειν καὶ συνδιατελεῖν ἀλλήλοις δι' ὁποίων τε πόνων καὶ ἱδρώτων καὶ ἐπιτηδεύσεως τοῦ προειρημένου τῆς εὐσεβείας σκοποῦ ἐπιτυχεῖν οἱ φιλαλήθεις δύνανται ἀναγκαῖον διαλαλῆσαι, ὅπως καὶ τὴν ἀπάγουσαν ὁδὸν εἰς τὴν οὐράνιον πόλιν προθύμως οἱ σπουδαῖοι καὶ ἑδραῖοι ταύτης ἐπιβάντες οὕτως τρέχωσιν ἕως οὗ καταλάβωσι[3]. Πρῶτον πάντων ὁ τῷ σκοπῷ τῆς εὐσεβείας τρέχων καὶ «τοῖς ἴχνεσι»[4] τοῦ Κυρίου βαίνειν ἐπιθυμῶν ἀναχωρήσας τε τοῦ βίου καὶ τῶν σαρκικῶν ἡδονῶν καὶ ἑαυτὸν τῇ ἀδελφότητι ἔκδοτον δεδωκώς, ἀρνησάμενος κατὰ τὸ εὐαγγέλιον πατέρα, μητέρα, τέκνα καὶ γυναῖκα, ἀδελφοὺς καὶ ἀδελφάς[5], συγγένειαν, πλοῦτον, δόξαν, εὐγένειαν καὶ ἐν τῷ μοναστηρίῳ ἐλθὼν ὡς ἐπὶ μέστωμα πάντων τῶν καλῶν [τοῦτο προσθῇ· ἔτι] «ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν»[6] ἀρνήσεται. Τί δέ ἐστιν ἡ ἄρνησις τῆς **257** ἑαυτοῦ ψυχῆς ἢ τὸ ἔκδοτον ἑαυτὸν ὁλοτελῶς τῇ ἀδελφότητι δοῦναι καὶ τὰ ἴδια θελήματα μὴ ἐπιτελεῖν ὅλως, ἀλλὰ τῷ λόγῳ τοῦ Θεοῦ ἐκκρεμάσαντα ἑαυτὸν πάντοτε ἐκεῖθεν ταῖς ἁγίαις καὶ καθαραῖς τῶν ἐντολῶν ἐννοίαις τὴν ψυχὴν κατακοσμεῖσθαι καὶ ταύτας σωτηριώδεις καὶ ἡδείας ἡγεῖσθαι· μὴ ἔχειν δέ τι ὅλως ἐν ἰδίᾳ ἐξουσίᾳ ἐκτὸς οὗ φορεῖ ἐνδύματος ,ἵνα πάντοθεν ἀμέριμνος εἶναι δύνηται, τὰ ἐπιτασσόμενα αὐτῷ μόνον μετὰ χαρᾶς ἐπιτελῶν· καὶ ὡς ἠγορασμένος δοῦλος εὐγνώμων πάντας τοὺς ἀδελφούς, μάλιστα δὲ τοὺς προεστῶτας, κατὰ πάντα ὡς κυρίους καὶ δεσπότας διὰ τὸν Χριστὸν ἡγείσθω, καθὼς αὐτὸς ὁ Κύριος εἶπεν· «Ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος» καὶ μέγας, «ἔστω πάντων» ἐσχατώτερος καὶ «πάντων διάκονος»[7] καὶ πάντων δοῦλος[8], μὴ δόξαν ἢ τιμὴν ἢ ἔπαινον

---

1. Πρβλ. Ματθ. 5,6. 2. Πρβλ. Ἐνθ' ἀν. 3. 3. Πρβλ. Α' Κορ. 9,24. 4. Πρβλ. Β' Πετρ. 2,21. 5. Πρβλ. Ματθ. 19,29. Λουκ. 14,26. 6. Λουκ. 14,26. 7. Μαρκ. 9,35. 8. Πρβλ. Μαρκ. 10,44.

τὸ ἐπ' αὐτῷ, τῆς διακονίας ἢ τῆς πολιτείας παρ' αὐτῶν τῶν ἀδελφῶν θηρεύων κατὰ τὸ εἰρημένον· Διακονῶν μετὰ πάσης εὐνοίας, μὴ ἐν ὀφθαλμοδουλείᾳ ὡς ἀνθρωπάρεσκος, ἀλλ' ὡς δοῦλος Χριστοῦ[1], τῷ Κυρίῳ ἐκδεδωκὼς ἑαυτὸν τῇ στενῇ ὁδῷ καὶ τεθλιμμένῃ[2] ὁδευέτω, ὡς τῆς βασιλείας ἐραστὴς ὢν καὶ τὸν ἐλαφρὸν τοῦ Κυρίου καὶ χρηστὸν ζυγὸν προθύμως καὶ μετὰ ἀγαλλιάσεως ὑπεισελθών, ἅτε δὴ μεγάλης σωτηρίας ἑαυτῷ πρόξενος γενόμενος, ἐὰν μετὰ μακροθυμίας καὶ ὑπομονῆς ἕως τέλους ἐμμείνῃ τῇ καλῇ ταύτῃ καὶ ψυχωφελεῖ δουλείᾳ, πάντας κυρίους ὡς **258** Χριστοῦ οἰκείους καὶ τῆς βασιλείας κληρονόμους ἐνοπτριζόμενος καὶ πᾶσαν ὑποταγὴν ἑκάστῳ, μάλιστα δὲ τοῖς προεστῶσιν ἀσκηταῖς καὶ τὰ βάρη τῶν φροντίδων τῆς ἀρετῆς ἀναδεδεγμένοις ἀποπληρῶν, πάντοτε χρεώστην ἑαυτὸν ἡγούμενος τῆς μετὰ ἀγάπης καὶ ἁπλότητος πρὸς τοὺς ἀδελφοὺς διακονίας κατὰ τὸ εἰρημένον· «Διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις»[3] καὶ πάλιν· «Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾶν»[4].

ΙϚ'. Ἀλλὰ καὶ ὑμεῖς οἱ ἀσκηταὶ οἱ προεστῶτες τῆς ἀδελφότητος ὡς μεγάλου ἔργου ἐπιλαβόμενοι οὕτως ἀγωνίζεσθε διὰ τῆς ταπεινοφροσύνης πρὸς τὰς τῆς κακίας ἐντέχνους μεθοδείας, ἵνα μὴ πάθει ὑπερηφανίας ὡς κατεξουσιάζοντες τῶν ὑποτεταγμένων ὑμῖν ἀδελφῶν κατεπαιρόμενοι ἀντὶ μεγίστου κέρδους ζημίαν τῇ ψυχῇ καὶ βλάβος μέγιστον προξενήσητε. Ἀλλ' ὡς εὔσπλαγχνοι πατέρες δουλεύειν ἑαυτοὺς διὰ τὸν Θεὸν ἐκδεδωκότες τῇ ἀδελφότητι ἤπερ κυριεύειν καὶ εἰς πάντα ὑπὲρ αὐτῶν φροντίζοντες σωματικῶς καὶ πνευματικῶς καὶ ἑκάστῳ τὸ ὠφελοῦν τῇ ψυχῇ σπουδάζοντες ὡς τέκνων Θεοῦ[5] ἐπιμέλειαν ποιεῖσθε, ἵν' οὕτως πᾶν τὸ ἱερὸν συγκρότημα τῆς ἀδελφότητος εἰς πνευματικὸν κέρδος περιποιούμενοι καὶ περιθάλποντες τὸν ἐπουράνιον μισθὸν παρὰ Θεοῦ ἀπολήψεσθε· καὶ εἰς μὲν τὸ προφανὲς τὴν τάξιν τοῦ προεστῶτος φυλάττετε, οἷον τὸ διατάξασθαι ἢ ἐπιτάξαι ἢ συμβουλεῦσαι τοῖς δοκιμωτέροις τῶν ἀδελφῶν ἢ ἐπιτιμῆσαί τινι ἢ ἐλέγξαι ὅπου χρὴ **259** ἢ παρακαλέσαι ὅπου δέοι κατὰ τὸ ἀποστολικὸν παράγγελμα, ἵνα μὴ προφάσει ταπεινότητος ἢ πραότητος δι' ἄγνοιαν ἐν συγχύσει ᾖ τὰ μοναστήρια, τὴν τάξιν τῆς ἀκολουθίας τῶν προεστώτων καὶ τῶν ὑποβεβηκότων μὴ ἀποσῳζόντων· εἰς δὲ τὸ κρυπτὸν κατὰ τὸν νοῦν ὡς δούλους ἀναξίους πάντων τῶν ἀδελφῶν ἑαυτοὺς ἡγεῖσθε καὶ ὡς παιδαγωγοὶ καλοὶ δεσποτικὰ τέκνα ἐμπιστευθέντες, μετὰ πάσης εὐνοίας καὶ φόβου Θεοῦ ἕκαστον τῶν ἀδελφῶν καταρτίζειν εἰς πᾶν ἀγαθὸν σπουδάζετε ὡς εἰδότες, ὅτι μέγας ὑμῖν καὶ ἀναφαίρετος μισθὸς ὑπὲρ τοῦ τοιούτου καμάτου παρὰ Θεῷ τετήρηται. Καὶ ὥσπερ οἱ παιδαγωγοῦντες τοὺς παῖδας πολλάκις τοὺς ἰδίους δεσπότας μαθημάτων χάριν ἢ καταστάσεως ἠθῶν μὴ φειδόμενοι καὶ μάστιξι παιδεύουσι,

---

1. Πρβλ. Ἐφ. 6,6. 2. Πρβλ. Ματθ. 7,13. 3. Γαλ. 5,13. 4. Ρωμ. 13,8. 5. Πρβλ. Ρωμ. 8,16.

πολλὴν εὔνοιαν καὶ σπουδὴν εἰς αὐτοὺς ἐνδεικνύμενοι ἐλπίδι τοῦ γενέσθαι αὐτοὺς φρονίμους καὶ ἐνδόξους ἐν κόσμῳ, οὕτω καὶ οἱ ἀσκηταὶ μὴ πάθει θυμοῦ ἢ ὑψηλοφροσύνης ἀμύνεσθε τοὺς ἀπαιδευτοῦντας καὶ νηπιάζοντας ἀδελφούς, ἀλλ' εὐσπλαγχνίᾳ Χριστοῦ καὶ σκοπῷ πνευματικῆς ὠφελείας καὶ ἐλπίδι τοῦ χρησιμεῦσαι τοὺς ὑφ' ὑμῶν παιδαγωγουμένους εἰς τὴν βασιλείαν τῶν οὐρανῶν[1]. Ἐν τοιούτῳ φρονήματι ἐπιστρέφετε τὴν τῶν ἀδελφῶν νηπιότητα, ἑκάστῳ πρὸς τὸ συμφέρον, ὡς προείρηται, εἴτε παρακλήσει εἴτε ἐπιτιμήσει προσφερόμενοι. Μόνον ζήλῳ Θεοῦ καὶ «σπλάγχνοις Χριστοῦ»[2] τὴν ἐπιστροφὴν ποιεῖσθε καὶ μὴ πάθει κακίας ὡς ἑαυτοὺς ἐκδικοῦντες ἀμύνεσθε, ἵνα **260** τέλειον ὑμῶν ὅνπερ διὰ θεὸν ἀνεδέξασθε κάματον ἀποδείξαντες τῆς ἐπουρανίου βασιλείας ἔσεσθε κληρονόμοι.Οὕτως γάρ ἐστιν ἀληθῶς ὁ ἀγγελικὸς βίος ἐπὶ γῆς, ὅταν τοιούτῳ φρονήματι κατηρτισμένοι ὦσι καὶ οἱ προεστῶτες καὶ οἱ ὑποβεβηκότες· ὅταν ἀλλήλοις πάντες οἱ ἀδελφοὶ μετὰ πάσης χαρᾶς ὑποτασσόμενοι ἀλλήλους κυρίους ἡγήσωνται καὶ «τῇ τιμῇ ἀλλήλους»» προηγήσωνται[3]. «Ἁπλότητι»[4] οὖν καὶ ἀκεραιότητι καὶ ὁμονοίᾳ καὶ εἰρήνῃ καὶ «ἀφελότητι καρδίας»[5] μετὰ πάσης ταπεινώσεως[6] οἱ ἀδελφοὶ ὀφείλουσι συνεῖναι ἀλλήλοις. Μηδεὶς κατὰ τοῦ ἑτέρου ἐπαιρόμενος ἑαυτὸν μείζονα καὶ κρείτονα κἂν τοῦ τυχόντος ἡγείσθω, ἀλλὰ τοὐναντίον ἐνδεέστερον πάντων ἀνθρώπων ἑαυτὸν ἡγείσθω ὡς μαθητὴς Χριστοῦ, καθὼς εἶπεν αὐτὸς ὁ Κύριος· «Ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται καὶ ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται»[7]· καὶ πάλιν· «Ὁ θέλων ἐν ὑμῖν «εἶναι πρῶτος,» ἔστω «πάντων ἔσχατος καὶ πάντων διάκονος»[8]· καθὼς καί· «Ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν»[9]. Καὶ ὁ ἀπόστολος· «Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν ἀλλὰ Κύριον Ἰησοῦν Χριστόν, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦ»[10].

ΙΖ'. Παρακαλοῦμεν οὖν ὑμᾶς[11] ὡς μιμηταὶ Χριστοῦ εἶναι βουλόμενοι εἰς ἀνάπαυσιν ἀλλήλων καὶ ὑποταγὴν καὶ χρηστὴν **261** δουλείαν· εἰ δυνατὸν καὶ <εἰς> τὸ ὑπεραποθανεῖν τοῦ πλησίον ἑαυτοὺς εὐτρεπίσωμεν, ἔχοντες τὸν Κύριον τύπον καὶ ὑπογραμμὸν[12] καὶ ἐνπᾶσιν ἀγαθοῖς[13] συνεργὸν ἡμῶν κατὰ τὸ εἰρημένον· «Τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν»[14], ἵνα διὰ τῆς ἀγάπης καὶ ἁπλότητος καὶ ἀζηλίας καὶ ἀτυφίας ὁ σύνδεσμος τῆς εἰρήνης[15] ἐν ἑνὶ σώματι καὶ πνεύματι[16] τοῦ Χριστοῦ ἐν τῇ ἀδελφότητι φυλάσσεσθαι δύνηται, ὑποτασσομένων, ὡς εἴρηται, «ἀλλήλοις ἐν φόβῳ» καὶ ἀγάπῃ τοῦ «Χριστοῦ»[17]. Ἕκαστος οὖν ἐν τοιούτοις ἤθεσιν εἶναι βουλόμενος πρὸ πάντων καὶ πανταχοῦ

---

1. Πρβλ. Ματθ. 5,3. 2. Φιλιπ. 1,8. 3. Πρβλ. Ρωμ. 12,10. 4. Πρβλ. Ἐφ. 6,5. 5. Πράξ. 2,46. 6. Πρβλ. Πράξ. 20,19. 7. Λουκ. 14,11. 18,14. 8. Πρβλ. Μαρκ. 9,35. 9. Μαρκ. 10,45. 10. Β' Κορ. 4,5. 11. Πρβλ. Α' Θεσ. 4,10. 12. Πρβλ. Α' Πετρ. 2,21. 13. Πρβλ. Γαλ. 6,6. 14. Ρωμ. 8,28. 15. Πρβλ. Ἐφ. 4,3. 16. Πρβλ. Ἐφ. 4,4. 17. Πρβλ. Ἐφ. 5,21.

τὴν ἱερὰν ἀγάπην καὶ τὸν φόβον τοῦ Θεοῦ, «ἥτις ἐστὶν <ἡ> πρώτη καὶ μεγάλη ἐντολή»[1], ἐν τῇ αὐτοῦ καρδίᾳ σπουδαζέτω καὶ ζητείτω παρὰ Θεοῦ ἀδιαλείπτως ἔχειν καὶ διὰ τῆς συνεχοῦς, μᾶλλον δὲ ἀδιαλείπτου μνήμης <τοῦ> Κυρίου καὶ ἔρωτος οὐρανίου ταύτην ὁσημέραι κατὰ προκοπὴν διὰ τῆς χάριτος ἐπαυξάνων προσκτάσθω. Διὰ γὰρ πολλῆς σπουδῆς καὶ πόνου καὶ μερίμνης καὶ ἀγῶνος τὴν πρὸς τὸν Θεὸν ἀγάπην κτήσασθαι δυνάμεθα χάριτι καὶ δωρεᾷ Χριστοῦ ἐν ἡμῖν μορφουμένην, καθὼς ἐν τῇ Σοφίᾳ εἴρηται· «Ἐὰν γὰρ ζητήσῃς αὐτὴν ὡς ἀργύριον καὶ ὡς θησαυροὺς ἐξερευνήσῃς αὐτήν, τότε συνήσεις φόβον Κυρίου καὶ ἐπίγνωσιν Θεοῦ εὑρήσεις»[2]. Οὕτως γὰρ καὶ τὴν δευτέραν ἐντολὴν τὴν πρὸς τὸν πλησίον ἀγάπην, εὐχερῶς καὶ καθαρῶς κατορθῶσαι δυνά-**262**μεθα. Τὰ γὰρ πρῶτα προταττέσθω καὶ σπουδαζέσθω ὡς πρῶτα, καὶ τὰ δεύτερα τοῖς πρώτοις ἑπόμενα ἀκολούθως τελεσθήσεται· ἐὰν γάρ τις ἀμελήσει τῆς μεγάλης καὶ πρώτης ἐντολῆς, τῆς πρὸς τὸν Θεὸν ἀγάπης, ἥτις ἀπὸ τῆς ἔνδοθεν διαθέσεως καὶ συνειδήσεως ἀγαθῆς καὶ ὑγιῶν τῶν πρὸς Θεὸν ἐννοιῶν ἅμα καὶ βοηθείᾳ <καὶ χάριτι θείᾳ> συνίσταται, τῆς δὲ δευτέρας τὴν ἔξωθεν μόνον ἐπιμέλειαν τῆς διακονίας ποιήσεται, ἀδύνατον ὑγιῶς καὶ καθαρῶς ταύτην ἐπιτελεῖν.

ΙΗ'. Ἡ γὰρ τῆς κακίας μέθοδος εὑρίσκουσα ἔξω μνήμης καὶ ἀγάπης καὶ ζητήσεως Θεοῦ τὸν νοῦν ἢ δυσχερῆ καὶ βαρέα καταφαίνεσθαι ποιεῖ τὰ θεῖα ἐντάλματα, γογγυσμοὺς καὶ **263** λύπας καὶ μέμψεις τῆς εἰς τοὺς ἀδελφοὺς γινομένης διακονίας τῇ ψυχῇ ἐνεργαζομένη ἢ οἰήσει δικαιοσύνης ἀπατήσασα φυσιοῖ, καὶ ἑαυτὸν ἡγήσεται τίμιον καὶ μέγαν καὶ ὡς ἄκρως κατορθοῦντα τὰς ἐντολάς. Ὅταν δὲ ἐν ἑαυτῷ οἰηθῇ ἄνθρωπος, ὅτι καλὰ ἐργάζεται καὶ ἐντολὰς φυλάττει, ἥμαρτε κρίνας ἑαυτὸν καὶ μὴ ἐκδεξάμενος τὸν κρίνοντα ἀληθῶς· ὅταν γὰρ «συμμαρτυρῇ τῷ πνεύματι ἡμῶν τὸ Πνεῦμα»[3] τοῦ Θεοῦ κατὰ τὸ λόγιον Παύλου, τότε ἀληθῶς Χριστοῦ ἄξιοι καὶ «τέκνα Θεοῦ»[4] τυγχάνομεν, οὐχ ὅταν οἰήσει ἰδίᾳ ἑαυτοὺς δικαιώσωμεν. «Οὐ γάρ», φησίν, «ὁ ἑαυτὸν συνιστῶν ἐστι δόκιμος, ἀλλ' ὃν ὁ Κύριος συνίστησιν»[5]. Ἐὰν γὰρ ἐκτὸς μνήμης καὶ φόβου Θεοῦ εὑρίσκηται ὁ ἄνθρωπος, ἀνάγκη καὶ δόξαν ζητεῖν καὶ ἔπαινον θηρεύειν παρὰ τῶν διακονουμένων ὑπ' αὐτοῦ, ὁ δὲ τοιοῦτος ἄπιστος παρὰ τοῦ Κυρίου ἀπελέγχεται· «Πῶς γάρ», φησί, «δύνασθε ὑμεῖς πιστεύειν δόξαν παρὰ ἀλλήλων λαμβάνοντες καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητεῖτε»[6]; Ὁ τοιοῦτός ἐστιν ὁ «τὸ ἔξωθεν τοῦ ποτηρίου» πλύνων «καὶ τῆς παροψίδος», τὸ δὲ ἔνδον γέμει «ἁρπαγῆς καὶ» πάσης πλεονεξίας[7]. Ἐπὰν δὲ αὐτὸς ὁ νοῦς καὶ ἡ διάθεσις τῆς ψυχῆς ἐν τῇ μελέτῃ καὶ ἐπιποθήσει τοῦ Θεοῦ ἀεὶ ἀπασχολῆται καὶ τὰς ἐννοίας τῇ μνήμῃ τῶν καλῶν, «ὅσα ἐστὶν ἀληθῆ» καὶ «δίκαια» καὶ «εὔφημα» **264** καὶ «σεμνά»[8] καὶ τῇ ἀγάπῃ τοῦ Θεοῦ πάντοτε κατακοσμῇ

1. Ματθ. 22,38. 2. Παρμ. 2,4-5 3. Πρβλ. Ρωμ. 8,16. 4. Ρωμ. 8,17. 5. Β' Κορ. 10,18. 6. Ἰω. 5,44. 7. Πρβλ. Ματθ. 23,25. 8. Πρβλ. Φιλιπ. 4,8.

(μετὰ δὲ ἀγῶνος πολλοῦ καὶ καμάτου νοὸς τοῦτο γίνεται διὰ τὸ τὸν ἐναντίον ἀεὶ ἐν τοῖς καλοῖς ἐμποδίζειν τὸν νοῦν τοῦ μὴ τῇ τῶν καλῶν μνήμῃ ἐρᾶν τῶν ἄνω, ἀλλὰ διὰ τῶν γηΐνων ἐπιθυμιῶν τὴν προαίρεσιν δελεάζοντα προσεδρεύειν· οὗτος γάρ ἐστι τοῦ πονηροῦ ὁ θάνατος καὶ ἡ ἧττα, ὅταν εἰς ἀγάπην καὶ μνήμην Θεοῦ ἀσχολούμενος ὁ νοῦς εὑρίσκηται), πάντοτε ἐντεῦθεν συστῆναι δύναται καὶ ἡ πρὸς τὸν ἀδελφὸν εἰλικρινὴς ἀγάπη. Ὁμοίως καὶ ἡ ἀληθὴς ἁπλότης καὶ ἡ πραότης καὶ ἡ ταπείνωσις καὶ ἡ ἀκεραιότης καὶ ἡ ἀγαθότης καὶ ἡ εὐχὴ καὶ πᾶσα ἀκολουθία τῶν ἁγίων ἐντολῶν διὰ τῆς μιᾶς καὶ μόνης καὶ πρώτης ἐντολῆς[1], τῆς πρὸς Θεὸν ἀγάπης, ἐξ ἀληθείας τὴν ἀκριβῆ συμπλήρωσιν λαμβάνει.

ΙΘ'. Ἀγῶνος οὖν πολλοῦ καὶ πόνου κρυπτοῦ καὶ ἀοράτου χρεία <καὶ> λογισμῶν ἔρευναν ποιεῖσθαι καὶ τὰ ἠσθενηκότα τῆς ψυχῆς ἡμῶν αἰσθητήρια γυμνάζειν πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ δεῖ πάντοτε, καὶ ἀναζωπυρεῖν διὰ τῆς τοῦ νοῦ πρὸς Θεὸν ἐπείξεως καὶ σπουδῆς τὰ ἐξητονηκότα τῆς ψυχῆς ἡμῶν μέλη, τὸν νοῦν ἀνακαλουμένους πάντοτε, ἵνα γένηται **265** μετὰ τοῦ Κυρίου εἰς «ἓν πνεῦμα»[2], κατὰ τὸ λόγιον Παύλου. Τοῦτον δὲ τὸν κρυπτὸν ἀγῶνα καὶ μελέτην Κυρίου καὶ πόνον νυκτὸς καὶ ἡμέρας πάντας ἡμᾶς ἔχειν χρὴ εἰς πᾶσαν ἐπιτήδευσιν ἐντολῆς, ἤτοι εὐχομένων ἤτοι διακονούντων ἤτοι ἐσθιόντων ἤτοι πινόντων ἢ ὁτιοῦν ποιούντων[3], ἵνα πᾶν ὃ γίνεται ἀγαθὸν ἀρετῆς ἐπιτήδευμα «εἰς δόξαν Θεοῦ»[4] γίνηται καὶ μὴ εἰς δόξαν ἡμετέραν ἐπιτελούμενον εὑρίσκηται. Ἁγιάζεται γὰρ πᾶσα ἡ τῶν ἐντολῶν ἀκολουθία καὶ καθαρῶς ὑφ' ὑμῶν ἐπιτελεῖται διὰ τῆς ἀδιαλείπτου μνήμης τοῦ Κυρίου καὶ φόβου καὶ σπουδῆς καὶ ἀγάπης τῆς πρὸς Θεὸν καὶ οὕτως ἐκτὸς γινόμεθα ἀπὸ τοῦ μιαίνοντος τὴν ἐντολὴν καὶ σπιλοῦντος πονηροῦ. Οὕτως δὲ εὐχερῆ καὶ εὔκολα ἡμῖν πάντα τὰ τῶν ἐντολῶν φανήσεται παραγγέλματα τῆς τοῦ Θεοῦ ἀγάπης ἐξευμαριζούσης τὰς ἐντολὰς καὶ τὸ ἐπίπονον αὐτῶν περὶ τὴν τήρησιν αὐτῆς ἐκλυούσης ὥστε καὶ τῶν ἐντολῶν εὐμάρεια καὶ εὐκολία διὰ τῆς πρὸς Θεὸν ἡμῶν ἀγάπης γενήσεται· ὅλος γὰρ ὁ ἀγὼν καὶ ἡ σπουδὴ τοῦ ἀντικειμένου αὕτη ἐστίν, ὡς προείρηται, ἵνα δυνηθῇ τὸν νοῦν ἀπὸ τῆς πρὸς Θεὸν μνήμης καὶ φόβου καὶ ἀγάπης Κυρίου περισπάσαι, **266** δελεάσμασι γηΐνοις χρώμενος καὶ ἀπὸ ὄντως καλοῦ παρεκτρέπων εἰς τὰ δοκήσει ὄντα καλά. Πᾶν γὰρ ὃ ἂν ποιῇ καλὸν ἄνθρωπος, σπιλοῦν καὶ μιαίνειν ὁ πονηρὸς βούλεται καὶ τὴν ἰδίαν ἐπισπορὰν τῆς κενοδοξίας ἢ οἰήσεως ἢ γογγυσμοῦ ἢ τοιούτων τινῶν τῇ ἐντολῇ συμμίσγειν ἀγωνίζεται, ἵνα μὴ διὰ Θεὸν μόνον καὶ προθυμίαν ἀγαθὴν τὸ γινόμενον ἀγαθὸν καὶ καλὸν γίνηται.

Κ.' Ἵνα δὲ μὴ δόξωμεν ὡς ἀφ' ἑαυτῶν τι λέγειν, ἐκ τῶν ἁγίων Γραφῶν ταῦτα παραστήσωμεν. Γέγραπται γὰρ ὅτι· «Ἄβελ προσήνεγκε

---

1. Πρβλ. Ματθ. 22,38. 2. Πρβλ. Α' Κορ. 6,17. 3. Πρβλ. Α' Κορ. 8,31. 4. Ἔνθ' ἀν.

θυσίαν τῷ Θεῷ ἀπὸ τῶν στεάτων καὶ ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων· καὶ Κάιν ὁμοίως προσήνεγκε δῶρα ἀπὸ τῶν καρπῶν φησι τῆς γῆς, ἀλλ' οὐκ ἀπὸ τῶν πρώτων καρπῶν· Καὶ ἐπεῖδεν ὁ Θεός, φησίν, ἐπὶ τοῖς δώροις τοῦ Ἄβελ, ταῖς δὲ τοῦ Κάιν θυσίαις οὐ προσέσχεν»[1]· ὥστε ἐκ τούτου μανθάνομεν, ὅτι ἔστι τι καλὸν ἐπιτήδευμα ποιῆσαι ἀμελῶς ἢ καταφρονητικῶς ἢ δι' <ἄλλο> τι, καὶ μὴ εἶναι εὐπρόσδεκτον τῷ Θεῷ· καὶ ἔστι ποιῆσαι κατὰ τὸ θέλημα τοῦ Θεοῦ, σπουδαίως καὶ νηφόντως καὶ διὰ Θεὸν μόνον [πιστῶς], καὶ εὐάρεστον εὑρίσκεται, ἔμπροσθεν αὐτοῦ· καὶ γὰρ **267** ὁ πατριάρχης Ἀβραὰμ ἐκ τῶν ἀκροθινίων τῷ ἱερεῖ τοῦ Θεοῦ Μελχισεδὲκ προσήνεγκε καὶ οὕτως τὰς εὐλογίας ἐδέξατο παρ' αὐτοῦ[2]. Τί δὲ διὰ τούτων αἰνίττεται τὸ Πνεῦμα, ὑψηλοτέραν θεωρίαν, ἐμφαῖνον, ἀλλ' ἢ τὸ τὰ ἄκρα καὶ τὰ στέατα, τὰ πρῶτα ὅλου τοῦ συγκρίματος τῆς φύσεως ἡμῶν, τοῦτ' ἔστιν αὐτὸν τὸν νοῦν, αὐτὴν τὴν συνείδησιν, αὐτὴν τὴν διάθεσιν, αὐτὸν τὸν ὀρθὸν ἡμῶν λογισμόν, αὐτὴν τὴν ἀγαπητικὴν ἡμῶν δύναμιν τῆς ψυχῆς, τὴν ἀπαρχὴν τοῦ ὅλου ἡμῶν ἀνθρώπου τῷ Θεῷ πρότερον προσκομίζειν δεῖν πάντοτε [πάντως] τὴν τῆς καρδίας θυσίαν ἱεράν, τὰ ἀκροθίνια καὶ τὰ πρῶτα τῶν ὀρθῶν λογισμῶν, εἰς τὴν αὐτοῦ μνήμην καὶ μελέτην καὶ ἀγάπην διὰ παντὸς ἀπασχολοῦντας. Καὶ οὕτω δυνησόμεθα εἰς ἔρωτα θεῖον ὁσημέραι τὴν αὔξησιν καὶ προκοπὴν λαμβάνειν βοηθούμενοι ὑπὸ τῆς θείας τοῦ Χριστοῦ δυνάμεως, καὶ τὸ φορτίον τῆς δικαιοσύνης τῶν ἐντολῶν ἐλαφρὸν ἡμῖν καταφανήσεται καθαρῶς καὶ ἀμώμως ταύτας ἐπιτελοῦσι συνεργοῦντος ἡμῖν αὐτοῦ τοῦ Κυρίου διὰ τὴν πρὸς αὐτὸν ἡμῶν διὰ πίστεως καὶ ἀγάπης ζέουσαν ὁρμὴν καὶ πασῶν τῶν ἐντολῶν αὐτοῦ ἀγαθὴν ἐπιπόθησιν.

268 ΚΑ'. Περὶ δὲ τῆς φαινομένης ἀσκήσεως καὶ ποῖον ἀγαθὸν ἐπιτήδευμα πρῶτον καὶ μεῖζον τυγχάνει, τοῦτο γινώσκετε, ἀγαπητοί, ὅτι ἀλλήλων πᾶσαι αἱ ἀρεταὶ ἐκδέδενται καὶ ἀλλήλων ἐκκρέμανται· ὥσπερ <γὰρ> ἱερά τις καὶ πνευματικὴ ἅλυσις μία ἀπὸ τῆς μιᾶς ἀπήρτηνται· <ἡ εὐχὴ ἀπὸ τῆς ἀγάπης>, ἡ ἀγάπη ἀπὸ τῆς χαρᾶς, ἡ χαρὰ ἀπὸ τῆς πραότητος, ἡ πραότης ἀπὸ τῆς ταπεινώσεως, ἡ ταπείνωσις ἀπὸ τῆς διακονίας, ἡ διακονία ἀπὸ τῆς <δικαιοσύνης, ἡ δικαιοσύνη ἀπὸ τῆς> ἐλπίδος, ἡ ἐλπὶς ἀπὸ τῆς πίστεως, ἡ πίστις ἀπὸ τῆς ὑπακοῆς, ἡ ὑπακοὴ ἀπὸ τῆς ἁπλότητος· ὥσπερ καὶ τὸ ἐναντίον μέρος ἓν ἀφ' ἑνὸς τὰ κακὰ ἐκδέδενται· τὸ μῖσος ἀπὸ τοῦ θυμοῦ, ὁ θυμὸς ἀπὸ τῆς ὑπερηφανίας, ἡ ὑπερηφανία ἀπὸ τῆς κενοδοξίας, ἡ κενοδοξία ἀπὸ τῆς ἀπιστίας, ἡ ἀπιστία ἀπὸ τῆς <σκληροκαρδίας, ἡ σκληροκαρδία ἀπὸ τῆς> ἀμελείας, ἡ ἀμέλεια ἀπὸ τῆς χαυνώσεως, ἡ χαύνωσις ἀπὸ τῆς ὀλιγωρίας, ἡ ὀλιγωρία ἀπὸ τῆς ἀκηδίας, ἡ ἀκηδία ἀπὸ τῆς ἀνυπομονησίας, ἡ ἀνυπομονησία ἀπὸ τῆς φιληδονίας, καὶ τὰ λοιπὰ τῆς κακίας μέλη εἰσὶν ἀλλήλων ἐκκρεμάμενα· οὕτως καὶ ἐν τῷ ἀγαθῷ μέρει ἀλλήλων εἰσὶν αἱ ἀρεταὶ

1. Γεν. 4,4-5. 2. Πρβλ. Γεν. 14,19. 20. Ἑβρ. 7,12.

ἀπηρτημέναι. Κεφάλαιον δὲ πάσης ἀγαθῆς σπουδῆς καὶ κορυφαῖον τῶν κατορθω**269**μάτων ἐστὶν ἡ τῆς προσευχῆς προσκαρτέρησις, δι' ἧς καὶ τὰς λοιπὰς ἀρετὰς διὰ τῆς παρὰ Θεοῦ αἰτήσεως ὁσημέραι προσκτᾶσθαι δυνάμεθα, ἐπειδὴ πρὸς μόνον Θεὸν ἀγαθότης καὶ κοινωνία τις μυστικὴ πνευματικῆς ἐνεργείας καὶ συνάφεια τῆς διαθέσεως καὶ αὐτοῦ τοῦ νοῦ ἐν ἀγάπῃ ἀρρήτῳ πρὸς Κύριον ἐν εὐχῇ διὰ θείας ἐπισκέψεως τοῖς καταξιουμένοις γίνεται καὶ εἰς οὐράνιον ἔρωτα καὶ πόθον ἔκπυρον ὑπὸ τῆς πνευματικῆς ἀγάπης πρὸς Θεὸν ἕλκεται ὁσημέραι ὁ ἑαυτὸν ταῖς προσευχαῖς προσκαρτερεῖν[1] ἀναγκάζων, καθὼς εἴρηται· «Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου»[2]· καὶ ὁ Κύριος· «Ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστι»[3]. Τὸ δὲ ἐντὸς εἶναι τὴν βασιλείαν τί ἄλλο σημαίνει ἢ τὴν τοῦ Πνεύματος οὐράνιον εὐφροσύνην <τὴν> ταῖς ἀξίαις ψυχαῖς ἐνεργῶς γινομένην, ἥνπερ ἀπόλαυσιν καὶ χαρὰν καὶ εὐφροσύνην πνευματικὴν ἐν φωτὶ αἰωνίῳ οἱ ἅγιοι ἐν τῇ βασιλείᾳ μέλλουσιν ἔχειν; Ταύτης τὸν ἀρραβῶνα καὶ τὴν ἀπαρχὴν ἐντεῦθεν ἤδη αἱ ἄξιαι καὶ πισταὶ ψυχαὶ διὰ τῆς τοῦ Πνεύματος ἐνεργοῦς κοινωνίας κεκτῆσθαι καταξιοῦσθαι. «Ὁ παρακαλῶν γάρ», φησίν, «ἡμᾶς ἐν πάσῃ τῇ θλίψει ἡμῶν εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει διὰ τῆς παρακλήσεως ἧς παρακαλούμεθα καὶ αὐτοὶ ὑπὸ τοῦ Θεοῦ»[4]. Ἀλλὰ καὶ τό· «Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα»[5]· καί· «Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου»[6] καὶ τὰ τούτοις ὅμοια, τὴν τοῦ Πνεύματος ἐνεργῆ εὐφροσύνην καὶ παράκλησιν διὰ τούτων αἰνίττεται· τὰ δὲ ἀκόλουθα πασῶν τῶν ἐντολῶν **270** παραγγέλματα ὥσπερ μέλη τῆς κεφαλῆς τυγχάνει, ἅπερ οἱ ἑαυτοὺς ἀποδόντες τῷ Θεῷ κατὰ δύναμιν ἐπιτελεῖν ὀφείλουσι.

ΚΒ'. Προκειμένου τοίνυν τοῦ τῆς εὐσεβείας σκοποῦ πᾶσιν ἑνός, ὅνπερ διὰ πλειόνων προείπομεν ἀπὸ Γραφικῶν μαρτυριῶν παραστήσαντες, τοῦ καταξιωθῆναι διὰ τῆς πίστεως καὶ πολλῆς ἐν πάσαις ἀρεταῖς σπουδῆς πληρώσεως Ἁγίου Πνεύματος καὶ παντελῆ τῶν παθῶν ἀπαλλαγὴν κτήσασθαι, ὅ ἐστιν ὁ τῆς καρδίας καθαρισμὸς διὰ τοῦ ἁγιαστικοῦ Πνεύματος ταῖς πισταῖς καὶ εὐλαβέσι ψυχαῖς ἐγγινόμενος· ἕκαστος οὖν ἑαυτὸν ἐκδότω εἰς τὸ ἀγαθόν, ὅσον καὶ ὁ πρὸς τὸν Θεὸν ἔρως τῆς ψυχῆς ἐπεκτείνεται· καὶ λοιπὸν εἴ τις βούλεται ἀδιαλείπτως ταῖς προσευχαῖς προσκαρτερεῖν καὶ ταῖς νηστείαις σχολάζειν κατὰ τὸ λόγιον Παύλου· «Ἀδιαλείπτως προσεύχεσθε»[7] καί· «Τῇ εὐχῇ προσκαρτερεῖτε»[8] καὶ τὸ ὑπὸ τοῦ Κυρίου δὲ εἰρημένον· Πόσῳ μᾶλλον «ποιήσει ἐκδίκησιν» ὁ Θεὸς« «τῶν βοώντων πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας»[9]. «Ἔλεγε δέ φησι καὶ παραβολὴν πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι καὶ μὴ ἐκκακεῖν»[10]. Τῶν δὲ ἐπουρανίων ὅπλων τὴν ἔνδυσιν, ὡς προεί-

---

1. Πρβλ. Κολ. 4,2. 2. Ψαλ. 4,8. 3. Λουκ. 17,21. 4. Β' Κορ. 1,4. 5. Ψαλ. 83,3. 6. Ψαλ. 62,5. 7. Α' Θεσ. 5,17. 8. Πρβλ. Κολ. 4,2. 9. Πρβλ. Λουκ. 18,7. 10. Λουκ. 18,1.

ρηται, δι' ὁποίου τρόπου καταξιωθήσονται, οἱ ἐπιθυμοῦντες καὶ πιστεύοντες τυχεῖν, ὁ ἀπόστολος ἀκριβῶς ἐσήμανεν εἰπών· «Διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι ἐν παντὶ καιρῷ ἐν πνεύματι καὶ εἰς αὐτὸ ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει»[1].

ΚΓ'. Εἴ τις τοίνυν τῶν ἀδελφῶν τὸν διὰ πίστεως καὶ προσευχῆς
271 καὶ μετανοίας ἀγῶνα ἀναδέξασθαι ἐπιποθεῖ ἐρῶν τῶν ἐπουρανίων ἀγαθῶν, ἀποδεκτέος καὶ πάνυ ἐπαινετὸς οὗτος καὶ ἀνθρώποις καὶ Θεῷ· διὸ ἐάσθω καὶ βοηθείσθω ὑπὸ τῆς ἀδελφότητος τῶν συμμέλων ἀδελφῶν μετὰ χαρᾶς ὁ τοιοῦτος τῇ εὐχῇ προσκαρτερεῖν[2], ἵνα καὶ αὐτοὶ τὸν μισθὸν διὰ τὴν πρὸς τὸν ἀδελφὸν σύμπνευσιν καὶ συνεργίαν ἀγαθὴν ἀπὸ Θεοῦ ἔχωσι· μόνον ἵνα μετὰ πάσης νήψεως τὴν κατὰ συνείδησιν ἔρευναν ποιῆ<ται> καὶ ἀδιάλειπτον μέριμναν καὶ ἄπαυστον ἀγῶνα ὁ εὐχόμενος ἔχῃ, πάντοτε ἐναντιούμενος πάσῃ τῇ τῆς κακίας τῶν πολλῶν καὶ περισσῶν λογισμῶν ὕλῃ καὶ πρὸς τὸν Κύριον πάντοτε τὸν νοῦν ἐκβιαζόμενος ἐν ἐπιποθήσει καὶ παρ' αὐτοῦ τὴν ἀντίληψιν τῆς χάριτος ἐκδεχόμενος, ἵν' οὕτως οἱ καρποὶ τῆς παραμονῆς καὶ προσκαρτερήσεως εἰς οἰκοδομὴν ὁσημέραι πᾶσι φανεροὶ γίνωνται. Ὁ γὰρ ἔχων ἀγάπης τρῶσίν τινα καὶ ἔρωτα θεῖον ἐν τῇ προσευχῇ ἢ κἂν μηδέπω ἔχῃ, βιάζηται δὲ καὶ ἀγωνίζηται καὶ τὴν προαίρεσιν ἀναγκάζῃ, εἰς τὸν τοιοῦτον κάματον ἔκδοτον διδοὺς ἑαυτὸν καὶ παρὰ τοῦ Θεοῦ τὸν οὐράνιον ἔρωτα καὶ τὴν ἀληθινὴν καὶ πνευματικὴν εὐχὴν ἐπιζητῶν κτήσασθαι κατὰ τὸ εἰρημένον· Ὁ «διδοὺς εὐχὴν τῷ εὐχομένῳ»[3]· μετὰ χαρᾶς ὑπὸ τῶν ἀδελφῶν ἐάσθω καὶ ὡς βοηθοὶ αὐτῷ μᾶλλον συνεργείτωσαν καὶ προτρεπέσθωσαν, ἴδιον κέρδος ἡγούμενοι τὴν ἐπὶ τὰ κρείττονα τοῦ ἀδελφοῦ 272
προκοπήν, καὶ μηδὲν κατ' ἐρίθειαν ἢ ζῆλον ποιείτωσαν ὑπὸ τῆς κακίας ὑποφερόμενοι μηδὲ ἐμποδιζέτωσαν καὶ ἐγκοπτέτωσαν τὴν ἀγαθὴν αὐτοῦ πρὸς Θεὸν ὁρμὴν καὶ τοῦ ἀγῶνος τῆς καλῆς σπουδῆς τὴν ἀρχήν, ἵνα ὁ Θεὸς ὁρῶν τὸν πρὸς ἀλλήλους τῆς ἀγάπης παροξυσμὸν[4] ἀνταποδώσει πᾶσι τὰ αἰτήματα, πληροφορῶν ἕκαστον διὰ τὴν εὐθεῖαν καὶ ἀγαθὴν πρὸς ἀλλήλους προαίρεσιν.

ΚΔ'. Ταῦτα δὲ σπουδαίως ποιεῖν ἐν πολλῇ διακρίσει μάλιστα οἱ προεστῶτες τῶν ἀδελφῶν ὀφείλετε καὶ ἑαυτοὺς καὶ τοὺς σὺν ὑμῖν ἀδελφοὺς τοιούτῳ φρονήματι καταρτίζειν, ἵνα μηδεὶς ἐγκοπὴν λαμβάνῃ εἰς ὃν προαιρεῖται ἀγωνίζεσθαι ἀγῶνα. Ὥσπερ οὖν κεφαλαιωδέστερον ὁ τῇ εὐχῇ προσκαρτερῶν ἐπεβάλετο ἔργον, οὕτως καὶ ἀγῶνα περισσὸν καὶ πόνον πολὺν καὶ σπουδὴν ἀδιάλειπτον ἀναλαβεῖν ὀφείλει διὰ τὸ πολλὰ ἐν τῇ προσκαρτερήσει τῆς εὐχῆς[5] εἶναι τῆς κακίας ἐμπόδια· ὕπνον, ἀκηδίαν, βάρησιν σώματος, λογισμῶν ῥεμβασμόν, νοὸς ἀκαταστασίαν, ὀλιγωρίαν, ἀνυπομονησίαν, ἔκλυσιν καὶ τὰ λοιπὰ τῆς κακίας ἐνεργήματα· εἶτα θλῖψις καὶ ἐπανάστασις αὐτῶν τῶν πονηρῶν

1. Ἐφ. 6,18. 2. Πρβ. Κολ. 4,2. 3. Α' Βασ. 2,9. 4. Πρβλ. Ἑβρ. 10,24. 5. Πρβλ. Κολ. 4,2.

πνευμάτων πολεμούντων καὶ ἀνταγωνιζομένων μέχρις αἵματος τῇ κατ' ἀλήθειαν τὸν Θεὸν ἀδιαλείπτως ἐπιζητούσῃ ψυχῇ κωλυόντων αὐτὴν **273** προσεγγίζειν Θεῷ. Πάσῃ οὖν νήψει καὶ πάσῃ σπουδῇ καὶ παντὶ ἀγῶνι σωματικῷ καὶ ψυχικῷ καὶ πάσῃ ὑπομονῇ ὁ τῇ εὐχῇ προσκαρτερῶν ἀνδρίζεσθαι ὀφείλει· καὶ ὡς τὸν σταυρὸν ὄντως βαστάζων ἐν ἀγῶνι καὶ πόνῳ πολλῷ καὶ πένθει καὶ θλίψει διὰ τὴν βασιλείαν ἀδιαλείπτως ἤτω· μὴ κεχαυνωμένος καὶ συνεπιδιδοὺς ἑαυτὸν τῷ τῆς κακίας τῶν λογισμῶν ῥεμβασμῷ ἢ συγχύσει ὕπνου ἢ ἀκηδίᾳ ἢ ἐκλύσει, ταραχώδεσι καὶ ἀπρεπέσι φωναῖς χρώμενος ἤ τισι τοιούτοις παραδιδοὺς τὴν διάνοιαν καὶ ἀδιακρισίας αἰτίᾳ ἐμπληροφούμενος τῇ σωματικῇ γονυκλισίᾳ, τοῦ νοὸς ἐν συγχύσει ἢ ῥεμβασμῷ καθεστῶτος. Δύναται γάρ τις ἐὰν μὴ ἄκρως νήφειν παρασκευάζηται [καὶ] μηδὲ πάντοτε τὴν ἔρευναν καὶ προσοχὴν τοῦ νοῦ ποιῆται, ἐπιποθῶν ἀεὶ τὸ Κύριον, ὑπὸ τῆς κακίας ποικίλως κατὰ τὸ κρυπτὸν ὑποσκελιζόμενος ἐπαίρεσθαι ἢ τυφοῦσθαι κατὰ τῶν λοιπῶν τῶν μηδέπω οὕτως δυναμένων τῇ εὐχῇ προσκαρτερεῖν[1]. Καὶ οὕτως διὰ τῶν τοιούτων τῆς κακίας πανουργημάτων τὴν καλὴν ἀπόλλυσιν ἐργασίαν, καταπροδιδοὺς ταύτην τῷ πονηρῷ δαίμονι. Ἀλλ' ὥσπερ μείζονα τῆς εὐχῆς ἔργα ἀνεδέξατο, οὕτως καὶ πόνον καὶ μέριμναν καὶ ἀγῶνα μείζονα τῶν λοιπῶν ὀφείλει κεκτῆσθαι, μή πως κλοπήν τινα παρὰ τῆς κακίας πάθῃ. Τοῖς γὰρ μεῖζόν τι ποιεῖν ἐπιβαλλομένοις ἀγαθὸν ἐπιτήδευμα μειζόνως ὁ πονηρὸς ἀνταγωνίζεται ὑποσκελίζειν βουλόμενος.

274 ΚΕ΄. Ἀλλ' ἵνα καρπὸν ἀγάπης καὶ ταπεινοφροσύνης καὶ ἁπλότητος καὶ ἀγαθότητος καὶ διακρίσεως ὁσημέραι διὰ τῆς προσκαρτερήσεως τῆς εὐχῆς ἐκφύσωμεν ἐν πᾶσι καὶ φανεροὶ ὦμεν τὴν ἐπὶ τὰ κρείττω προκοπὴν λαμβάνοντες, ἀγωνισώμεθα ἵνα καὶ τοὺς διὰ τὴν νηπιότητα τῇ εὐχῇ προσκαρτερεῖν μηδέπω δυναμένους, τῶν ἀγαθῶν καρπῶν ἡμῶν φανερῶν αὐτοῖς ὄντων, ἐρεθίσωμεν καὶ εἰς ἐπιθυμίαν ἐνέγκωμεν προθύμως καὶ σπουδαίως ἐπὶ τὸν ἀγῶνα τοῦτον ἑαυτοὺς ἐπιδοῦναι. Ἐὰν γὰρ μὴ ἡ ταπεινοφροσύνη καὶ ἡ ἀγάπη καὶ ἡ ἁπλότης καὶ ἡ ἀγαθότης τὴν εὐχὴν ἡμῶν κατακοσμήσῃ, ἡ εὐχή, μᾶλλον δὲ τὸ σχῆμα τῆς εὐχῆς, οὐδὲν ἡμᾶς ὠφελήσει. Οὐ μόνον δὲ περὶ τῆς εὐχῆς τοῦτο λέγομεν ἀλλὰ περὶ τοῦ παντὸς καμάτου καὶ πόνου παρθενίας καὶ εὐχῆς καὶ νηστείας καὶ ἀγρυπνίας καὶ ψαλμῳδίας ἢ διακονίας ἢ οἱουδήποτε καμάτου καὶ ἐργασίας ἀρετῆς ἕνεκεν ὑφ' ἡμῶν ἐπιτελουμένης· ἐὰν μὴ τοὺς καρποὺς τῆς ἀγάπης καὶ εἰρήνης καὶ χαρᾶς καὶ πραότητος καὶ ταπεινώσεως ἁπλότητός τε καὶ ἀφελότητος καὶ πίστεως καὶ μακροθυμίας καὶ ἀφθονίας, ἐν ἑαυτοῖς εὑρίσκωμεν καὶ πᾶσι τοιούτους καρποὺς προσφέρωμεν, εἰκῇ καὶ μάτην οἱ πόνοι καὶ οἱ κάματοι ἡμῶν γεγόνασι. Πᾶσα γὰρ ἐκείνη ἡ ἐργασία καὶ οἱ κάματοι διὰ τοὺς καρποὺς τούτους γίνεσθαι ὀφείλουσιν· τῶν δὲν καρπῶν τῆς ἀγάπης καὶ εἰρήνης μὴ **275** εὑρισκο-

1. Πρβλ. Κολ. 4,2.

μένων ἐν ἡμῖν εἰκῇ καὶ μάτην ὅλη ἡ ἐργασία γεγένηται. Οἱ γὰρ τοιοῦτοι κατὰ τὰς πέντε μωρὰς παρθένους[1] ἐν ἡμέρᾳ κρίσεως ἀποδείκνυνται, αἵτινες διὰ τὸ μὴ ἐντεῦθεν ἐπικομίσασθαι ἐν τοῖς τῆς καρδίας ἀγγείοις τὸ πνευματικὸν ἔλαιον, ὅπερ ἐστὶν ἡ τῶν προειρημένων ἀρετῶν διὰ τοῦ Πνεύματος ἐνέργεια, μωραὶ ὀνομασθεῖσαι τοῦ πνευματικοῦ τῆς βασιλείας νυμφῶνος ἀπεκλείσθησαν καὶ ὁ τῆς παρθενίας κάματος διὰ τὴν τῶν ἀρετῶν ἔλλειψιν καὶ ὑστέρησιν τῆς ἐνεργοῦς ἐνοικήσεως τοῦ Πνεύματος εἰς οὐδὲν ἐλογίσθη.

ΚϚʹ. Ὥσπερ γὰρ ἐν τῇ γεωργίᾳ τῆς ἀμπέλου πᾶσα ἐπιμέλεια καὶ κάματος διὰ τὴν τῶν καρπῶν ἀπόλαυσιν γίνεται, καρπῶν δὲ μὴ εὑρισκομένων ἐν τῇ ἀμπέλῳ εἰκῇ καὶ μάτην πᾶσα ἡ ἐμπόνησις τῆς ἐργασίας γεγένηται, οὕτως ἐὰν μὴ διὰ τῆς ἐνεργείας τοῦ Πνεύματος καρποὺς ἀγάπης καὶ εἰρήνης καὶ χαρᾶς καὶ ταπεινώσεως μακροθυμίας τε καὶ πίστεως καὶ τῶν λοιπῶν, ὅσα ὁ ἀπόστολος διηγόρευσεν, ἐν πάσῃ πληροφορίᾳ καὶ αἰσθήσει πνευματικῇ ἐν ἑαυτοῖς ἐπιγνῶμεν, εἰκῇ ὁ τῆς παρθενίας κάματος καὶ εὐχῆς καὶ ψαλμῳδίας νηστείας τε καὶ ἀγρυπνίας, ὁ πόνος μάταιος ἀποδείκνυται· οὗτοι γὰρ οἱ κάματοι καὶ πόνοι ψυχῆς καὶ σώματος ἐπ' ἐλπίδι πνευματικῶν καρπῶν ἐπιτελεῖσθαι ὀφείλουσιν. Ἡ δὲ τοῦ πνεύματος ἐν ταῖς ἀρεταῖς καρποφορία ἀπόλαυσίς ἐστι πνευματικὴ ἐν ἡδονῇ ἀφθάρτῳ ἐν καρδίαις πισταῖς καὶ ταπειναῖς ὑπὸ τοῦ Πνεύματος ἐνεργουμένη. Ἐν πολλῇ γὰρ συνέσει διακρίσεως αἱ ἐργασίαι καὶ οἱ πόνοι καὶ κάματοι τῆς ἀνθρωπίνης φύσεως ἡγείσθωσαν **276** καὶ οἱ καρποὶ καρποὶ λογιζέσθωσαν διὰ πίστεως καὶ ἐλπίδος ὑπὸ τοῦ Ἁγίου Πνεύματος <ἐν> τοῖς ἀξίοις ἐνεργούμενοι. Ἐὰν γάρ τις διὰ γνώσεως, ἔλλειψιν ἰδίαν ἐργασίαν καὶ κάματον τοὺς καρποὺς τοῦ Πνεύματος εἶναι νομίσῃ, πολλὴν οἴησιν ματαιότητος κέκτηται καὶ ἀπὸ μεγάλων ἀγαθῶν πνευματικῶν ἐκπίπτει μὴ διὰ Πνεύματος ἐνεργείας ἐν πάσαις ταῖς προειρημέναις ἀρεταῖς κατευθυνθῆναι ἐλπίσας.

ΚΖʹ. Ὁ γὰρ ὁλοτελῶς ἑαυτὸν τῷ Θεῷ ἀφιερῶν πάντοτε κατὰ τὴν ἐξ ἰδίας δυνάμεως σπουδὴν καὶ τὸν πόνον ἐν μηδενὶ ἐλλείπων, παρ' αὐτοῦ δὲ τὴν λύτρωσιν τῶν παθῶν διὰ τῆς ἀντιλήψεως τῆς χάριτος ἐκδεχόμενος, εἰς αὐτὴν τὴν ἀκρότητα ἀρετῆς καὶ καθαρότητος καταντῆσαι καταξιοῦται. Ὥσπερ γὰρ ὁ ἐν τῷ βίῳ ἡδυπαθῶς διαιτώμενος καὶ τῇ ἁμαρτίᾳ ἑαυτὸν ὁλοτελῶς ἐκδεδωκὼς τὰ παρὰ φύσιν πάθη τῆς ἀτιμίας [ἐν ἡδονῇ πολλῇ ἐπιτελεῖ], ἀσωτίαν καὶ πορνείαν, μέθην καὶ πλεονεξίαν, φθόνον καὶ δόλον καὶ ἀσέλγειαν, ἔριν καὶ μῖσος, φιλαργυρίαν καὶ τὰ λοιπὰ τῆς κακίας ἐνεργήματα, ἐν ἀπολαύσει καὶ ἡδονῇ ὡς φυσικὰ ἐργάζεται, οὕτως καὶ ὁ τέλειος **277** Χριστιανὸς πάσας τὰς ἀρετὰς καὶ πάντας τοὺς καρποὺς τοῦ Πνεύματος[2] τοὺς ὑπὲρ τὴν φύσιν, τὴν ἀγάπην καὶ εἰρήνην, τὴν μακροθυμίαν καὶ ἀγαθότητα, τὴν πραότητα καὶ ὑπομονήν, τὴν πίστιν καὶ ταπεινοφροσύνην καὶ τὰ λοιπὰ[3] τῆς ἀρετῆς ἔργα, ἐν

---

1. Πρβλ. Ματθ. 25,2. 2. Πρβλ. Γαλ. 5,22. 3. Πρβλ. Ἔνθ' ἀν.

ἀπολαύσει πολλῇ καὶ ἡδονῇ πνευματικῇ ἐπιτελεῖ ὡς φυσικὰ ἀκαμάτως λοιπὸν καὶ εὐχερῶς καὶ μηκέτι πρὸς τὰ πάθη τῆς κακίας πολεμῶν, ἅτε δὴ λελυτρωμένος ὑπὸ Κυρίου τελείως καὶ ἐνεργούμενος ἐν ταῖς ἀρεταῖς ἐν ἀγαλλιάσει καὶ εὐφροσύνῃ ὑπὸ τοῦ Ἁγίου καὶ προσκυνητοῦ Πνεύματος τὴν τελείαν τοῦ Χριστοῦ εἰρήνην βραβεύουσαν ἐν τῇ καρδίᾳ[1] κεκτημένος. Οὗτός ἐστιν ὁ κολληθεὶς «τῷ Κυρίῳ» καὶ γενόμενος εἰς «ἓν πνεῦμα»[2]. Διὰ γὰρ Πνεύματος ἐνεργείας καὶ ἁγιότητος ἀρετῶν πάθη μιαρὰ καὶ ἐνέργεια κακίας κατασβεσθῆναι δύναται. Οὐ μόνον δὲ τὴν τοιαύτην τῶν ἀρετῶν ἐργασίαν ἐν πολλῇ ἀπολαύσει ὁ τοιοῦτος διὰ τὴν ἐνεργῆ ἐνοίκησιν τοῦ Ἁγίου Πνεύματος ἀκαμάτως λοιπὸν ἐπιτελεῖ, ἀλλὰ τὸ δυσχερέστερον, ὅπερ ἐστὶ τὰ παθήματα τοῦ Χριστοῦ, εὐχερῶς καὶ εὐκόλως ἀναλαμβάνει, δυναμούμενος ὑπὸ τοῦ Πνεύματος καὶ ἐν πολλῇ ἐπιθυμίᾳ τὸ συμπαθεῖν τῷ Χριστῷ δεχόμενος· καὶ ὥσπερ οἱ λοιποὶ ἐν βίῳ ἄνθρωποι κατὰ σάρκα ζῶντες τὸ τιμηθῆναι καὶ δοξασθῆναι, τὸ προσκυνηθῆναι καὶ τὸ πλουτῆσαι καὶ τρυφῆσαι καὶ ἄρξαι καὶ τὰς λοιπὰς τοῦ βίου τούτου **278** ἀπολαύσεις ἐν ἡδονῇ πολλῇ καὶ εὐφροσύνῃ δι' ἐπιθυμίας ἔχουσιν, οὕτως οἱ εἰς τὰ προειρημένα τοῦ χριστιανισμοῦ <ἐνεργή>ματα φθάσαι καταξιωθέντες τὸ γυμνητεῦσαι καὶ λιμῶξαι καὶ πᾶσαν κακοπάθειαν ὑπομεῖναι διὰ τοῦ Κυρίου, τὸ μισηθῆναι καὶ ἀτιμασθῆναι καὶ λοιδωρηθῆναι, τὸ μαστιχθῆναι καὶ ὥσπερ κάθαρμα τοῦ κόσμου τούτου γενέσθαι, τὸ δὲ ὅλον καὶ σταυρωθῆναι καὶ πάσῃ τιμωρίᾳ ὑποβληθῆναι ἐν ἡδονῇ καὶ ἀπολαύσει πνευματικῇ μετὰ χαρᾶς καὶ εὐφροσύνης διὰ τὴν μακαρίαν τῆς ἀναστάσεως ἐλπίδα[3] ἀκαμάτως καταδέχονται, μᾶλλον δὲ διὰ πολλῆς ἐπιθυμίας ἔχουσι. Χριστιανῶν γὰρ ἡ δόξα καὶ ὁ πλοῦτος καὶ ἡ τρυφὴ καὶ ὁ θησαυρὸς καὶ ἡ καύχησις τὰ παθήματα τοῦ Χριστοῦ τυγχάνει κατὰ τὸ ἀποστολικὸν λόγιον· «Οὐ μόνον δὲ ἀλλὰ καὶ» καυχώμενοι «ἐν ταῖς θλίψεσι»[4] καὶ τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον· «Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσιν ὑμᾶς οἱ ἄνθρωποι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς»[5]. Καὶ πάλιν ὁ μακάριος Παῦλος ὅσην ἡδονὴν ἐν τοῖς ὑπὲρ Χριστοῦ παθήμασιν εἶχε βοᾷ λέγων· «Ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ· διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς· ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι»[6]. Καὶ πάλιν· «Ὡς θεοῦ διάκονοι ἐν ὑπομονῇ πολλῇ»[7]· ἡ γὰρ τοῦ Ἁγίου Πνεύματος εἰς αὐτοὺς πληρεστάτη ἐνοίκησις καὶ ἄφθαρτος ἐνεργὴς παράκλησις, τὰ παθήματα τοῦ Χριστοῦ ἐν ἡδυτάτῃ πληροφορίᾳ καὶ ἀπολαύσει πολλῇ καταδέχεσθαι παρασκευάσει διὰ τὴν μέλλουσαν τῆς ἀναστάσεως ἐλπίδα **279** ἀθάνατον· καὶ πάθη Χριστοῦ εὐχερῶς καὶ εὐκόλως

---

1. Πρβλ. Κολ. 3,15. 2. Πρβλ. Α' Κορ. 6,17. 3. Πρβλ. Α' Θεσ. 4,13. 4. Ρωμ. 5,3. 5. Ματθ. 5,11-12. 6. Β' Κορ. 12,9-10. 7. Β' Κορ. 6,4.

ἀναλαβεῖν ἐστιν. Ἅπερ οἱ μηδέπω δι' ἐνεργείας Πνεύματος ἀναλαβεῖν καταξιωθέντες δι' ἰδίας σπουδῆς καὶ ἐπιθυμίας ἐλπίδι καὶ πίστει ἐν ταῖς ἐντολαῖς καὶ ἐν τοῖς παθήμασι τοῦ Κυρίου ἀδιαλείπτως ἐμμελετάτωσαν καὶ τῇ ἐργασίᾳ, ὡς ἡ δύναμις, ἑαυτοὺς βιαζόμενοι ἐγγυμναζέσθωσαν, ἐλπίζοντες διὰ τοῦ Πνεύματος τελείως ἐν αὐτοῖς κατευθυνθῆναι, ἵνα κατὰ τὴν ἐργασίαν τῆς ἐλπίδος ἐπιθυμίαν τε καὶ μελέτην τοῦ νοὸς ἐνεργῆσαν τὸ Πνεῦμα ἐν δυνάμει μεθ' ἡδονῆς ἀναλάβωμεν καὶ τὴν τῶν εὐαγγελικῶν ἐντολῶν ἐργασίαν καὶ τῶν παθημάτων τοῦ Χριστοῦ μετὰ χαρᾶς ὑπομονήν, καὶ οὕτως τέλειοι Χριστιανοὶ διὰ τῆς ἐνεργοῦ ἐνοικήσεώς τε καὶ κοινωνίας τοῦ Πνεύματος γενέσθαι καταξιωθέντες τῆς αἰωνίου ζωῆς[1] κληρονόμοι γενώμεθα.

ΚΗ'. Οὕτως οὖν ἀγωνίζεσθε καὶ οὕτως ἀνδρίζεσθε καὶ οὕτως ἑαυτοὺς εἰς πᾶν ἔργον ἀγαθὸν παρασκευάζετε ὁμοῦ πάντες, μάλιστα δὲ οἱ ταῖς εὐχαῖς προσκαρτερεῖν ἑαυτοὺς ἀναγκάζοντες, ὡς τηλικούτων ἀγαθῶν σκοπὸν ἔχοντες, ἵνα καὶ ἑαυτῶν καὶ τῶν πλησίον οἰκοδομὴ καὶ ὠφέλεια γένησθε καὶ μὴ βλάβην ἑαυτοῖς καὶ τοῖς ἄλλοις διὰ τῆς ἀμελείας καὶ ἀπροσεξίας ἐμποιήσητε. Οἱ δὲ μήπω δυνάμενοι ἄκρως ἐπὶ τὸ τῆς εὐχῆς ἔργον διὰ νηπιότητα ἑαυτοὺς ἀποδοῦναι τῇ διακονίᾳ ἢ ὑπηρεσίᾳ ἢ ἔργῳ ἢ τῇ λοιπῇ ἀναπαύσει τῶν ἀδελφῶν, μετὰ πίστεως καὶ εὐλαβείας καὶ φόβου Θεοῦ **280** ἑαυτοὺς εὐτρεπίζετε, ὡς Θεοῦ ἐντολὴν ἐπιτελοῦντες καὶ ὡς πνευματικὸν ἔργον κατεργαζόμενοι· καὶ οὐχ ὡς παρὰ ἀνθρώπων τὸν μισθὸν ἐκδεχόμενοι οὐδὲ τιμὴν ἢ εὐχαριστίαν παρ' αὐτῶν ἀναμένοντες, ἀλλ' ὡς ἔργῳ Θεοῦ νηφόντως προσέχετε καὶ ὡς δοῦλοι Χριστοῦ μετὰ χαρᾶς διακονεῖτε, μὴ διδόντες χώραν ὅλως τῇ κακίᾳ δι' ἀνθρωπαρεσκείας[2] ἢ γογγυσμοῦ ἢ ὑψηλοφροσύνης ἢ χαυνότητος ἢ ἀμελείας ἢ καταφρονήσεως τὸ ἀγαθὸν ἔργον ὑμῶν σπιλοῦν καὶ τῷ ἰδίῳ τῆς δολιότητος ἰῷ καταρρυποῦν καὶ μολύνειν, ἀλλ' ἵνα διὰ τῆς εὐλαβείας καὶ φόβου καὶ ἀγάπης τῆς πρὸς τὸν Θεὸν τὸ καλὸν ἐπιτήδευμα ὑμῶν ἁγιάζηται καὶ εὐπρόσδεκτον ἐπὶ Θεῷ γένηται· Τοσαύτῃ γὰρ φιλανθρωπίᾳ καὶ ἀπείρῳ ἀγαθότητι ὁ Κύριος συγκατέβη τῷ ἀνθρωπίνῳ γένει, ὥστε μηδένα ἐᾶσαι ἀργὸν ἀπὸ τῆς ἀρετῆς ἢ ἀγαθοῦ ἔργου ἀπομεῖναι, ἀλλὰ ἑκάστῳ ἔδωκεν ἐργασίαν κατὰ τὴν δύναμιν τῆς προαιρέσεως αὐτοῦ, ἕλκων ἅπαντας μακροθύμως ὁσημέραι ἐπὶ τὰς μείζονας τῶν ἐντολῶν ἀρετάς. «Ὃς ἐὰν ποτίσῃ φησί, ποτήριον, ψυχροῦ ὕδατος μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ»[3]. Ἴδε ἕως πόσου εὐκολότητα ἐντολῆς ὁ Κύριος ἔδωκεν, ἵνα μή τις ἄμοιρος ὡσὰν ἀσθενὴς καὶ ἄτονος τὴν προαίρεσιν ἀπὸ τοῦ ἀγαθοῦ γένηται. Καὶ πάλιν· «<Ἐφ' ὅσον> ἑνὶ τούτων ἐποιήσατε, ἐμοὶ ἐποιήσατε»[4]. Μόνον ἵνα ᾖ τὸ γινόμενον κατὰ Θεόν, καὶ μὴ κατὰ δόξαν ἀνθρώπων γίνηται· **281** προσέθηκε γάρ· «Μόνον εἰς ὄνομα μαθητοῦ»[5]

---

1. Πρβλ. Μάρκ. 10,17. 2. Πρβλ. Ἐφ. 6,6. 3. Ματθ. 10,42. 4. Ματθ. 25,40. 5. Ματθ. 10,42.

τοῦτ' ἔστι φόβῳ καὶ ἀγάπῃ τοῦ Χριστοῦ τὸ ἀγαθὸν ἔργον ἵνα γένηται. Τοῖς γὰρ κατὰ δόξαν καὶ ἔπαινον ἀνθρώπων ἐπιδεικτικῶς ἀγαθόν τι πράττουσι μεμφόμενος ὁ Κύριος ἀπόφασιν ἔδωκε· «Πάντα», φησί, «ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις»[1], καὶ διεξελθὼν ἐπάγει μεθ' ὅρκου λέγων· «Ἀμήν, ἀμὴν λέγω ὑμῖν· ἀπέχουσι τὸν μισθὸν αὐτῶν»[2]. Διὸ παραγγέλλει τοῖς μαθηταῖς· Βλέπετε μὴ ποιήσητε «τὴν ἐλεημοσύνην ὑμῶν» ἢ τὴν νηστείαν ἢ τὴν εὐχὴν ὑμῶν «ἔμπροσθεν τῶν ἀνθρώπων· εἰ δὲ μή γε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ Πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς»[3]. Τὴν «παρὰ ἀνθρώπων δόξαν»[4] ἢ τιμὴν ἢ ἐπαίνους προσερχομένους ἀπωθεῖσθαι καὶ μὴ προσίεσθαι τῷ νῷ καθόλου παρήνεσεν, ἀλλὰ παρὰ Θεοῦ μόνου τὴν ἀληθινὴν δόξαν καὶ τὸν ἔπαινον ἐκδέχεσθαι, ὡς προείρηται· οὐχ οἷόν <τε> γὰρ μὴ γνωσθῆναι ἀγαθόν τι τοῖς ἀνθρώποις ὅλως παρ' ἡμῶν ὁ Κύριος ἐδίδαξε. Πῶς γὰρ ἦν τοῦτο δυνατόν, ὁπότε αὐτὸς ὡς φῶς λάμψαι ἡμῶν «τὰ ἀγαθὰ ἔργα ἔμπροσθεν τῶν ἀνθρώπων»[5] παρήνεσεν εἰς δόξαν Θεοῦ γινόμενα· «Ὅπως», φησίν, «ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς»[6]. Καὶ οἱ ἀπόστολοι δὲ διὰ τοῦ Πνεύματος νομοθετήσαντες μηδὲν τοῖς ἀπὸ τῶν ἐθνῶν παρενοχλεῖν, εἰ μὴ «ἀπέχεσθαι τῶν ἐπάναγκες», πορνείας καὶ εἰδωλοθύτου καὶ πνικτοῦ καὶ αἵματος[7], τὴν πολλὴν τῶν ἐντολῶν ὕλην παρεσιώ**282**πησαν τέως διὰ πολλὴν καὶ ἄμετρον ἀγαθότητα καὶ συμπάθειαν ἐλαφρύναντες τῆς νοητῆς αὐτῶν ἡλικίας τὴν νηπιότητα, μόνον εἰς τὴν πίστιν αὐτοὺς εἰσελθεῖν πρῶτον ἐκ τῆς εἰδωλολατρίας βουλόμενοι, ἵν' οὕτως κατὰ μέρος ὑπακούοντες τῷ λόγῳ τῆς ἀληθείας καὶ ἐπὶ τὰ μείζονα τῶν ἐντολῶν παραγγέλματα καὶ τὴν πνευματικὴν αὔξησιν φθάσαι καταξιωθῶσιν. Εἰ δέ τις καὶ ἐν τῇ εὐχῇ ὀκνηρότερος τυγχάνει καὶ ἐν τῇ διακονίᾳ καὶ ἐν τῇ λοιπῇ οἱουδήποτε ἔργου ὑπηρεσίᾳ εἰς ἀνάπαυσιν ἀδελφῶν γινομένῃ χαύνως καὶ ἀμελῶς καὶ καταφρονητικῶς διάκειται, καὶ οὐκ ἀνδρίζεται σπουδαίως καὶ πιστῶς ποιεῖν ὃ ἐπιτάσσεται, οὗτος ὑπὸ τοῦ ἀποστόλου ἀργὸς ὀνομαζόμενος ὡς μηδὲν ἐργαζόμενος ἀλλὰ περιεργαζόμενος οὐδὲ ἄρτου ἄξιος εἶναι ἀποφαίνεται εἰπόντος· Ὁ ἀργὸς «μηδὲ ἐσθιέτω»[8]· καὶ ἀλλαχοῦ· «Τοὺς δὲ ἀργοὺς καὶ ὁ Θεὸς μισεῖ»[9]· καὶ ὁ ἀργὸς οὐδὲ πιστὸς εἶναι δύναται[10]· καὶ ἐν τῇ Σοφίᾳ λέγει· «Πολλὴν κακίαν ἐδίδαξεν ἡ ἀργία»[11]. Ὀφείλει γὰρ ἕκαστος ἐν ὁποιῳδήποτε ἔργῳ διὰ τὸν Κύριον γινομένῳ καρποφορεῖν καὶ σπουδαῖος εἶναι κἂν ἐν ἑνὶ καλῷ, ἵνα μὴ παντελῶς ἄκαρπος εὑρισκόμενος ἐκτὸς τῆς αἰωνίου ζωῆς γένηται.

ΚΘ'. Ἑνὸς οὖν προκειμένου τοῖς πᾶσιν ὁμοτρόπως ἀδελφοῖς τοῦ προειρημένου σκοποῦ τὸ λοιπὸν ἀγωνιζέσθω κατὰ δύ**283**ναμιν ἕκαστος καὶ πιστευέτω τῷ ἀψευδεῖ Θεῷ φθάσαι εἰς τὸ τέλειον τῆς υἱοθεσίας τοῦ

1. Ματθ. 23,5. 2. Ματθ. 6,5. 3. Ματθ. 6,1. 4. Πρβλ. Ἰω. 5,41. 44. 5. Πρβλ. Ματθ. 5,16. 6. Ἔνθ' ἀν. 7. Πρβλ. Πράξ. 15,29. 8. Πρβλ. Β' Θεσ. 3,10. 9. Πρβλ. Ἡσ. 1,14. 10. Πρβλ. Β' Πετρ. 1,8. 11. Σ. Σειρ. 33,28.

χριστιανισμοῦ μέτρον ἐν πάσῃ ἀγαθῇ σπουδῇ καὶ ἀρετῆς ἐπιτηδεύσει. Ἡ ἁπλότης δὲ καὶ ἡ ἀφελότης καὶ ἡ πρὸς ἀλλήλους ἀγάπη καὶ χαρὰ καὶ ταπείνωσις ἐξ ἅπαντος ὥσπερ θεμέλιος ἐν τῇ ἀδελφότητι ἑδρασθήτωσαν καὶ ἐν μέσῳ διὰ παντὸς ἤτωσαν, ἵνα μὴ ἐπαιρόμενοι κατ' ἀλλήλων ἢ φυσιούμενοι καὶ γογγύζοντες εἰκαῖον ὑμῶν τὸν κάματον ἀποδείξητε, ἀλλὰ μᾶλλον τῇ ταπεινοφροσύνῃ ἑαυτῶν ὑπερέχοντες καὶ κυρίους τοὺς πλησίον ἡγούμενοι Χριστοῦ τοῦ δι' ἡμᾶς πτωχεύσαντος μιμηταὶ γενώμεθα. Καὶ μήτε ὁ ἀδιαλείπτως ταῖς εὐχαῖς προσκαρτερῶν κατὰ τοῦ μηδέπω οὕτω δυναμένου προσκαρτερῆσαι κατεπαιρέσθω καὶ φυσιούσθω, ἵνα δυνηθῇ τὸ ἔργον αὐτοῦ ἐπὶ Θεοῦ καὶ ἀνθρώπων προκοπὴν λαμβάνειν, μήτε ὁ ἐν τῇ διακονίᾳ ἢ ἐν τῇ λοιπῇ ὑπηρεσίᾳ ἑαυτὸν δοὺς ὑποβολῇ κακίας γογγυζέτω ἢ καταλαλείτω τοῦ σχολάζοντος ταῖς προσευχαῖς καὶ νηστείαις, ἵνα χάριν ἐπὶ Θεοῦ κτήσηται καὶ τὸ ἔργον αὐτοῦ εὐπρόσδεκτον γένηται, ἀλλ' ὡς «μέλη ἀλλήλων» ὄντες[1] καὶ ἀλλήλους ἀναπαύειν ὀφείλοντες «μηδὲν κατ' ἐρίθειαν ἢ κενοδοξίαν»[2] ποιῶμεν κατὰ τὸ ἀποστολικὸν παράγγελμα· ὥσπερ γὰρ τὰ μέλη τοῦ σώματος ὑπὸ τῆς μιᾶς ψυχῆς διοικούμενα τὴν διακονίαν ἀφθόνως παρέχει ἀλλήλοις καὶ «Οὐ δύναται,» φησίν, «ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρὶ χρείαν σου οὐκ ἔχω ἢ ἡ κεφαλὴ τοῖς ποσὶ χρείαν ὑμῶν οὐκ ἔχω, ἀλλὰ πολλῷ μᾶλλον τὰ δοκοῦντα μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν»[3], ταῦτα περιέπομεν καὶ τού**284**τοις τιμὴν περισσοτέραν περιτίθεμεν, οὕτω καὶ ἡμεῖς «μέλη ἀλλήλων» ὄντες[4], καθὼς εἴρηται, ποιῶμεν, ὁ δὲ καθεὶς ὡς ἀλλήλων μέλη ὑπὸ ἑνὸς Πνεύματος κυβερνώμενοι καὶ ὑφ' ἑνὸς τοῦ τῆς ἀληθείας λόγου ζῶντος τρεφόμενοι διὰ τῆς ἀγάπης καὶ ἁπλότητος καὶ ἀγαθότητος καὶ χαρᾶς εἰς ἀνάπαυσιν ἀλλήλων συναρμοσθῆναι ὀφείλομεν. Εἰς τοῦτο γὰρ καὶ ἐκτίσθημεν, καθὼς εἴρηται· «Αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ ἐπὶ ἔργοις ἀγαθοῖς», «ἵνα ἐν αὐτοῖς περιπατήσωμεν»[5]· καὶ οὕτως ὁ Θεὸς ἐπὶ ταῖς τοιαύταις προαιρέσεσι χαίρει ἑκάστου τὸ ἔργον τὸ δι' αὐτὸν γινόμενον ἀποδεχόμενος. Τοιαύτην γὰρ διάθεσιν ἁπλότητος εἰς ἀλλήλους ὑμῶν ἀποσωζόντων γίνεται τὸ περίσσευμα τῶν ταῖς εὐχαῖς προσκαρτερούντων[6] ἐπὶ τὸ ὑστέρημα τῶν διακονούντων καὶ ἀναπαυόντων, καὶ πάλιν τὸ περίσσευμα τῶν διακονούντων καὶ ἐργαζομένων ἐπὶ τὸ ὑστέρημα τῶν ταῖς εὐχαῖς σχολαζόντων. Οὕτως γάρ φησι γίνεται ἰσότης κατὰ τὸ γεγραμμένον· «Ὁ τὸ πολὺ οὐκ ἐπλεόνασε, καὶ ὁ τὸ ὀλίγον οὐκ ἠλαττόνησε»[7]· μόνον, ὡς προειρήκαμεν, ἐν μέσῳ τῶν ἀδελφῶν ἁπλότης καὶ ἀγάπη καὶ ταπείνωσις καὶ ἀζηλία ἤτωσαν καὶ λοιπὸν ἕκαστος κατὰ δύναμιν μετὰ χαρᾶς τὸν καλὸν δρόμον τρεχέτω καὶ τὸν καλὸν ἀγωνιζέσθω, ἵνα εἰς τὴν ἀπλανῆ τῆς θεοσεβείας ὁδόν, καθόσον πιστεύει καὶ καθόσον ἀγαπᾷ καὶ καθόσον **285** κάμνει, ὁσημέραι τὴν προκοπὴν λαμβάνων τῆς βασιλείας ἀξιωθήσεται.

1. Πρβλ. Ἐφ. 4,25. 2. Πρβλ. Φιλιπ. 2,3. 3. Α' Κορ. 12,21. 4. Πρβλ. Ἐφ. 4,25. 5. Πρβλ. Ἐφ. 2,10. 6. Πρβλ. Κολ. 4,2. 7. Β' Κορ. 8,15.

Λ'. Οὗτος ἀληθῶς ἀγγελικὸς ἐπὶ γῆς ἐστι βίος· τοῦτό ἐστι τό· «Γενηθήτω τὸ θέλημά σου» «ἐν οὐρανῷ καὶ ἐπὶ γῆς»[1], ὅταν μὴ κατεπαιρώμεθα ἀλλήλων· ὅταν μετὰ ἀζηλίας καὶ ἀφθονίας καὶ ἁπλότητος καὶ ἀγάπης καὶ εἰρήνης καὶ χαρᾶς συνηρμόσμεθα ἀλλήλοις, τὴν τοῦ πλησίον προκοπὴν ἴδιον ἡγούμενοι κέρδος, τὴν <δ> ἀτονίαν ἢ ἐλάττωσιν ἢ θλῖψιν τοῦ πλησίον ἰδίαν εἶναι νομίζοντες ζημίαν. «Μὴ γάρ» φησι μόνον «τὰ ἑαυτῶν σκοποῦντες, ἀλλὰ καὶ τὰ» τῶν πλησίον «ἕκαστος»[2]· οὕτω γὰρ ἀλλήλοις συμπάσχοντες καὶ «ἀλλήλων τὰ βάρη» βαστάζοντες[3], μάλιστα οἱ δυνατοὶ τῶν ἀδυνάτων καὶ οἱ ἰσχυροὶ τῶν ἀσθενεστέρων, ἀναπληρῶσαι δυνάμεθα «τὸν νόμον τοῦ Χριστοῦ»[4] κατὰ τὴν παραίνεσιν Παύλου. Τοιούτῳ δὲ τρόπῳ ἐπὶ τὸ αὐτὸ τυγχάνοντες ἀληθῶς δυνησόμεθα «πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ»[5] καὶ διὰ τῆς ὁμονοίας καὶ τῆς χάριτος τοῦ Χριστοῦ κεφαλὰς δρακόντων [πνευμάτων πονηρίας] συνθλᾶν, «ἐπὶ ἀσπίδα καὶ βασιλίσκον» ἐπιβαίνοντες καὶ καταπατοῦντες «λέοντα καὶ δράκοντα»[6]. Ἐὰν γάρ, ὡς προειρήκαμεν, ἐν ἀγάπῃ καὶ ἁπλότητι καὶ ἀκεραιότητι σύνεισιν οἱ ἀδελφοὶ ἀλλήλοις, τότε καὶ ὁ ἐν μέτροις μεγάλοις ὢν πνευματικῆς προκοπῆς καὶ τῇ εὐχῇ προσκαρ**286**τερῶν ἐπὶ τὰ μείζονα διὰ τῆς συνεργίας καὶ συμπνοίας τῶν ἀδελφῶν τὴν αὔξησιν καὶ προκοπὴν λαμβάνει. Ὁμοίως δὲ καὶ ὁ μικρότερος διὰ τῆς τῶν μειζόνων ἐν ἀγάπῃ προτροπῆς καθ' ἡμέραν βελτιοῦται τῇ προκοπῇ καὶ εὐθύμως ἐργαζόμενος καὶ ἐπὶ τὰ κρείττονα ἐπειγόμενος. Εἰ δὲ μὴ οὕτω διάκεισθε πρὸς ἀλλήλους, ἀλλὰ γογγυσμοὶ καὶ μέμψεις καὶ καταλαλιαὶ καὶ φυσιώσεις κατ' ἀλλήλων ἐπεγείρονται, οὔτε οἱ δοκοῦντες σχολάζειν εὐχαῖς καὶ νηστείαις διὰ τὴν τῶν ἑτέρων πρὸς αὐτοὺς ἀσυμφωνίαν καὶ βλάβην καὶ τὴν αὐτῶν ἔπαρσιν κρείττους ἑαυτῶν γενέσθαι δύνανται, οὔτε οἱ διακονοῦντες καὶ ἀναπαύοντες σωματικῶς δυνήσονται χάριν ἐν τῇ διακονίᾳ αὐτῶν ἔχειν διὰ τὸν κατὰ τῶν σχολαζόντων γογγυσμὸν καὶ τὸ μεταξὺ μῖσος· καὶ οὕτω σχίσματος ὄντος ἐν τῷ σώματι ἀδύνατον οἰκοδομὴν πνευματικὴν λαμβάνειν καὶ τὸ θέλημα τοῦ Θεοῦ ἐν ἡμῖν γίνεσθαι.

ΛΑ'. Ἀλλὰ καὶ τὴν τῶν πολλῶν χαρισμάτων διανομὴν εἰς μίαν ἕνωσιν καὶ συμφωνίαν ὁ ἀπόστολος ἄγων ὡς ἑνὸς σώματος ὄντα μέλη, φησίν, «ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, εἴτε ὁ διακονῶν ἐν τῇ διακονίᾳ, εἴτε ὁ παρακαλῶν ἐν τῇ παρακλήσει, ὁ μεταδιδοὺς ἐν ἁπλότητι, ὁ προϊστάμενος ἐν σπουδῇ, ὁ ἐλεῶν ἐν ἱλαρότητι, ἡ ἀγάπη ἀνυπόκριτος»[7] καὶ τὰ ἑξῆς. Καὶ πάλιν «ἕκαστος ὑμῶν ψαλμὸν ἔχει», **287** «ἀποκάλυψιν ἔχει», γνῶσιν ἔχει, προφητείαν ἔχει· «πάντα πρὸς οἰκοδομὴν γινέσθω»[8]· τοῦτ' ἔστιν ἀπολάβετε ἕκαστος τῶν χαρισμάτων ἀλ-

1. Ματθ. 6,10. 2. Πρβλ. Φιλιπ. 2,4. 3. Πρβλ. Γαλ. 6,2. 4. Πρβλ. Ἔνθ' ἀν. 5. Λουκ. 10,19. 6. Πρβλ. Ψαλ. 9,13. 7. Ρωμ. 12,6-8. 8. Πρβλ. Α' Κορ. 14,26.

λήλων διὰ τῆς ὁμονοίας καὶ τῆς πρὸς ἀλλήλους ἐν ἀγάπῃ συμφωνίας. Οὕτω καὶ οἱ ἐν τοῖς μοναστηρίοις ἀδελφοὶ ἐκδεδωκότες ἑαυτοὺς τῷ Κυρίῳ καὶ ἀλλήλοις οἱ ἰσχυροὶ εἴτε τῷ σώματι εἴτε τῇ φρονήσει τῶν ἀσθενεστέρων τὰ βάρη βαστάζετε διὰ τὴν τοῦ Χριστοῦ μακαρίαν ἐλπίδα· καὶ ἕκαστος ὅπερ ἔχει ἐν τῇ φύσει αὐτοῦ ἀγαθὸν ἢ ἰσχὺν ἢ σύνεσιν ἢ ἀνδρείαν ἢ ἐπίνοιάν τινα ἢ σπουδήν, ἀλλήλοις ὁλοκλήρως ἐκδῶμεν. Εἴτε πνευματικῶν χαρισμάτων διὰ τῆς χάριτος τοῦ Χριστοῦ ἀξιούμεθα, ἀλλήλοις κοινωνήσωμεν ἐν πᾶσιν ἀγαθοῖς εἰς οἰκοδομὴν καὶ ὠφέλειαν καὶ ἑαυτῶν καὶ τῶν πλησίον καὶ πάντων ἀνθρώπων· καὶ οὕτως ἀναπληροῦντες «τὸν νόμον τοῦ Χριστοῦ»[1] τῆς αἰωνίου ζωῆς ἄξιοι γενησόμεθα.

ΛΒ'. Ὅτι δὲ τὸ τῆς εὐχῆς καὶ τοῦ λόγου ἁρμοζόντως τελούμενον ἔργον πάσης ἀρετῆς καὶ ἐντολῆς προτέτακται, αὐτὸς ὁ Κύριος μαρτυρεῖ. Ὅτε γὰρ ἦλθεν εἰς τὴν οἰκίαν Μάρθας καὶ Μαρίας, καὶ Μάρθας μὲν περὶ τὴν διακονίαν ἀσχολουμένης, Μαρίας δὲ παρὰ τοὺς πόδας τοῦ Κυρίου καθεζομένης καὶ ὑπὸ τῆς σωτηριώδους διδασκαλίας τὴν ψυχὴν τρεφομένης, μεμφομένης δὲ τῆς Μάρθας ὅτι οὐ συμβοηθεῖ αὐτῇ καὶ εἰρηκυίας πρὸς τὸν Κύριον· Κύριε, εἰπὲ ἵνα ἡ ἀδελφή μου ἐλθοῦσα **288** συναντιλάβηταί μοι, ὅτι μόνην με κατέλιπεν· ὁ Κύριος τὸ πρῶτον καὶ κεφαλαιωδέστερον τοῦ δευτέρου προέκρινεν εἰρηκὼς αὐτῇ· «Μάρθα, Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά· ἑνὸς δέ ἐστι χρεία· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο»[2]. Τὸ πρῶτον καὶ μεῖζον τῆς ἀρετῆς ἔργον ὑπέδειξεν ὁ Κύριος οὕτως εἰπών. Οὐχὶ γὰρ ὡς οὐδὲν τὸ τῆς διακονίας ἔργον ἡγήσατο. Εἰ γὰρ οὐδὲν ἦν, πῶς αὐτὸς τῆς διακονίας Μάρθας μετελάμβανε καὶ αὐτὸς τὸ ἔργον δι' ἑαυτοῦ ἐπετέλεσε, νίψας τῶν μαθητῶν τοὺς πόδας; Καὶ παρήνεσεν εἰπὼν αὐτοῖς· «Εἰ οὖν ἐγὼ ὁ Κύριος καὶ διδάσκαλος ἔνιψα ὑμῶν τῶν μαθητῶν τοὺς πόδας, ὀφείλετε καὶ ὑμεῖς ἀλλήλων νίπτειν τοὺς πόδας· ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα καὶ ὑμεῖς ποιῆτε»[3]· καὶ πάλιν· Ὁ θέλων «ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω πάντων» διάκονος καὶ πάντων «δοῦλος»· καθὼς καὶ «ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν»[4]· καί· Ὅσα ἐὰν ποιήσῃ «ἑνὶ τούτων», «ἐμοὶ ἐποίησε»[5]· καί· «Ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου, μισθὸν δικαίου λήψεται»[6]. Ἀλλὰ καὶ οἱ ἀπόστολοι ἐν ταῖς Πράξεσι περὶ τὴν σωματικὴν διακονίαν τῶν τραπεζῶν ἀσχολούμενοι τὸ μεῖζον προέκριναν, τὸ τῆς εὐχῆς καὶ τοῦ λόγου μεταδιώκειν ἔργον. Οὐ δίκαιον γάρ, φησίν, «ἐστὶν ἡμᾶς καταλιπόντας τὸν λόγον τοῦ Θεοῦ διακονεῖν **289** τραπέζαις»· ἀλλ' ἐκλεξάμενοι «ἄνδρας πλήρεις» Ἁγίου «Πνεύματος» «καταστήσωμεν ἐπὶ τῆς χρείας ταύτης, ἡμεῖς δὲ τῇ διακονίᾳ τοῦ λόγου καὶ τῇ προσευχῇ προσκαρτερήσωμεν»[7].

---

1. Πρβλ. Γαλ. 6,2. 2. Λουκ. 10,42. 3. Ἰω. 13,14. 4. Πρβλ. Ματθ. 20,27-28. 5. Ματθ. 25,40. 6. Ματθ. 10,41. 7. Πρβλ. Πράξ. 2-3.

ΛΔ΄. Ὁρᾷς πῶς τὰ πρῶτα ἀπὸ τῶν δευτέρων προέκριναν, καίπερ ἀμφότερα μιᾶς ἀγαθῆς ῥίζης ἀποβλαστήματα. Ὥστε ἡ εὐχὴ προτιμάσθω καὶ σπουδαζέσθω καὶ προκρινέσθω ὑμῖν τῶν λοιπῶν ἐντολῶν. Μόνον ἐν ἀγάπῃ Θεοῦ ἵνα πάντα γίνηται καὶ σκοπῷ τοῦ φθάσαι διὰ τῆς χάριτος εἰς τὴν ἀπαθῆ καθαρότητα. Μὴ σωματικοῖς οὖν ἔθεσιν ἁπλῶς καὶ ὡς ἔτυχε καὶ ἀδιακρίτως μηδὲ τοῖς ἔξωθεν σχηματισμοῖς (ἤτοι εὐχῆς ἢ ψαλμῳδίας, νηστείας ἢ διακονίας) μὴ διὰ Θεὸν μόνον γινομένοις καὶ τοῖς λοιποῖς ἐξωτέροις κατορθώμασιν ἐμφιλοχωρούμενοι αὐτὴν τὴν ἀλήθειαν, ἥτις ἐστὶν ἡ τοῦ Θεοῦ ἀγάπη ἐν τῷ ἔσω ἀνθρώπῳ ὑπὸ τοῦ Θεοῦ ἐπιζητουμένη καὶ ὑπὸ τοῦ Πνεύματος ἐνεργουμένη, ἀφ᾽ἑαυτῶν ἀποκρύψωμεν δι᾽ ἄγνοιαν, ἐν σωματικοῖς μόνον δικαιώμασι τὴν πεποίθησιν ἔχοντες, ἀλλὰ ὁ σκοπὸς τῆς ἀγάπης τῆς πρὸς Θεὸν ἐν συνειδήσει γνησίᾳ καὶ εἰλικρινεῖ διαθέσει πασῶν τῶν ἐντολῶν κυριευέτω· ἧς καὶ καθόλου προηγουμένης καὶ ἐν ἡμῖν ἐνεργεῖσθαι ἐν πολλῇ ἐπιποθήσει ὑπὸ τοῦ πνεύματος σπουδαζομένης, ἀκολούθως καὶ ἡ εὐχὴ τῆς γονυκλισίας καταρτίζεται καὶ ἡ διακονία εὐπροσδέκτως πληροῦται, καὶ ἡ πασῶν τῶν **290** ἐντολῶν ἐπιτήδευσις καθαρῶς καὶ εἰλικρινῶς ὑφ᾽ ἡμῶν διὰ τῆς τοῦ Πνεύματος συνεργίας ἐπιτελεῖσθαι δύναται. Τὸ γὰρ υἱοὺς φωτὸς γενέσθαι[1] καὶ «τέκνα Θεοῦ»[2] καταξιωθῆναι καὶ κληρονόμους μὲν Θεοῦ, συγκληρονόμους δὲ Χριστοῦ[3] ἀποδειχθῆναι καὶ υἱοὺς ἐπουρανίου νυμφῶνος εἶναι καὶ ἀδελφοὺς Χριστοῦ θείᾳ χάριτι προσαγορευθῆναι κατὰ τὰς ἀρρήτους ἐπαγγελίας τῶν θεοπνεύστων καὶ ἁγίων Γραφῶν, ὅ ἐστιν ὁ σκοπὸς καὶ ἡ ἐλπὶς τῶν Χριστιανῶν, διὰ ποίων ἡμῖν κατορθωμάτων ἢ ποίων ἐπιτηδευμάτων ἔσται τυχεῖν εἰ μὴ δι᾽ ὧν προειρήκαμεν, παραθέμενοι διὰ πλειόνων ἅμα καὶ τὰς Γραφικὰς μαρτυρίας; Ἀφ᾽ ὧν τὸν ἄκρον καὶ τέλειον σκοπὸν τῆς εὐσεβοῦς πολιτείας διαγνόντες ἀγάπῃ καὶ ἐλπίδι καὶ πάσης ἀρετῆς σπουδῇ πιστεύοντες Θεῷ ἀψεύστῳ καὶ ἀληθινῷ τῶν ὑπὲρ τὴν ἡμετέραν φύσιν καὶ δύναμιν εὐδοκίᾳ καὶ ἀγαθότητι Θεοῦ ἐπαγγελθέντων ἡμῖν καταξιωθῆναι, καθ᾽ ἡμέραν αὐξανόμενοι ἐν Κυρίῳ καὶ τὴν προκοπὴν ἡμῶν φανεροῦντες πᾶσιν ἐν Κυρίῳ, τυχεῖν ἕξομεν τοῦ πνεύματος τῆς υἱοθεσίας, ὁλοκλήρως καὶ τελείως ἀδιστάκτῳ πίστει ἡμῶν ἐλπιζόντων. Δι᾽ οὗ καὶ τῶν παθῶν τῆς ἀτιμίας, φανερῶν τε καὶ κρυφίων, πρακτικῶν τε ἁμαρτημάτων καὶ λογισμῷ ἐπιτελουμένων, **291** ἀπαλλαγῆναι δυνάμεθα καὶ καθαρὰν καρδίαν κατὰ τὸν μακαρισμὸν τοῦ Κυρίου καταξιούμεθα κτήσασθαι· τὸν ἀγῶνα μέντοι τὸν ἐξ ἰδίας προαιρέσεως ὡς ὑπεθέμεθα τελείως ἡμῶν παριστώντων, οὕτω «τέκνα Θεοῦ»[4] καὶ «υἱοὶ τῆς βασιλείας»[5] καὶ ἀδελφοὶ Χριστοῦ διὰ τὴν τοῦ Ἁγίου Πνεύματος παρουσίαν καὶ συνανάκ<ρασιν> καταξιωθέντες, σὺν αὐτῷ εἰς τοὺς ἀπεράντους αἰῶνας ἀναπαυόμενοι συμβασιλεύσομεν.

---

1. Πρβλ. Ἰω. 12,36. 2. Ἰω. 1,12. 3. Πρβλ. Ρωμ. 8,17. 4. Πρβλ. Ἰω. 1,12. 5. Ματθ. 13,38.

ΛΕ.΄ Ἀλλ' ἐπειδή τινες ἀγνοίᾳ φερόμενοι ἐπισκήπτουσιν ἡμῖν ὡς ὑπέρογκα ἐκ ματαιότητος φρονοῦσι καὶ ἀδύνατα καὶ ὑπὲρ ἄνθρωπον γενέσθαι ἐλπίζουσι κατὰ τὸν σκοπόν, ὅνπερ ἀπὸ τῶν θεοπνεύστων Γραφῶν παρεστήσαμεν καὶ τὴν γινομένην εἰλικρινῆ τοῖς πιστεύουσι καθαρότητα, ἣν οὐκ ἀμαρτύρως εἰπεῖν τετολμήκαμεν, καί φασιν ὅτι ἀδύνατόν ἐστί τινα ἄνθρωπον γενέσθαι ὡς αἱ Γραφαὶ παρακελεύονται, ἤτοι περὶ τελείας καθαρότητος καὶ ἀπαλλαγῆς τῶν παθῶν ἤτοι περὶ τῆς μετουσίας καὶ πληρώσεως τοῦ Ἁγίου Πνεύματος (ἠθέλησε γάρ, φασίν, ὁ Κύριος οὕτω λαλῆσαι πρὸς φόβον ἀνθρώπων τὸ «Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»[1] καὶ τὰ ὅμοια ἀποτόμως εἶπεν, οὐχ ὅτι, ἐὰν μή τις οὕτως γένηται, εἰς τὴν βασιλείαν τῶν οὐρανῶν οὐκ εἰσέρχεται· γενέσθαι γὰρ οὕτως ἀνθρωπίνῃ φύσει ἀδύνατον), ἀναγκαῖον δι' ὀλίγων περὶ τούτων παραστῆσαι τῷ δεσπότῃ **292** καὶ δεῖξαι οἵαν μὲν βλάβην καὶ ζημίαν ὑφίστανται οἱ ταῖς θείαις Γραφαῖς ἑαυτοὺς πείσαντες μὴ πιστεύειν, ἀλλὰ τῇ ἰδίᾳ τοῦ νοὸς ὑπολήψει ματαίως πληροφορεῖσθαι, οἵαν δὲ κατόρθωσιν καὶ κέρδος ἑαυτοῖς προξενοῦσιν οἱ πιστεύοντες τοῖς τοῦ Πνεύματος διδάγμασι καὶ οὕτως ἑαυτοὺς πληροφορήσαντες, ὅτι πᾶν ῥῆμα καὶ πᾶς λόγος καὶ πᾶσα ἐντολὴ διὰ τοῦ ἀψευδοῦς καὶ Ἁγίου Πνεύματος εἰρημένη τοῖς ἀληθῶς καὶ τελείως ἑαυτοὺς τῷ Θεῷ ἐκδεδωκόσι καὶ διὰ τῆς πίστεως τὴν μετουσίαν τοῦ Ἁγίου Πνεύματος κομιζομένοις ἀγῶνι τελείῳ προαιρέσεως καὶ ἀντιλήψεως χάριτι κατορθωθῆναι δύναται.

ΛϚ΄. Πρῶτον μὲν οἱ τὸν χριστιανισμὸν ἀκριβῶς ἀνερευνῶντες καὶ τί τὸ τέλειον τοῦ Θεοῦ θέλημα σπουδάζοντες ἐπιγινώσκειν καὶ ἐπὶ τὴν τελειότητα τῶν λόγων τοῦ Κυρίου τὴν σπουδὴν καὶ πόνον καὶ ἀγῶνα ἐν πίστει καὶ ἐλπίδι τοῦ σκοποῦ θέμενοι καὶ ἐλπίζοντες ἐν ἀγῶνι πολλῷ καταντῆσαι καὶ εἰς ἐκείνην τὴν κατάπαυσιν εἰσελθεῖν πίστει δὲ ἐπιτηδεύσεως, ἀρετῶν καὶ Χριστοῦ χάριτι σπουδάζοντες ἔνθα οἱ τοῦ Κυρίου καὶ τῶν ἀποστόλων λόγοι τῆς τελειότητος παντοίως προτρέπονται, διὰ τριῶν πραγμάτων τὴν ὠφέλειαν καρπίζονται καὶ διὰ τριῶν τρόπων τὴν οἰκοδομὴν καὶ τὸ κέρδος λαμβάνουσι. Πρῶτον, ὅτι τὰς Ἁγίας Γραφὰς καὶ τοὺς τοῦ Κυρίου λόγους ὡς Θεοῦ ἀληθινοῦ ὡς πιστοὶ δοῦλοι ἡγοῦνται. Δεύτερον, ὅτι εἰς τὸν τέλειον σκοπὸν τοῦ χριστιανισμοῦ ἀποβλέποντες ἀνδρεῖοι καὶ γενναῖοι ὁσημέραι καταρτίζονται, πόνον καὶ δρόμον καὶ ἀγῶνα ἄπαυστον καὶ ἀδιάλειπτον ἔχοντες καὶ εἰς τὴν μακαρίαν ἐλπίδα τῆς τελειότητος ἐπειγόμενοι, μὴ διδόντες **293** ἑαυτοῖς ἄνεσιν ἐν χαυνότητι ὅλως διὰ τὴν ὑπερβολὴν τοῦ σκοποῦ. Τρίτον, ὅτι ἔχοντες πρὸ ὀφθαλμῶν τὸν σκοπὸν τῆς τελειότητος καὶ τοῖς τοῦ Κυρίου λόγοις ὡς ἀληθέσι πιστεύουσιν, ὅτι δεῖ εἰς τὰ μέτρα τῆς ἀπαθείας καὶ ἐλευθερίας φθάσαι τὸν ἀληθῶς προσεληλυθότα δουλεύειν

---

1. Ματθ. 5,20.

τῷ Θεῷ. Ἐπειδὴ ἐκεῖ προτρέπεται ὁ Κύριος κἀκεῖ παρακαλεῖ τοὺς ἀκολουθοῦντας αὐτῷ λέγων· Γίνεσθε «οὖν ὑμεῖς τέλειοι, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος»[1], παντελῆ καθαρότητα ἐν ἡμῖν γίνεσθαι διδάσκων· καὶ πάλιν· «Θέλω, ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ οὗτοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν»[2]· καὶ τὸ τοῦ ἀποστόλου δέ· «Ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ»[3]· καὶ τὸ «Μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ Θεοῦ εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ»[4]. Ἀγωνιζόμενοι οὖν παντὶ τρόπῳ καὶ τρέχοντες ἀδιαλείπτως τὸν καλὸν τῶν ἀγαθῶν ἐπιτηδευμάτων δρόμον καὶ πονοῦντες περὶ τας ἀρετὰς πάντοτε οὐχ ἡγήσονται ἑαυτοὺς εἶναί τι, ἅτε δὴ μηδέπω φθάσαντες εἰς ὃ κέκληνται μέτρον, ἀλλ' ἀδοκίμους, καὶ ταλαιπώρους καὶ μὴ κατειληφότας διὰ τὴν ὑπερβολὴν τῆς κτήσεως τοῦ πνευματικοῦ πλούτου ἡγήσονται, καίπερ ὄντες τίμιοι καὶ δόκιμοι καὶ ἀγωνισταί· οὕτως δὲ περὶ ἑαυτῶν ταπεινοφρονοῦντες† τῆς κακίας καὶ οἰήσεως καὶ ὄκνου καὶ ῥαθυμίας παντελῶς ἐκφεύξονται, καὶ ὅσον εἰς μέγα δικαιοσύνης μέτρον ἐξ ἀνάγκης χωροῦσι διὰ τὴν πολλὴν ἔπειξιν καὶ σπουδὴν καὶ τὸν ἀνένδοτον ἀγῶνα, εἰ καὶ εἰς τὴν τελειότητα **294** φθάσαι διὰ τὸν ὑπερβάλλοντα πλοῦτον οὔπω δύνανται.

ΛΖ'. Διὰ τριῶν οὖν τρόπων τὴν οἰκοδομήν, ὡς εἴρηται, καὶ τὴν ὠφέλειαν οἱ τούτῳ ἐχόμενοι τῷ φρονήματι πορίζονται. Οἱ δὲ τὸν χριστιανισμὸν ὡς ἔτυχε μικρὸν νομίσαντες εἶναι καὶ μὴ ἀνερευνῶντες τὸ ἀκρότατον τοῦ πνευματικοῦ σκοποῦ καὶ τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον καὶ τὴν ἀκριβῆ τῶν ἄκρων ἐντολῶν παραγγελίαν μὴ ἀναζητοῦντες, ἀλλὰ ἀδιαφόρως καὶ ὡς ἔτυχε τοῖς τοῦ Κυρίου λόγοις καὶ καταφρονητικῶς προσέχοντες, ἰδίῳ λογισμῷ ὑπολήψεως ματαίας πληροφορούμενοι πρὸς φόβον ἀνθρώπων ἁπλῶς εἰρῆσθαι τὰς εὐαγγελικὰς ἐντολὰς νομίζουσιν καὶ οὐκ αὐτῆς τῆς ἀληθείας ἕνεκα βεβαιοῦνται τὸν τοῦ Κυρίου λόγον ὅτι «Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν»[5]. Οὕτως ἀσείστους καὶ ἑδραίους καὶ ἀληθεῖς τοὺς λόγους αὐτοῦ εἶναι διδάξαντος οἱ τοιούτῳ λογισμῷ καὶ φρονήματι πειθόμενοι πάλιν καὶ αὐτοὶ [διὰ τριῶν πραγμάτων καὶ] διὰ τριῶν τρόπων τὸ μέγιστον βλάβος καὶ ζημίαν τῇ ψυχῇ προσκομίζουσι. Πρῶτον, ὅτι εἰς τὰς θεοπνεύστους Γραφὰς ἀπιστοῦντες ψεύστην καὶ οὐκ ἀληθῆ τὸν Θεὸν συνιστῶσι. Δεύτερον, ὅτι μὴ ἔχοντες τὸν μείζονα καὶ τέλειον τοῦ χριστιανισμοῦ σκοπὸν εἰς ὃν οὐδέπω κατειλήφασιν, **295** ἑαυτοὺς εἶναί τι ἡγούμενοι πόνον καὶ ἀγῶνα καὶ σπουδὴν καὶ πεῖναν καὶ δίψαν τῆς δικαιοσύνης, ἔχειν οὐ δύνανται, ἀλλὰ χαυνότητα καὶ ἀμεριμνίαν καὶ νωθρείαν διὰ τῆς ὀλιγωρίας καὶ ματαίας πληροφορίας κτῶνται. Τρίτον, ὅτι οἰόμενοι καλῶς ἑστάναι δι' ὀλίγας

---

1. Πρβλ. Ματθ. 5,48. 2. Ἰω. 17,24. 3. Κολ. 1,28. 4. Ἐφ. 4,13. 5. Ματθ. 24,35.

τινὰς ἀρετάς, μὴ ἀφορῶντες εἰς τὸ τέλειον τοῦ χριστιανισμοῦ μέτρον, εἰς ὃ ἀποβλέποντες καὶ ἑαυτοὺς δόντες μηδέπω ἐφθακέναι οἴδασι, ταπείνωσιν καὶ πτωχείαν καὶ σύντριψιν καρδίας κεκτῆσθαι [ἑαυτοὺς εἰδότες] οὐ δύνανται διὰ τὸ τοῖς ἐξωτέροις σχήμασι καὶ ἤθεσιν ἢ ἐπὶ ὀλίγοις τισὶ κατορθώμασιν ἑαυτοὺς πληροφορῆσαι· καὶ οὕτως ἀπομένουσι τῆς μακαρίας ἐλπίδος καὶ κλήσεως τῆς τοῦ Κυρίου τελειότητος καὶ τῆς τῶν παθῶν παντελοῦς καθάρσεως, καὶ ἑαυτοὺς δικαιοῦντες δι' ὀλίγας τινὰς ἀρετὰς καὶ ὡς κατειληφότας καὶ ὄντας τι ἑαυτοὺς ἡγούμενοι, προκοπὴν ὁσημέραι καὶ αὔξησιν πνευματικὴν ἀκολούθως οὐ λαμβάνουσι διὰ τὸ μὴ ἔχειν πόνον καὶ ἀγῶνα καὶ θλῖψιν καὶ σύντριψιν καρδίας· οἱ γὰρ πόνον καὶ ἀγῶνα καὶ θλῖψιν διὰ τὴν βασιλείαν καὶ πεῖναν καὶ δίψαν τῆς δικαιοσύνης μὴ ἔχοντες ἀδυνατοῦσιν εἰς τὸ τέλειον φθάσαι, καὶ εἰ αὔξησίν τινα ἢ προκοπὴν δέξασθαι δυνήσονται.

ΛΗ'. Ἢ καὶ ἑτέρᾳ ὑποθέσει χρησώμεθα· ὥσπερ ἐάν τισιν ἐργάταις ἢ δούλοις τισὶ ῥηθῇ παρὰ τοῦ δεσπότου πρὸς τρία πλέθρα τῆς ἡμέρας ἕκαστον θερίσαι, καὶ ὁ μὲν εἷς ἐργάτης, τοιαύτην ἐντολὴν παρὰ τοῦ δεσπότου λαβών, ἐκδῷ ὁλοτελῶς **296** ἑαυτὸν πάσῃ ἰσχύι καὶ δυνάμει ἀγωνιῶν καὶ πονῶν καὶ μεριμνῶν καὶ σπουδάζων, πῶς τρία πλέθρα μόνος θερίσει· ὁ δὲ ἕτερος ἀδύνατον εἶναι νομίσας τὸ ἐπιταχθὲν πληρῶσαι ἀπὸ τῆς ἀρχῆς ἐχαυνώθη καὶ οὕτως ὅλην τὴν ἡμέραν ποτὲ μὲν θερίζων ποτὲ δὲ χαυνούμενος καὶ ἀναπαυόμενος οὐ δύναται τοσοῦτον ἐργάσασθαι ὅσον ὁ πρότερος ὁ σπουδάσας· κἂν μὴ δυνηθῇ διὰ τὴν ὑπερβολὴν τοῦ προστάγματος τελέσαι τὸ προσταχθὲν αὐτῷ, ἀλλὰ τοῦ ἄλλου ἐργάτου <τοῦ> μὴ ἔχοντος ἐκεῖνον τὸν σκοπὸν μήτε οὕτως ἀγωνιῶντος καὶ μεριμνῶντος καὶ σπουδάζοντος πολὺ πλέον ἐξ ἅπαντος ἔργον ποιεῖ διὰ τὴν πολλὴν καὶ ἄπαυστον σπουδὴν καὶ διὰ τὴν μέριμναν καὶ τὸν ἀγῶνα καὶ τὸ μὴ χαυνωθῆναι ὅλως· οὕτως οἱ προειρημένοι εἰς τὸ τέλειον τῆς οὐρανίου κλήσεως σκοπὸν ἀποβλέποντες καὶ κατὰ τὰς θεοπνεύστους Γραφὰς πιστεύοντες καὶ ἀγωνιζόμενοι εἰς τὸ ἀγαθόν, ὅση δύναμις αὐτοῖς, κρείττους καὶ μείζους εἰσὶν ἐξ ἅπαντος ἐν τῇ γνώσει καὶ πίστει καὶ ἔργοις ἐκείνων τῶν εἰς τὴν κλῆσιν τῆς τελειότητος καὶ ἐλευθερίας καὶ ἀπαθείας φθάσαι μὴ πιστευόντων μηδὲ ἐπιτηδευόντων, ἀλλὰ τῷ ἰδίῳ θελήματι μόνῳ πληροφορουμένων καὶ οἰήσει τὴν προκοπὴν ἐχόντων· οὐκ ἀποβλέποντες γὰρ εἰς τὸν ἄκρον τῶν εὐαγγελικῶν λόγων τῆς μακαρίας κλήσεως σκοπὸν ἑαυτοὺς μηδὲν εἶναι ἡγεῖσθαι ἀκμὴν οὐ δύνανται, συντετριμμένην καρδίαν οὐκ ἔχοντες μηδὲ πεινῶντες ἀεὶ καὶ διψῶντες τὴν δικαιοσύνην, καὶ ὅλῃ ἰσχύι καὶ προθυμίᾳ καὶ πόνῳ καὶ ἀγῶνι τρέχειν οὐ δυνάμενοι, τὴν ἀρχὴν μὴ πιστεύοντες τοῖς τῶν ἁγίων ἐντολῶν καὶ **297** εὐαγγελικῶν λόγων ἱεροῖς παραγγέλμασιν, ἵνα διὰ τῆς πίστεως καὶ σπουδῆς ἀγαθῆς τὴν πνευματικὴν προκοπὴν λαμβάνοντες τῶν αἰωνίων ἀγαθῶν ἄξιοι γένωνται.

ΛΘ'. Πρὸς πᾶσι δὲ τοῖς προειρημένοις καὶ τοῦτο ἁρμοζόντως ῥηθήσεται· εἰ τῇ ἑαυτῶν δυνάμει ἐπερειδόμενοι καὶ τῇ ἰδίᾳ ἰσχύι ἢ

δικαιώμασι πεποιθότες τὴν τῶν παθῶν ἐνέργειαν ἀναιρεῖν καὶ ἐκριζοῦν ἐπηγγελλόμεθα ὅπερ ἀνθρωπίνῃ φύσει ἐστὶν ἀδύνατον, καλῶς ἂν ἕκαστος καθ' ἡμῶν εἶχε λέγειν ὡς ὑπέρογκα ἐκ ματαιότητος φρονούντων καὶ τὰ ὑπὲρ ἀνθρωπίνην φύσιν ἐπαγγελλομένων· εἰ δὲ τῷ λόγῳ τοῦ Θεοῦ ἐξακολουθοῦντες καὶ τῇ συνέσει τῶν ἁγίων Γραφῶν συνεθισθέντες καὶ τῇ δυνάμει τοῦ Θεοῦ πεποιθότες ὁμολογοῦμεν καὶ πιστεύομεν, ὅτι τὰ παρὰ ἀνθρώποις ἀδύνατα «παρὰ τῷ» ἐπαγγειλαμένῳ Θεῷ «πάντα δυνατὰ»[1] τυγχάνει, τί ἄπιστον κρίνετε, εἰ ὁ Θεὸς νεκροὺς ἐγείρει, καθὼς ἐν ταῖς Πράξεσιν εἴρηται; Εἰ γὰρ νεκροὺς ἐγείρει, καὶ πάθη κακίας τῶν ἄκρως ἐν πάσαις ἀρεταῖς ἀγωνιζομένων καὶ εἰλικρινῶς καὶ ὁλοκλήρως πιστευόντων ἐκριζοῦν <οὐκ> ἀδυνατεῖ· οὐδὲν γὰρ ἀδύνατον «παρὰ τῷ Θεῷ»[2]. Πᾶν γὰρ ἐπαγγελθὲν ἐν ταῖς θείαις Γραφαῖς ὑπὸ τοῦ Πνεύματος ῥῆμα οὐ παραλογισθήσεται κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Κυρίου· «Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι»[3] καὶ ἀλλαχοῦ· «Τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα»[4]. Ἀνθρωπίνῃ μὲν γὰρ ἰσχύι δι' ἀκροτάτης ἀσκήσεως καὶ σπουδῆς καὶ ἀγῶνος ἀνακόπτεσθαι εἰς τὸ μὴ ἐξεργάζεσθαι πάθη μιαρὰ τὰ συνόντα τῇ ψυχῇ καὶ τῷ σώματι οὐ δυνατὸν ἐκκόπτεσθαι δὲ καὶ ἐκριζοῦσθαι παντελῶς τὰ ἐπισπαρέντα τῇ τῶν ἀνθρώπων φύσει ὑπὸ τοῦ ἐχθροῦ τῶν παθῶν ζιζάνια τοῖς ἀληθῶς **298** πιστεύουσι τῇ τοῦ Θεοῦ δυνάμει μόνον δυνατόν. «Ἰδοὺ» γάρ, φησίν, «ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[5]· καὶ «Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου ἐστέ, καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς»[6] ἀλλὰ καὶ τὸ «Ὁ Θεὸς» συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει»[7] καὶ τὰ τούτοις ὅμοια τὰ προειρημένα ὑπὸ τοῦ Πνεύματος ῥήματα τὴν τῶν παθῶν παντελῆ ἀπολύτρωσιν τοῖς διὰ πίστεως καὶ ἀγῶνος ὁλοτελῶς ἑαυτοὺς τῷ Θεῷ ἀφιερώσασιν ἐπαγγέλλεται.

Μ'. Τοὺς γὰρ ἀδύνατον ἡγουμένους τὴν κατόρθωσιν ταύτην διὰ τοῦ Πνεύματος ἐν ἀνθρώποις γίνεσθαι, ἥτις ἐστὶν ἡ ὄντως «καινὴ κτίσις»[8] τῆς καθαρᾶς καρδίας, διαρρήδην ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ ὁ ἀπόστολος ἀποδείκνυσιν ὁμοίους εἶναι τοῖς διὰ ἀπιστίαν εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσελθεῖν μὴ καταξιωθεῖσι, διὰ τοῦτο τῶν κώλων αὐτῶν ἐν τῇ ἐρήμῳ πεπτωκότων[9] ὅπερ γὰρ ἐκεῖ ἐπαγγελίας γῆ[10] καὶ ἑπτὰ ἐθνῶν καθαίρεσις[11] εἰς τὸ προφανές, τοῦτο ἐνταῦθα παθῶν ἀπολύτρωσις καὶ ἀγάπη «ἐκ καθαρᾶς καρδίας καὶ συνειδήσεως ἀγαθῆς καὶ πίστεως ἀνυποκρίτου»[12] κατὰ τὸ κρυπτόν, ὅπερ ὁ ἀπόστολος τέλος πάσης ἐντολῆς εἶναι ἀπέδειξεν· ἥτις ἐστὶν ἡ ὄντως ἀληθινὴ τῆς ἐπαγγελίας γῆ[13], δι' ἣν καὶ πάντα ἐκεῖνα διὰ Μωϋσέως τυπικῶς ὑποδείκνυ-

---

1. Πρβλ. Λουκ. 18,27. 2. Πρβλ. Λουκ. 1,37. 3. Ματθ. 24,35. 4. Α' Πέτρ. 1,25. 5. Ἰω. 1,29. 6. Ἰω. 8,31. 7. Ρωμ. 16,20. 8. Πρβλ. Β' Κορ. 5,17. 9. Πρβλ. Ἑβρ. 3,17. 10. Πρβλ. Ἑβρ. 11,9. 11. Πρβλ. Πράξ. 13,19. 12. Α' Τιμ. 1,5. 13. Πρβλ. Ἑβρ. 11,9.

ται. Εἰ γὰρ καὶ τῶν ἀκροτάτων τοῦ χριστιανισμοῦ μέτρων οὐκ ἐφηψάμεθα διὰ τὴν ἡμετέραν χαύνωσιν ἢ ἀμέλειαν, ἀλλ' οὖν γε τὴν τοῦ Θεοῦ ἄμετρον εἰς ἀνθρώπους ἀγαθότητα διὰ τῶν ἐπηγγελμένων ὑπὸ τοῦ Πνεύματος ῥημάτων ὁμολογεῖν ἡμᾶς καὶ κηρύσσειν ὡς εὐγνώμονας δούλους χρὴ καὶ ἀληθῆ καὶ βέβαια καὶ πιστὰ ἡγεῖσθαι τὰ ἐπαγγελθέντα τοῖς ὁλοτελῶς ἑαυτοὺς τῷ Θεῷ ἐκδεδωκόσιν, **299** ἵνα κἂν διὰ νωθρείαν προαιρέσεως ἢ ἀσθενείας παντελῶς ἑαυτοὺς τῷ Θεῷ μὲν ἀφιερώσαντες τῶν μεγάλων καὶ τελείων τοῦ χριστιανισμοῦ μέτρων ἐπὶ πολὺ τύχωμεν ἐλαττούμενοι, ἀλλ' ὅμως κἂν ἐλέους τινὸς διὰ τὴν πίστιν τοῦ ὀρθοῦ φρονήματος τυχεῖν δυνηθῶμεν καὶ μὴ ὡς ἀντιταξάμενοι τοῖς διδάγμασι τοῦ Πνεύματος καὶ ἀπειθεῖς εὑρεθέντες ἐκτὸς τῆς αἰωνίου ζωῆς γενώμεθα.

ΜΑ'. Ἐπιστηρίζων γὰρ ὁ μακάριος Παῦλος καὶ ἀσφαλιζόμενος τοὺς αὐτοῦ μαθητάς, ἵνα μὴ ἐν τοιούτῳ φρονήματι εὑρεθῇ τις αὐτῶν, φησί· «Βλέπετε, ἀδελφοί, μήποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος»[1]· τὸ δὲ ἀποστῆναι οὐχὶ τὸ ἀρνήσασθαι τὸ ὄνομα ἐγνώρισεν, ἀλλὰ τὸ ἀπιστῆσαι ταῖς ἐπαγγελίαις αὐτοῦ ἀπέδειξεν, ὅθεν ἀλληγορῶν εἰς τὴν τῶν Χριστιανῶν ἀλήθειαν τὰ τυπικὰ τῶν Ἰουδαίων καὶ ὑποδεικνὺς τὴν ἐκείνων ἀπείθειαν πρὸς <τὴν> ἡμετέραν ἀσφάλειαν ἐπιφέρει λέγων «Τινὲς γὰρ ἀκούσαντες παρεπίκραναν, ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωϋσέως. Τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη; Οὐχὶ τοῖς ἁμαρτάνουσιν, ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ; Τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι; Καὶ βλέπομεν ὅτι οὐκ εἰσῆλθον διὰ ἀπιστίαν»[2]· καὶ ἐπάγει· Βλέπετε «μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι· καὶ γὰρ ἐσμὲν εὐηγγελισμένοι καθάπερ κἀκεῖνοι· ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους μὴ συνεδρασμένους τῇ πίστει τοῖς ἀκούσασιν· εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες»[3]. Χριστιανῶν γὰρ ἀληθινῶν κατάπαυσις ἡ τῶν παθῶν τῆς ἁμαρτίας ἀπολύτρωσις καὶ ἡ τοῦ Ἁγίου Πνεύματος πληρεστάτη ἐν καθαρᾷ καρδίᾳ **300** καὶ ἐνεργὴς ἐνοίκησις. Διὸ προβὰς ἐπιφέρει· «Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν»[4]· τοῦτ' ἔστιν ἀγωνιζόμενοι ἐν πάσαις ταῖς τῶν ἐντολῶν ἀρεταῖς, πιστεύοντες τοῦ ἁγιασμοῦ τοῦ πνεύματος τελείως καταξιοῦσθαι· καί· Ἵνα μὴ ἐν τῷ αὐτῷ ὑποδείγματι πέσῃ τις τῆς ἀπειθείας. Διὸ παραθαρρύνων καὶ εἰς πίστιν ἀναζωπυρῶν τὰς προαιρέσεις αὐτῶν φησι. «Προσερχώμεθα οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν»[5]· καὶ πάλιν· «Προσερχώμεθα οὖν μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐρραντισμένοι» ἤτοι κεκαθαρμένοι

1. Ἑβρ. 3,12. 2. Ἑβρ. 3,16-19. 3. Ἑβρ. 4,1-3. 4. Ἑβρ. 4,11. 5. Ἑβρ. 4,16.

«τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς»[1] καὶ πάλιν· «Πόσῳ μᾶλλον τὸ αἷμα τοῦ» Ἰησοῦ καθαρίσει τὴν συνείδησιν ὑμῶν «ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ»[2]· καὶ τὰς λοιπὰς δὲ ἀναλεξάμενοι ἐκ τῶν ἁγίων Γραφῶν μαρτυρίας εὕροιτε ἂν παμπόλλας τούτῳ τῷ σκοπῷ εἰρημένας.

ΜΒʹ. Ἀποδέδεικται τοίνυν ἐκ πάντων πλουσίως τοῖς εὐγνωμόνως τοῖς λόγοις τοῦ Πνεύματος πειθομένοις, ὅτι χρὴ τὸν ἐν ἀληθείᾳ προσεληλυθότα Θεῷ, ἐν ὅλῃ καρδίᾳ πιστεύοντα ταῖς ἐπαγγελίαις αὐτοῦ καὶ «πάσῃ δυνάμει»[3] ἐν ταῖς ἐντολαῖς αὐτοῦ ἀγωνιζόμενον καὶ ἡμέραν ἐξ ἡμέρας τὸν νοῦν ἀνακαινούμενον, προκοπῆς πνευματικῆς χάριν αἰσθέσθαι ἐν ἑαυτῷ· ἵν' οὕτως καταντῆσαι δυνηθῶμεν εἰς τὴν ἀληθινὴν τοῦ τελείου ἁγιασμοῦ κατάπαυσιν, τοῦτ' ἔστι φθάσαι εἰς τὴν τελείαν ἀγάπην τῆς υἱοθεσίας τοῦ προσκυνητοῦ Πνεύματος, δι' οὗ καὶ τὴν παντελῆ τῶν παθῶν ἀπαλλαγὴν κτήσασθαι δυνάμεθα· καὶ οὕτως ψυχῇ καὶ σώματι ὁλοτελῶς ἀπεντεῦθεν ἁγιασθέντες καὶ ἄσπιλοι καὶ ἄμωμοι διὰ τοῦ Πνεύματος καταρτισθέντες καὶ τὸν ἐπουράνιον τῆς τελείας χάριτος θησαυρὸν «ἐν τοῖς ὀστρακίνοις» ἡμῶν τοῦ σώματος «σκεύεσιν»[4] ἐν πάσῃ πληροφορίᾳ ἐντεῦθεν κομισάμενοι καὶ Θεοῦ οἰκητή**301**ριον καθαρὸν γενόμενοι, ἐν τῇ μελλούσῃ τῆς ἀναστάσεως ἡμέρᾳ τῆς βασιλείας τελείως Χριστῷ συνδοξασθέντες καὶ σύμμορφοι «τῷ σώματι τῆς δόξης αὐτοῦ» καταξιωθέντες γενέσθαι[5] σὺν αὐτῷ ἐν ἀναπαύσει ἀνεκλαλήτῳ ἀναπαυσώμεθα εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων· ἀμήν.

ΤΩ ΘΕΩ ΔΟΞΑ

1. Ἑβρ. 10,22. 2. Ἑβρ. 9,14. 3. Πρβλ. Κολ. 1,11. 4. Πρβλ. Βʹ Κορ. 4,7. 5. Πρβλ. Φιλιπ. 3,21.

ΠΡΑΓΜΑΤΕΙΑΙ Ἢ ΛΟΓΟΙ ΑΣΚΗΤΙΚΟΙ *

ΠΕΡΙ ΦΥΛΑΚΗΣ ΚΑΡΔΙΑΣ

[821] Α΄. Πῶς δύναται λέγειν ὁ τυχών, ὅτι νηστεύων καὶ ξενιτεύων καὶ ψωμίζων μου τὰ ὑπάρχοντα ἅγιός εἰμι; Ἅγιός ἐστιν, οὐ καθαρθεὶς τὸν ἔσω ἄνθρωπον; [824]** Οὐ γὰρ ἡ ἀποχὴ τῶν κακῶν ἐστιν ἡ κάθαρσις, ἀλλ᾽ ἡ κατὰ συνείδησιν τελεία κάθαρσις. Εἴσελθε γάρ, ὦ οὗτος, διὰ τῆς τῶν λογισμῶν σου ἐπιτάσεως πρὸς τὸν αἰχμάλωτον καὶ δοῦλον τῆς ἁμαρτίας νοῦν σου καὶ ἴδε τὸν κατώτερον τοῦ νοῦ καὶ βαθύτερον τῶν λογισμῶν εἰς τά τε λεγόμενα ταμιεῖα τῆς ψυχῆς σου τὸν ἕρποντα καὶ ἐμφωλεύοντα ὄφιν, τὸν φονεύσαντά σε διὰ τῶν καιριωτέρων τῆς ψυχῆς σου μελῶν· ἄβυσσος γάρ ἐστιν ἀκατάληπτος ἡ καρδία· καὶ ἐὰν τοῦτον φονεύσῃς, καύχησαι τῷ Θεῷ περὶ καθαρότητος· εἰ δὲ μή, ταπεινωθεὶς ὡς ἐνδεὴς καὶ ἁμαρτωλὸς ὑπὲρ τῶν κρυφίων σου δεόμενος τοῦ Θεοῦ.

Β΄. Ὁ ἀληθινὸς θάνατος ἔνδοθεν ἐν τῇ καρδίᾳ κέκρυπται καὶ ὁ ἄνθρωπος ἔσω νενέκρωται. Εἴ τις οὖν «μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν»[1] ἐν τῷ κρυπτῷ, οὗτος ἀληθῶς εἰς τοὺς αἰῶνας ζῇ καὶ οὐκ ἀποθνήσκει· ἀλλ᾽ εἰ καὶ τὰ σώματα τῶν τοιούτων λύεται πρὸς καιρόν τινα, ἀλλ᾽ οὖν ἡγιασμένα τέ εἰσι καὶ ἐγείρονται σὺν δόξῃ[2]· διὸ καὶ ὕπνον λέγομεν τὴν κοίμησιν τῶν ἁγίων.

Γ΄. Ὅλος ὁ ἀγὼν τοῦ ἀντικειμένου οὗτός ἐστιν, ἵνα δυνηθῇ τὸν νοῦν ἡμῶν ἀπὸ τῆς πρὸς Θεὸν μνήμης καὶ ἀγάπης ἐκσπᾶσαι, δελεάσμασι γηΐνοις χρώμενος, καὶ ἀπὸ τοῦ ὄντος καλοῦ παρεκτρέπων ἐπὶ τὰ δοκήσει, ἀλλ᾽ οὐκ ὄντως καλά. Πᾶν γὰρ ὃ ἐὰν ποιῇ ἄνθρωπος καλόν, σπιλοῦν καὶ μιαίνειν ὁ πονηρὸς βούλεται καὶ τὴν ἰδίαν ἐπισπορὰν τῆς κενοδοξίας ἢ ὀνήσεως τῇ ἐντολῇ συμμίγειν ἀγωνίζεται· ἵνα μὴ διὰ Θεὸν καὶ μόνον κατὰ προθυμίαν ἀγαθὴν τὸ γινόμενον ἀγαθὸν γένηται.

Δ΄. Τί οὖν; ἡμεῖς οἱ μηδόλως εἰς τὴν καρδίαν εἰσελθόντες, πῶς ἀρξώμεθα; Διὰ νηστείας καὶ προσευχῆς ἔξω ἑστῶτες κρούομεν, καθὼς ὁ Κύριος ἐκέλευσεν εἰπών· «Κρούετε καὶ ἀνοιγήσεται ὑμῖν»[3]. Ἐὰν γὰρ ἐμμείνωμεν τῷ λόγῳ τοῦ Κυρίου καὶ τῇ πτωχείᾳ καὶ τῷ ταπεινῷ φρονήματι καὶ πάσαις ταῖς τῶν ἐντολῶν ἀρεταῖς νυκτὸς καὶ ἡμέρας κρούοντες εἰς τὴν πνευματικὴν τοῦ Κυρίου θύραν, δυνησόμεθα τυχεῖν

---

* Κατὰ τὴν ἔκδοσιν J. - P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 34, στ. 821-968.

** Οἱ ἀριθμοὶ παραπέμπουσιν εἰς τὰς στήλας τῆς ἐκδόσεως J. - P. Migne.

1. Ἰω. 5,24. 2. Πρβλ. Α΄ Κορ. 15,43. 3. Ματθ. 7,7. Λουκ. 11,9.

τοῦ ζητουμένου. Διὰ ταύτης γὰρ τῆς θύρας δύναται ἀπολυτρώσεως τυχεῖν πᾶς ὁ βουλόμενος φυγεῖν τοῦ σκότους. Εὑρίσκει γὰρ ἐκεῖ τὴν ἐλευθερίαν τῆς ψυχῆς καὶ ἀπολαμβάνει τοὺς λογισμοὺς αὐτῆς καὶ κτᾶται τὸν ἐπουράνιον βασιλέα Χριστόν.

Ε'. Ὅταν ὁ νοῦς ἐπιλάθηται τῆς νοερᾶς καὶ εὐσεβοῦς θλίψεως τότε καὶ τῶν ἐντολῶν ἐπελάθετο· καὶ ὅθεν ἂν δοκῇ τρέχειν, παρεκτρέπεται τῆς λείας καὶ σκολιάζων πολιτεύεται. Διὰ τοῦτο συναντᾷ θηρίοις. Εἰ γὰρ μὴ τὸν τῆς εὐχῆς καὶ ἐλπίδος κόπον ἐκκόπτομεν, οὐκ ἂν ἐπλημμελήσαμεν· τοῖς γὰρ περὶ ψυχῆς θλι[825]βομένοις λέγει ἡ Γραφή· «Πιστὸς ὁ Θεός, οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε»[1]· ἀπαιδεύτοις δὲ συναντῆσαι κακά[2].

Ϛ'. Ὥσπερ οἱ ἔξω ὀφθαλμοὶ βλέπουσι μακρόθεν τὰς ἀκάνθας καὶ τοὺς κρημνούς, οὕτω καὶ ὁ προβλεπτικὸς νοῦς προβλέπει ταχὺς ὢν τῆς ἀντικειμένης δυνάμεως τὰς τέχνας καὶ τὰς ἐπισκευὰς καὶ ἀσφαλίζεται τὴν ψυχήν, ὡς ὀφθαλμὸς ὢν αὐτῆς.

Ζ'. Ἀγῶνος πολλοῦ καὶ πόνου κρυπτοῦ καὶ ἀοράτου χρεία, λογισμῶν ἔρευναν ποιεῖσθαι καὶ τὰ ἠσθενηκότα τῆς ψυχῆς ἡμῶν «αἰσθητήρια γυμνάζειν πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ»[3]· δεῖ πάντοτε καὶ ἀναζωπυρεῖν διὰ τοῦ νοὸς πρὸς Θεὸν ἐπείξεως τὰ ἐξησθενηκότα τῇ ψυχῇ μέλη· τοῦ νοῦ ἡμῶν προσκαλουμένου μετὰ τοῦ Κυρίου πάντοτε, ἵνα γένηται εἰς ἓν πνεῦμα»[4] κατὰ τὸ λόγιον Παύλου. Τοῦτον δὲ τὸν κρυπτὸν ἀγῶνα καὶ μελέτην Κυρίου καὶ πόνον νυκτὸς καὶ ἡμέρας ἔχειν ἡμᾶς χρὴ εἰς πᾶσαν ἐπιτήδευσιν ἐντολῆς εἴτε εὐχομένων εἴτε ἐσθιόντων ἢ διακονούντων ἢ πινόντων ἢ ἕτερόν τι ποιούντων, ἵνα πᾶν ὃ γίνεται ἀγαθὸν ἐπιτήδευμα εἰς δόξαν Θεοῦ[5] γένηται. Ἁγιάζεται γὰρ καὶ ἡ τῶν ἐντολῶν πᾶσα ἀκολουθία· καὶ καθαρῶς ὑφ' ὑμῶν ἐπιτελεῖται, διὰ τῆς ἀδιαλείπτου μνήμης τοῦ Θεοῦ καὶ φόβου καὶ ἀγάπης τῆς πρὸς Θεὸν καὶ γινόμεθα ἐκτὸς ἀπὸ τοῦ μιαίνοντος τὰς ἐντολὰς τοῦ Θεοῦ.

Η'. Καὶ γὰρ ὁ πατριάρχης Ἀβραὰμ ἐκ τῶν ἀκροθινίων τῷ ἱερεῖ τοῦ Θεοῦ Μελχισεδὲκ προσήνεγκε καὶ οὕτως τὴν εὐλογίαν ἐδέξατο παρ' αὐτοῦ[6]. Τί δ' ἄλλο διὰ τούτων αἰνίττεται τὸ Πνεῦμα, ἀλλ' ἢ ὑψηλοτέραν θεωρίαν ἐμφαίνων που, τὰ ἄκρα καὶ τὰ ὀστᾶ τοῦ ὅλου συγκρίματος τῆς φύσεως ἡμῶν; τοῦτ' ἔστιν, αὐτὸν τὸν νοῦν, αὐτὴν τὴν συνείδησιν, αὐτὴν τὴν διάθεσιν, αὐτὸν τὸν λογισμόν, αὐτὴν τῆς ψυχῆς τὴν ἀγαπητικὴν δύναμιν, τὴν ἀπαρχὴν τοῦ ὅλου ἡμῶν ἀνθρώπου τῷ Θεῷ πρότερον κομίζειν δεῖν πάντοτε, τὴν τῆς καρδίας ἱερὰν θυσίαν· τὰ ἀκροθίνια καὶ τὰ ἄκρα τῶν ἀγαθῶν λογισμῶν εἰς τὴν αὐτὴν μνήμην καὶ μελέτην διὰ παντὸς ἀπασχολοῦντος. Καὶ οὕτως δυνάμεθα ὁσημέραι τὴν αὔξησιν καὶ προκοπὴν λαμβάνειν βοηθούμενοι

---

1. Α' Κορ. 10,13. 2. Πρβλ. Δευτ. 31,29. 3. Πρβλ. Ἑβρ. 5,14. 4. Πρβλ. Α' Κορ. 6,17. 5. Πρβλ. Α' Κορ. 10,31. 6. Πρβλ. Γεν. 14,18. 19.

ὑπὸ τῆς θείας χάριτος καὶ τὸ φορτίον τῆς δικαιοσύνης τῶν ἐντολῶν, ἐλαφρὸν ἡμῖν καταφανήσεται, καθαρῶς καὶ ἀμώμως ταύτας ἐπιτελοῦντες, συνεργούμενοι ὑπ' αὐτοῦ τοῦ Κυρίου διὰ τῆς πρὸς αὐτὸν ἡμῶν πίστεως. Περὶ δὲ τῆς φαινομένης ἀσκήσεως καὶ ποῖον ἀγαθὸν ἐπιτήδευμα μεῖζον καὶ πρῶτον τυγχάνει, τοῦτο γινώσκετε, ἀγαπητοί, ὅτι ἀλλήλων πᾶσαι αἱ ἀρεταὶ κρέμανται καὶ ἀλλήλων συνδέδενται, καὶ ὥσπερ ἱερά τις πνευματικὴ ἅλυσις, μία ἀπὸ μιᾶς ἤρτηται· ἡ εὐχὴ ἀπὸ τῆς ἀγάπης, ἡ ἀγάπη ἀπὸ τῆς χαρᾶς, ἡ χαρὰ ἀπὸ τῆς πραότητος, ἡ πραότης ἀπὸ τῆς ταπεινώσεως, ἡ ταπείνωσις ἀπὸ τῆς διακονίας, ἡ διακονία ἀπὸ τῆς ἐλπίδος, ἡ ἐλπὶς ἀπὸ τῆς πίστεως, ἡ πίστις ἀπὸ τῆς ὑπακοῆς, **[828]** ἡ ὑπακοὴ ἀπὸ τῆς ἁπλότητος. Ὥσπερ καὶ τὸ ἐναντίον, ἐφ' ἑνὸς τὰ κακὰ ἐκδίδονται· τὸ μῖσος ἀπὸ τοῦ θυμοῦ, ὁ θυμὸς ἀπὸ ὑπερηφανίας, ἡ ὑπερηφανία ἀπὸ τῆς κενοδοξίας, ἡ κενοδοξία ἀπὸ τῆς ἀπιστίας, ἡ ἀπιστία ἀπὸ τῆς σκληροκαρδίας, ἡ σκληροκαρδία ἀπὸ τῆς ἀμελείας, ἡ ἀμέλεια ἀπὸ τῆς χαυνώσεως, ἡ χαύνωσις ἀπὸ τῆς ὀλιγωρίας, ἡ ὀλιγωρία ἀπὸ τῆς ἀκηδίας, ἡ ἀκηδία ἀπὸ τῆς μικροψυχίας, ἡ μικροψυχία ἀπὸ τῆς φιληδονίας καὶ τὰ λοιπὰ μέρη τῆς κακίας ἀλλήλων εἰσὶν ἐκκρεμάμενα. Οὕτως ἐν τῷ ἀγαθῷ μέρει αἱ ἀρεταί εἰσιν ἀπηρτημέναι. Κεφαλὴ δὲ πάσης ἀρετῆς καὶ κορυφὴ τῶν κατορθωμάτων ἐστὶν ἡ προσευχῆς προσκαρτέρησις, δι' ἧς καὶ τὰς λοιπὰς ἀρετὰς διὰ τῆς παρὰ Θεοῦ αἰτήσεως ὁσημέραι κτᾶσθαι δυνάμεθα.

Θ'. Ἐὰν μὴ ἡ ταπεινοφροσύνη καὶ ἡ ἁπλότης καὶ ἡ ἀγαθότης κατακοσμήσῃ ἡμᾶς, τὸ σχῆμα τῆς εὐχῆς ἡμᾶς οὐδὲν ὠφελήσει. Οὐ μόνον δὲ περὶ τῆς εὐχῆς λέγομεν, ἀλλὰ καὶ περὶ παντὸς καμάτου ἢ πόνου ἢ παρθενίας ἢ εὐχῆς ἢ οἱουδήποτε καμάτου καὶ ἐργασίας ἀρετῆς ἕνεκεν ἐπιτελουμένου· ἐὰν μὴ τοὺς καρποὺς τῆς ἀγάπης καὶ εἰρήνης καὶ χαρᾶς καὶ πραότητος καὶ ταπεινότητος, ἁπλότητός τε καὶ ἀφελότητος, πίστεως καὶ μακροθυμίας, ἀφθόνως ἐν ἑαυτοῖς εὑρίσκομεν, εἰκῇ καὶ μάτην οἱ κάματοι ἡμῶν γεγόνασι· ἡ πᾶσα γὰρ ἐκείνη ἐργασία καὶ οἱ κάματοι διὰ τοὺς καρποὺς γίνεσθαι ὀφείλουσι. Τῶν δὲ καρπῶν τῆς ἀγάπης καὶ εἰρήνης μὴ εὑρισκομένων ἐν ἡμῖν, εἰκῇ καὶ μάτην ἡ ὅλη ἐργασία γίνεται. Οἱ γὰρ χωρὶς τούτων ἐργαζόμενοι κατὰ τὰς πέντε μωρὰς παρθένους[1] ἐν ἡμέρᾳ κρίσεως ἀποδείκνυνται, αἵτινες διὰ τὸ μὴ ἐντεῦθεν ἀποκομίσασθαι ἐν τοῖς τῆς καρδίας ἀγγείοις τὸ πνευματικὸν ἔλαιον, ὅπερ ἐστὶ τῶν προειρημένων ἀρετῶν, μωραὶ ὠνομάσθησαν καὶ τοῦ πνευματικοῦ τῆς βασιλείας νυμφῶνος ἀπεκλείσθησαν. Καὶ ὁ τῆς παρθενίας κάματος διὰ τῶν ἀρετῶν ἔλλειψιν καὶ στέρησιν τῆς ἐναργοῦς ἐνοικήσεως τοῦ Πνεύματος, εἰς οὐδὲν ἐλογίσθη. Ὥσπερ γὰρ ἐν τῇ γεωργίᾳ τῆς ἀμπέλου πᾶσα ἐπιμέλεια καὶ διὰ τὴν τῶν καρπῶν ἀπόλαυσιν γίνεται, καρπῶν δὲ μὴ εὑρισκομένων ἐν τῇ

1. Πρβλ. Ματθ. 25, 8.

ἀμπέλῳ εἰκῇ καὶ μάτην πᾶσα ἐμπόνησις τῆς ἐργασίας γίνεται· οὕτως ἐὰν μὴ διὰ τῆς ἐνεργείας τοῦ Πνεύματος καρποὺς ἀγάπης καὶ εἰρήνης καὶ χαρᾶς καὶ ταπεινώσεως καὶ τῶν λοιπῶν παρὰ τῷ Ἀποστόλῳ ῥηθέντων[1]· ἐν πάσῃ πληροφορίᾳ καὶ αἰσθήσει πνευματικῇ ἐν ἑαυτοῖς ἐπιγνῶμεν, εἰκῇ ὁ τῆς παρθενίας κάματος καὶ εὐχῆς καὶ ψαλμῳδίας, νηστείας τε καὶ ἀγρυπνίας ὁ πόνος εἰς οὐδὲν ἀποδείκνυται. Οὗτοι γὰρ οἱ πόνοι ψυχῆς καὶ σώματος ἐπ' ἐλπίδι πνευματικῶν καρπῶν ἐπιτελεῖσθαι ὀφείλουσιν· ἡ δὲ τοῦ Πνεύματος ἐν ταῖς ἀρεταῖς καρποφορία ἀπόλαυσίς ἐστι πνευματικὴ ἐν ἡδονῇ ἀφθάρτῳ, ἐν καρδίαις πισταῖς, ὑπὸ τοῦ Πνεύματος ἐνεργουμέναις· ἐν πολλῇ γὰρ διακρίσει συνέσεως ἡ ἐργασία καὶ πόνος καὶ κάματοι τῆς φύσεως ἡγείσθωσαν διὰ πίστεως καὶ ἐλπίδος ἀπὸ τοῦ Ἁγίου Πνεύματος τοῖς ἀξίοις ἐνεργούμενοι. Καλόν ἐστιν ἡ νηστεία, ἡ ἀγρυπνία, ἡ ξενιτεία. Ἀλλὰ ταῦτα ἀκμὴ πολιτείας **[829]** ἐστὶν ἀγαθῆς· πλὴν ἡ τάξις τῶν Χριστιανῶν ἐσωτέρα ἐστὶ τούτων καὶ οὐκ ὀφείλει τις ἐπὶ τούτοις τὴν πεποίθησιν ἔχειν καὶ μόνοις. Συμβαίνει δὲ ὅτι εἰσί τινες χάριτος μέτοχοι· καὶ ἡ κακία ἔτι οὖσα τεχνάζεται καὶ παραχωρεῖ ἑκοῦσα καὶ οὐκ ἐνεργεῖ, ἀλλὰ ποιεῖ νομίσαι τὸν ἄνθρωπον, ὅτι ἐκαθαρίσθη ὁ νοῦς αὐτοῦ· καὶ λοιπὸν φέρει αὐτὴν οἴησιν, ὅτι Χριστιανός εἰμι τέλειος καὶ μετὰ ταῦτα, ὅταν νομίσῃ ὁ ἄνθρωπος, ὅτι Ἐλεύθερός εἰμι καὶ ἀμεριμνεῖ, τότε ληστρικῷ τρόπῳ ἔρχεται αὐτῷ ἡ κακία ἔγκρυμμα ποιοῦσα· καὶ πειράζει αὐτὸν καὶ καταφέρει αὐτὸν εἰς τὰ κατώτατα τῆς γῆς. Εἰ γὰρ ἄνθρωποι πολλάκις λησταὶ ὄντες ἢ στρατιῶται κατὰ πολεμίων οἴδασι τεχνάζεσθαι καὶ ὑποκαθέζονται καὶ ποιοῦσιν ἔγκρυμμα καὶ λαμβάνουσι τὰ νῶτα τῶν ἐχθρῶν καὶ περικυκλοῦσιν αὐτοὺς ἀθρόως καὶ ἀποκτείνουσι, πολλῷ μᾶλλον ἡ κακία οὖσα τοσούτων χιλιάδων τοῦτο τὸ ἔργον ἔχουσα, τόσας ἀπολέσασα ψυχάς, οἶδεν οὖν ἔγκρυμμα ποιεῖν ἐν τῇ καρδίᾳ, κατὰ καιροὺς μὴ ἐνεργεῖν, ἵνα ἐνέγκῃ τὴν ψυχὴν εἰς οἴησιν τελειότητος;

Γ΄. Ὁ θεμέλιος τοῦ Χριστιανισμοῦ οὗτός ἐστιν, ἵνα ἂν ποιήσῃ ὁ ἄνθρωπος δικαιοσύνας, μὴ ἐπαναπαύῃ ἐν αὐταῖς καὶ ἔχῃ ἑαυτὸν μέγαν, ἀλλ' ᾖ πτωχὸς τῷ πνεύματι· καὶ ἐὰν γένηται μέτοχος χάριτος, μὴ νομίσῃ ἑαυτὸν κατειληφέναι τι καὶ οἰηθῇ εἶναί τις καὶ ἄρξηται διδάσκειν· ἀλλ' ἵνα ὢν καλῆς ξενιτείας καὶ πολιτείας, νηστεύων πολύ, ξενιτεύων εὐχόμενος, μετέχων χάριτος, μὴ ἡγήσηται τὴν ψυχὴν αὐτοῦ τιμίαν· ἀλλὰ τότε μάλιστα, ὅταν ἀρχὴ χάριτος γένηται, ἵνα ἔχῃ τὸν πόνον, τὴν δίψαν, ἵνα μὴ κεκορεσμένος ἔχῃ ἑαυτὸν δίκαιον ἢ πλούσιον ἐν χάριτι· ἀλλ' ᾖ πενθῶν[2] καὶ δακρύων. Καὶ ὃν τρόπον ἐὰν ᾖ μήτηρ, καὶ ἔχῃ υἱὸν μονογενῆ καὶ παιδεύσῃ αὐτὸν καί, ὅταν γένηται ἀνήρ, συμβῇ αὐτῷ ἀποθανεῖν· καὶ λοιπὸν ὅσοι ἂν ὦσι παραμυθούμενοι τὴν μητέρα, μᾶλλον ἐπεγείρουσιν αὐτῇ τὸ πένθος καὶ ἀπαραμύ-

1. Πρβλ. Γαλ. 5, 22. 2. Πρβλ. Ματθ. 5,4.

θητός ἐστιν· οὕτω χρὴ κλαίειν τὸν Χριστιανὸν τὴν πτῶσιν αὐτοῦ, καὶ ἀδιαλείπτως δακρύειν· πρὸ πάντων δὲ ἔχειν συντετριμμένην τὴν καρδίαν[1].

ΙΑ'. Ὥσπερ εἰ οἶκος βασιλέως ἔχων διαίτας πολλὰς καὶ αὐλὰς διαφόρους καὶ πρόθυρα πολλὰ καὶ ἐσωτέρους οἴκους, ἔνθα μένοι ὁ βασιλεὺς καὶ ἡ πορφύρα καὶ οἱ θησαυροὶ ἀπόκεινται· λοιπὸν ὁ εἰσερχόμενος εἰς τὰς ἐξωτέρας αὐλὰς μὴ νομίσῃ, ὅτι ἤδη εἰς τοὺς ἐσωτέρους οἴκους ἦλθεν, ὅπου ἡ δόξα τοῦ βασιλέως καὶ ἡ πορφύρα καὶ οἱ θησαυροί· οὕτως εἰς τὸ πνευματικόν, οἱ νηστεύοντες, οἱ ἀγρυπνοῦντες, οἱ ψάλλοντες καὶ εὐχόμενοι, μὴ νομίσωσιν, ὅτι εἰσῆλθον εἰς τὴν κατάπαυσιν, ὡς δὲ ἀκμὴν εἰς τὰ πρόθυρα καὶ εἰς τὰς αὐλὰς εἰσέρχονται, οὐχ ὅπου ἡ πορφύρα καὶ οἱ θησαυροί. Οὐκ ὀφείλουσιν οὖν ἀδελφοὶ τῇ ἔξω πολιτείᾳ θαρρεῖν, καὶ λέγειν, ὅτι· Εἰμί τις· εἰ δὲ καὶ χάριτος μέτοχος γένηται, οἰηθῆναι ὡς καταλαβὼν ἢ γενόμενος ἐγγύτατος τοῦ βασιλέως· ἀκμὴν γὰρ εἰς τοὺς ἐξωτέρους οἴκους διατρίβει. Οὐκ ὀφείλει ἐρευ**[832]**νᾶν ἕκαστον, εἰ εὗρεν ἐν τῷ ὀστρακίνῳ σκεύει τὸν θησαυρὸν[2] ἢ ἐνεδύσατο τὴν πορφύραν τοῦ Πνεύματος ἢ εὗρε τὸν βασιλέα, καὶ ἀνεπαύσατο. Ἡ γὰρ ψυχὴ τοιαύτη ἐστίν· ἔχει βάθος τι καὶ μέλη πολλὰ καὶ λοιπὸν ἡ ἁμαρτία ἐπεισελθοῦσα κατέχει αὐτῆς ὅλα τὰ μέλη, καὶ τὰ νοήματα τῆς καρδίας. Εἶτα ἐπιζητοῦντος τοῦ ἀνθρώπου ἔρχεται ἡ χάρις πρὸς αὐτὸν καὶ κατέχει δύο μέλη τῆς ψυχῆς. Ὁ οὖν ἄπειρος παρακαλούμενος τῇ χάριτι, νομίζει ὅτι ἐλθοῦσα ἡ χάρις ὅλα τὰ μέλη τῆς ψυχῆς κατέσχε, καὶ ἐξερριζώθη ἡ ἁμαρτία τότε οὖν πλεῖστον μέρος ὑπὸ τῆς ἁμαρτίας κρατεῖται καὶ ἓν μέρος ὑπὸ τῆς χάριτος, καὶ ὑποκλέπτεται καὶ οὐκ οἶδεν· ἔστι γὰρ ἡ χάρις πολλάκις ἐνεργοῦσα ἀδιαλείπτως, ὃν τρόπον ὁ ὀφθαλμὸς ἐν τῷ σώματι πέπρακται· καὶ ἁμαρτία σύνεστιν ὑποκλέπτουσα τὸν νοῦν· καὶ ὁ ἀδιάκριτος, ὡς ἤδη καταλαβών, οἴεταί τι περὶ αὐτοῦ καὶ τυφοῦται ὡς ἐλευθερωθείς. Οὐχ οὕτως γάρ ἐστι τὰ πράγματα· καθὼς γὰρ εἶπον, ἔγκρυμμα ποιεῖ ὁ Σατανᾶς, εἰς καιροὺς μὴ ἐνεργῶν, ἵνα ποιήσῃ νομίσαι τὸν ἄνθρωπον, ὅτι Εἰμὶ καθαρὸς καὶ τέλειος· μὴ ὁ φυτεύων ἀμπελῶνα εὐθέως λαμβάνει σταφυλὴν ἢ γεωργεῖ οἶνον, καὶ ὁ σπείρων τὸ σπέρμα ἐν τῇ γῇ, ἤδη ἐθέρισε καὶ ἔλαβε καρπούς, καὶ τὸ γεννώμενον παιδίον εὐθέως δύναται εἰς ἄνδρα τέλειον ἐλθεῖν ἢ στρατευόμενος τήρων ἤδη ἐγένετο ἀξιωματικός; Χρὴ γὰρ αὐτὸν πρῶτον κοπιάσαι, καὶ εἰσελθόντα πόλεμον λαβεῖν τὰ νικητήρια καὶ στεφανωθῆναι.

ΙΒ'. Καλὸν οὖν ἐστιν ἡ ἀκτημοσύνη καὶ ἡ ψαλμῳδία, καὶ ἡ νηστεία καὶ ἡ ἀγρυπνία, καὶ τὸ λαβεῖν χάριν Θεοῦ· ὁ δὲ ἀκμὴν οὔπω ἤρξατο ὡς δεῖ σκάπτειν καὶ τιθέναι θεμέλιον. Καὶ ἐν τοιούτοις ὁ νοῦς δεῖ ἀνεπίληπτος εἶναι μέτοχος χάριτος· λοιπὸν οἴεται περὶ αὐτοῦ, καὶ ἔχει τιμίαν τὴν ψυχήν. Ἀπόβλεψον εἰς τὸν Ἰησοῦν, ἀπὸ ποίας

---

1. Πρβλ. Ψαλ. 50,19. 2. Πρβλ. Β' Κορ. 4,7.

δόξης Υἱὸς Θεοῦ καὶ Θεὸς ὤν, εἰς ποῖα πάθη καὶ σταύρωσιν ἦλθε. Διὰ ταύτην οὖν τὴν ταπεινοφροσύνην ὑπερυψώθη ἐν δεξιᾷ τοῦ Πατρὸς καθεσθείς[1]· καὶ ὁ ὄφις ἐξ ἀρχῆς ὑπέσπειρε τῷ Ἀδὰμ ὕψωμα, ὅτι «Ὡς Θεὸς γίνῃ»[2]· διὰ ταύτης τῆς ὑψηλοφροσύνης εἶδες οὖν εἰς ὁποίαν ἀτιμίαν κατῆλθε τὸ γένος τοῦ Ἀδάμ. Ἐπιζητῶ δὴ ἄνθρωπον πτωχὸν τῷ πνεύματι[3], καὶ οὐχ εὑρίσκω· ὥσπερ ἵνα ᾖ τις πλούσιος ἔχων ἐν τῷ οἴκῳ αὐτοῦ θησαυρούς, καὶ ᾖ ἐπιδεόμενος καὶ πτωχὸς καὶ παρὰ πάντων ζητῇ. Οὕτως εἰσὶ Χριστιανοὶ ἔχοντες χάριν, πλούσιοι εἰς Θεόν, πτωχοί εἰσι τῷ πνεύματι[4], ὡς μηδὲν ἔχοντες· εἰσὶ πρὸς λόγον ἑκατὸν λίτραι χρυσίου ἃς ὀφείλει κτήσασθαι· ὁ λαβὼν πέντε λίτρας ἐκορέσθη. Εἰσὶ δέ τινες πρὸς λόγον δέκα οὐγκίας ἔχοντες τῆς χάριτος καὶ ποιοῦσιν αὐτὰς ἑκατόν, καυχώμενοι. Καὶ εἰσὶ πολλάκις πέντε οὐγκίας ἔχοντες τῆς ἁμαρτίας, **[833]** καὶ ποιοῦσιν αὐτὰς ἡμιούγκια· τοῦτο δὲ αὐτοῖς συμβαίνει ἢ κατ' ἄγνοιαν, ὅτι ἐν αὐτῇ τῇ χάριτι ὑποκλεπτόμενοι οὐκ οἴδασιν ἢ κατὰ κενοδοξίαν, αἰσχυνόμενοι εἰπεῖν ἔτι ἐνεργεῖ τὸ κακόν· ἤδη γὰρ κηρύττουσιν εἶναι ἑαυτοὺς τελείους. Τὸ δὲ δίκαιον δεῖ ποιεῖν καὶ λέγειν τὸν ἄνθρωπον· καὶ τὰ τῆς χάριτος ὁμολογεῖν, καὶ τὴν ἐνέργειαν τῆς ἁμαρτίας. Ψεύδεται γὰρ ὁ τοιοῦτος καθαρὰν λέγων ἔχειν τὴν καρδίαν· οὐχ οὕτως γάρ ἐστι τὰ πράγματα, ὡς ἅμα τὴν χάριν ἐπιδημῆσαι ἤδη καθαρὸν γενέσθαι τὸν ἄνθρωπον· παραδέδονται γὰρ τοῖς πολεμίοις καὶ τοῖς πειρατηρίοις εἰς γυμνασίαν καὶ παίδευσιν, ὃν τρόπον καὶ ὁ Ἰὼβ τῷ πειρασμῷ. Συνεργεῖ γὰρ τὸ κακὸν τῷ ἀγαθῷ ,προαιρέσει οὐ καλῇ· τὸν δὲ Χριστιανὸν δεῖ πέντε οὐγκίας τῆς ἁμαρτίας ἔχοντα, λέγειν, ὅτι· Εἴκοσιν ἔχω, καὶ πεπληρωμένος εἰμὶ τοῦ κακοῦ. Καὶ ἔχοντα πρὸς λόγον οὐγκίας εἴκοσι τοῦ ἀγαθοῦ, λέγειν, ὅτι· Ἡμιούγκιον ἔχω. Εἰ δὲ τοῦτο κατὰ κενοδοξίαν αἰσχύνεται εἰπεῖν, τὸ δίκαιον γοῦν εἰπάτω. Ὁμολογησάτω μὲν καὶ τὴν ἐνέργειαν τῆς χάριτος· ὁμολογησάτω δὲ καὶ τὴν ἁμαρτίαν ἐν μέρει. Καθὼς οὖν προεῖπον περὶ τῆς ψυχῆς, ὅτι ἔχει βάθος, ὑποδείγμασι χρώμεθα διαγράφοντας αὐτῆς τὰ μέλη. Ὥσπερ, ἵνα ᾖ ἥλιος καὶ ὦσιν ἐξ αὐτοῦ ἀκτῖνες πολλαί· ἢ ἵνα ᾖ δένδρον ὑψηλὸν καὶ ἔχῃ κλάδους· ἢ ἵνα ᾖ πόλις μεγάλη, καὶ ἔχῃ γείτονας πολλάς· οὕτως ἐστὶν ἡ νοερὰ οὐσία, ἡ ἀθάνατος ψυχή, κάλλος τίμιον ὑπὲρ πάντα τὰ δημιουργήματα, εἰκὼν καὶ ὁμοίωμα Θεοῦ. Λοιπὸν ἐλθοῦσα ἡ χάρις, εἰς δύο ἀκτῖνας τῆς ψυχῆς ἐπιλάμπει· ἢ ἀπὸ ὅλου τοῦ δένδρου εἰς κλάδους δύο ἢ ἀπὸ πάσης τῆς πόλεως εἰς δύο γειτονίας. Ἔτι δὲ τὰ πλείονα μέρη τῆς ψυχῆς κατέχεται ἀπὸ τῆς ἁμαρτίας· καὶ νομίζει ὅτι ὅλη δι' ὅλου, τοῦ ἀγαθοῦ μέρους καὶ τῆς χάριτος καὶ τῆς λαμπρότητος γέγονε· πρὸς λόγον πέντε λίτρας χρυσίου κτησάμενος, δοκεῖ αὐτῷ ὅτι ἑκατὸν λίτρας ἐκτήσατο· μὴ τὸ ἔμβρυον ἐν τῇ μήτρᾳ ἤδη γέγονεν ἄνθρωπος; Ἢ ὅτι

---

1. Πρβλ. Μάρκ. 16,19. Ἑβρ. 12,2. 2. Πρβλ. Γεν. 3,5. 3. Πρβλ. Ματθ. 5,3. 4. Αὐτόθι.

θεὶς ἕνα λίθον τοῦ θεμελίου, ἤδη ἐτελείωσε τὸ οἰκοδόμημα; Ἢ ὁ σπόρος ὁ χωσθεὶς ἐπὶ τῆς γῆς, ἤδη ἐγένετο στάχυς; Μὴ ὁ πραγματευόμενος ἅμα τοῦ ἄρξασθαι τῆς πραγματείας, ἤδη ἐπλήρωσε τὴν ἀποθήκην; Καὶ ὁ μετέχων χάριτος μικρᾶς, παρὰ τοῦτο γέγονε Χριστιανός; Ἀκμὴν οἱ πρῶτοι καὶ οἱ μεγάλοι οὕτως εἰσὶ πρὸς τελειότητα, ὡς ὁ ὀφφικιάλιος πρὸς ἡγεμόνα· ἢ ὡς ῥύαξ μικρὸς πρὸς Εὐφράτην ποταμόν. Ὁ ἔχων πρόθεσιν ἀπελθεῖν εἰς πόλιν μακρὰν τριάκοντα μονῶν, δύο ἢ τρεῖς ἐὰν ἀπέλθῃ, μὴ νομίσῃ ὅτι εἰσῆλθεν εἰς τὴν πόλιν· ἐπειδὴ οὐχ ἡ ἐναντία δύναμις προτρεπτική ἐστιν, οὐκ ἀναγκαστική· καὶ θεία χάρις προτρεπτική ἐστι διὰ τὸ αὐτεξούσιον καὶ λιτὸν τῆς φύσεως, λοιπὸν ἐὰν ποιήσῃ κακὰ ὁ ἄνθρωπος προτρεπόμενος ὑπὸ τοῦ Σατανᾶ, οὐ κρίνεται ἀντ' αὐτοῦ ὁ Σατανᾶς· ἀλλ' αὐτὸς ὁ ἄνθρωπος τιμωρεῖται καὶ κολάζεται, ὡς ὑπήκοος γεγονὼς τῆς κακίας ἰδίῳ θελήματι. Ὁμοίως καὶ ἐὰν τραπῇ ὁ ἄνθρωπος εἰς τὸ ἀγαθόν, καὶ περιγένοιτο χάρις Θεοῦ, οὐκ ἐπιγράφει τὸ ἀγαθὸν ἑαυτῇ ἡ χάρις, ἀλλ' ἀποδίδωσι τῷ ἀνθρώπῳ καὶ δοξάζει αὐτόν· ἐπειδὴ ἑαυτῷ ἐγίνετο ὁ ἄνθρωπος αἴτιος **[836]** τοῦ ἀγαθοῦ· αὐτῆς γάρ ἐστι τῆς φύσεως οὗτος· καὶ οὐχ οἷον ἐρχομένη ἡ χάρις πρὸς αὐτὸν ἀναγκαστικῇ δυνάμει δεσμεῖ αὐτοῦ τὸ θέλημα, καὶ λοιπὸν ἑκόντα καὶ ἄκοντα ποιεῖ αὐτὸν ἄτρεπτον ἀγαθοῦ, ἀλλὰ παραχωρεῖ τῷ αὐτεξουσίῳ καὶ συνοῦσα ἡ θεία δύναμις, ἵνα ἀποδειχθῇ τὸ θέλημα τοῦ ἀνθρώπου, εἰ τιμᾷ τὴν ψυχὴν ἢ οὐ τιμᾷ· εἰ συμφωνεῖ ἢ οὐ συμφωνεῖ· πολλοὶ γὰρ ἐτίμησαν καὶ συνεφώνησαν. Ἄλλοι δὲ ἐξετράπησαν. Λέγει γὰρ ὁ Ἀπόστολος· «Ἐναρξάμενοι πνεύματι· νῦν σαρκὶ ἐπιτελεῖτε»[1]· τῇ γὰρ φύσει νόμος οὐ κεῖται, ἀλλὰ τῇ αὐτεξουσίῳ προαιρέσει δυναμένῃ τραπῆναι ἐπὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν. Διὸ λέγει ὁ Κύριος· «Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν»[2], καὶ ἠθέλησα «εἰ ἤδη ἀνήφθη». Θέλει ὁ Κύριος ἀναφθῆναι τὸ οὐράνιον πῦρ εἰς τὰς καρδίας τῶν ἀνθρώπων καὶ οἱ μὲν θέλουσιν, οἱ δὲ οὐ θέλουσιν· ὁμοίως πάλιν λέγει· «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν ὑμᾶς, ὡς ὄρνις τὰ ἑαυτῆς νοσσία, καὶ οὐκ ἠθελήσατε»[3]; Ὁρᾷς ὅτι ὁ Κύριος θέλει· καὶ αὖ οἱ ἄνθρωποι οὐ θέλουσι προσεγγίσαι τῷ Κυρίῳ καὶ εὑρεῖν ἔλεος.

ΙΓ'. Ὁ βουλόμενος προσελθεῖν τῷ Κυρίῳ καὶ ζωῆς αἰωνίου καταξιωθῆναι καὶ κατοικητήριον Θεοῦ γενέσθαι, καὶ Πνεύματος Ἁγίου καταξιωθῆναι, ἵνα τοὺς καρποὺς αὐτοῦ κατὰ τὰς ἐντολὰς τοῦ Κυρίου δυνηθῇ ἀμώμως καὶ καθαρῶς ποιεῖν, οὕτως ὀφείλει ἐνάρξασθαι. Πρῶτον πιστεῦσαι τῷ Κυρίῳ βεβαίως, καὶ ἐπιδοῦναι ἐξ ὅλου ἑαυτὸν τοῖς λόγοις τῶν ἐντολῶν αὐτοῦ, καὶ ἀποτάξασθαι τῷ κόσμῳ κατὰ πάντα, ἵνα ἐν οὐδενὶ ὅλως τῶν φαινομένων ὁ νοῦς ἀσχολῆται. Καὶ εἰς τὴν εὐχὴν πάντοτε προσκαρτερεῖν αὐτόν, καὶ μὴ ἀπογινώσκειν προσδεχόμενος τοῦ Κυρίου τὴν ἐπίσκεψιν καὶ τὴν βοήθειαν πάντοτε, τὸν σκοπὸν τοῦ νοὸς αὐτοῦ εἰς τοῦτο ἔχων διὰ παντός. Εἶτα βιάζεσθαι χρὴ

1. Γαλ. 3, 3. 2. Λουκ. 12, 49, 3. Ματθ. 23, 37.

ἀεὶ εἰς πᾶν ἀγαθόν, καὶ εἰς πάσας τὰς ἐντολὰς τοῦ Κυρίου, κἂν μὴ θελούσης τῆς καρδίας διὰ τὴν συνοῦσαν αὐτῇ ἁμαρτίαν· οἷον βιάζεσθαι ἑαυτὸν εἰς τὸ ταπεινοφρονεῖν ἐνώπιον πάντων ἀνθρώπων, καὶ ἑαυτὸν πάντων ἐλάττω καὶ χείρονα ἡγεῖσθαι, μὴ ζητῶν τιμὴν ἢ ἔπαινον ἢ δόξαν παρά τινος, καθὼς ἐν τῷ Εὐαγγελίῳ γέγραπται, ἀλλὰ μόνον τὸν Κύριον ἀεὶ πρὸ ὀφθαλμῶν ἔχειν, καὶ τὰς ἐντολὰς αὐτοῦ, αὐτῷ μόνῳ βουλόμενος ἀρέσαι[1]. Εἰς τὴν πραότητα ὁμοίως ἑαυτὸν βιαζέτω, καὶ μὴ θελούσης τῆς καρδίας, ὥς φησιν ὁ Κύριος· «Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν»[2]. Ὁμοίως εἰς τὸ εἶναι ἐλεήμονα, χρηστόν, εὔσπλαγχνον, ἀγαθόν, ὅση δύναμις, ἑαυτὸν ἐθίζειν μετὰ βίας, ὥς φησιν ὁ Κύριος· «Γίνεσθε ἀγαθοὶ καὶ χρηστοί, καθὼς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστί»[3]· καὶ πάλιν φησίν· «Ἐὰν [837] ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσετε»[4]. Καὶ πάλιν· «Βιάζεσθε· βιασταὶ γὰρ ἁρπάζουσι τὴν βασιλείαν τῶν οὐρανῶν»[5]· καὶ τό· «Ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης»[6]. Ἀεὶ δὲ τὴν τοῦ Κυρίου ταπείνωσιν καὶ πολιτείαν καὶ ἀναστροφὴν ἐχέτω πρὸ ὀφθαλμῶν, ὥσπερ ὑπογραμμὸν ἐν πάσῃ μνήμῃ ἀληθαργήτῳ· καὶ ὅση δύναμις βιαζέσθω ταῖς εὐχαῖς προσκαρτερεῖ, διὰ παντὸς δεόμενος καὶ πιστεύων· ἵνα ἐλθὼν ὁ Κύριος ἐνοικήσῃ ἐν αὐτῷ καὶ καταρτίσῃ καὶ δυναμώσῃ αὐτὸν ἐν ταῖς ἐντολαῖς πάσαις αὐτοῦ, καὶ ἵνα ἡ ψυχὴ αὐτοῦ γένηται οἰκητήριον Ἰησοῦ Χριστοῦ· καὶ οὕτως ἃ νῦν μετὰ βίας καὶ μὴ θελούσης τῆς καρδίας ποιεῖ, ἐθίζειν ἑαυτὸν διὰ παντὸς εἰς τὸ ἀγαθὸν καὶ τοῦ Κυρίου ἀεὶ μνημονεύειν καὶ προσδοκᾶν αὐτὸν διὰ παντὸς ἐν πολλῇ ἀγαθότητι καὶ ἀγάπῃ. Τότε θεωρῶν ὁ Κύριος τὴν τοιαύτην αὐτοῦ προαίρεσιν καὶ τὴν ἀγαθὴν σπουδήν, πῶς βιάζει ἑαυτὸν πάντοτε εἰς τὴν μνήμην αὐτοῦ, καὶ εἰς τὸ ἀγαθὸν ἀεί, καὶ εἰς τὴν ταπεινοφροσύνην, καὶ πραότητα καὶ ἀγάπην· καὶ μὴ θέλουσαν τὴν καρδίαν ἄγχει, καὶ ἄγει, ὅση δύναμις, ἑαυτὸν μετὰ βίας, ποιεῖ μετ' αὐτοῦ τὸ ἔλεος αὐτοῦ· καὶ λυτροῦται αὐτὸν ἀπὸ τῶν ἐχθρῶν αὐτοῦ καὶ τῆς ἐνοικούσης ἁμαρτίας; Πνεύματος Ἁγίου ἐμπιπλῶν αὐτόν, καὶ οὕτως λοιπὸν ἄνευ βίας καὶ καμάτου πάσας ποιεῖ πάντοτε τὰς ἐντολὰς τοῦ Κυρίου ἐξ ἀληθείας· μᾶλλον δὲ ὁ Κύριος ποιεῖ ἐν αὐτῷ τὰς ἰδίας αὐτοῦ ἐντολάς, καὶ τοὺς καρποὺς τοῦ Πνεύματος, ὅτε καρποφορεῖ καθαρῶς. Χρὴ δὲ πρότερον προσελθόντα τινὰ τῷ Κυρίῳ, οὕτως βιάζειν καὶ αὐτὸν εἰς τὸ ἀγαθόν, καὶ μὴ θελούσης τῆς καρδίας, προσδοκῶντα διὰ παντὸς ἐν πίστει ἀδιστάκτῳ τὸ ἔλεος αὐτοῦ, καὶ βιάζεσθαι ἑαυτὸν εἰς τὸ οἰκτείρειν καὶ ἐλεήμονα ἔχειν καρδίαν, βιάζεσθαι εἰς τὸ καταφρονεῖσθαι, εἰς τὸ μακροθυμεῖν, ἐξουθενούμενον ἢ ἀτιμαζόμενον μὴ ἀγανακτεῖν· κατὰ τὸ εἰρημένον· «Μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί»[7]· βιάζεσθαί τε ἑαυτὸν εἰς τὴν

1. Πρβλ. Ἰω. 5,44. 2. Ματθ. 11,29. 3. Λουκ. 6,36. 4. Πρβλ. Ἰω. 14,21. 23. 5. Πρβλ. Ματθ. 11,12. 6. Λουκ. 13,24. 7. Ρωμ. 12,19.

εὐχήν, μήπω ἔχοντα εὐχὴν Πνεύματος. Καὶ οὕτως ὁ Θεὸς θεωρῶν τὸν οὕτως ἀγωνιζόμενον, καὶ βίᾳ ἑαυτὸν ἄγοντα εἰς τὸ ἀγαθὸν καὶ μὴ θελούσης τῆς καρδίας δίδωσιν εὐχὴν ἀληθινὴν Χριστοῦ, δίδωσι σπλάγχνα οἰκτιρμῶν, χρηστότητα ἀληθινήν, καὶ ἁπαξαπλῶς τηρεῖ αὐτῷ τὸν καρπὸν τοῦ Πνεύματος. Εἰ δέ τις μόνον εἰς τὴν εὐχὴν βιάζεται ἑαυτόν, μὴ ἔχων εὐχήν, ἵνα σχῇ εὐχὴν χάριτος, καὶ εἰς τὴν ταπεινοφροσύνην, καὶ ἀγάπην καὶ τὰς λοιπὰς ἐντολὰς τοῦ Κυρίου ἑαυτόν, οὐ βιάζεται, ἐνίοτε δίδοται αὐτῷ εὐχὴ χάριτος, καὶ ἐν ἀναπαύσει καὶ εὐφροσύνῃ μερικῶς κατὰ τὸ αἴτημα αὐτοῦ, τοῖς δὲ τρόποις ὅμοιός ἐστιν ᾧ ἦν πρότερον ὅμοιος. Οὐκ ἔχει γὰρ πραότητα, ὅτι οὐκ ἐζήτησεν ἐμπόνως, καὶ οὐ προηυτρέπισεν ἑαυτὸν οὕτω γενέσθαι. Οὐκ ἔχει ταπεινοφροσύνην, ἐπειδὴ οὐκ ᾔτησε, καὶ ἑαυτὸν ἐβιάσατο εἰς τοῦτο· οὐκ ἔχει ἀγάπην πρὸς πάντας, ἐπεὶ περὶ τούτου μέριμναν καὶ ἀγῶνα οὐκ ἔσχεν ἐν τῇ αἰτήσει τῆς προσευχῆς· χρὴ γὰρ ἕκαστον, ὥσπερ εἰς τὴν εὐχὴν βιάζεται ἑαυτὸν καὶ ἄγχει, καὶ μὴ θελούσης **[840]** τῆς καρδίας· οὕτως εἰς τὴν ἀγάπην, εἰς τὴν πραότητα, καὶ εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν, μετὰ χαρᾶς, κατὰ τὸ γεγραμμένον· οὕτω βιάζεσθαι ἑαυτὸν εἰς τὸ ἐξουθενεῖσθαι, καὶ χείρω καὶ ἔσχατον ἑαυτὸν λογίζεσθαι πάντων[1], ὡς τὸ μὴ ὂν χρήσιμον, μὴ ὁμιλεῖν· ἀλλὰ τὰ τοῦ Κυρίου μελετᾶν ἀεὶ λόγια καὶ λαλεῖν στόματι καὶ καρδίᾳ· οὕτως εἰς τὸ μὴ θυμοῦσθαι κατὰ τὸ εἰρημένον· «Πᾶσα πικρία καὶ ὀργὴ καὶ κραυγὴ ἀρθήτω ἀφ' ὑμῶν, σὺν πάσῃ κακίᾳ»[2]. Ἵνα οὕτως ὁ Κύριος ἰδὼν αὐτοῦ τὴν προαίρεσιν δώσῃ αὐτῷ ταῦτα πάντα ἀκόπως καὶ ἀβιάστως, ἅπερ πρὶν οὕτω μετὰ βίας φυλάξαι ἠδύνατο, διὰ τὴν οἰκοῦσαν ἐν αὐτῷ ἁμαρτίαν[3]· καὶ γίνεται αὐτῷ ταῦτα πάντα τῆς ἀρετῆς ἐπιτηδεύματα ὥσπερ φύσις· τὸ λοιπὸν γὰρ ἐλθὼν ὁ Κύριος, ἐλθὼν καὶ γενόμενος ἐν αὐτῷ, καὶ αὐτὸς ποιεῖ ἐν αὐτῷ τὰς ἰδίας ἐντολὰς ἄνευ καμάτου, πληρῶν αὐτὸν τοῖς καρποῖς τοῦ Πνεύματος.

ΙΔ'. Εἰ δέ τις εἰς εὐχὴν βιάζεται ἑαυτόν, ἕως οὗ λάβῃ τι χάρισμα παρὰ τοῦ Θεοῦ, εἰς ταῦτα δὲ ἤγουν εἰς ταπεινοφροσύνην, εἰς ἀγάπην, εἰς πραότητα, καὶ εἰς τὰς λοιπὰς ἀρετάς, ὁμοίως οὐ βιάζεται ἑαυτόν, καὶ ἄγχει, ἐνίοτε γίνεται πρὸς αὐτὸν θεία χάρις αἰτοῦντος καὶ δεομένου· ἀγαθὸς γὰρ καὶ χρηστὸς ὁ Θεὸς καὶ τοῖς αἰτοῦσιν αὐτὸν δίδωσι τὰ αἰτήματα[4]· μὴ προευτρεπίσας δὲ ἑαυτὸν καὶ μὴ ἐθίσας εἰς τὰς προειρημένας ἀρετὰς ἢ ἀπόλλει τὴν χάριν ἢ λαμβάνει καὶ πίπτει ἢ οὐ προκόπτει ὑψηλοφρονήσας· ἐπειδὴ ταῖς ἐντολαῖς τοῦ Κυρίου ἑαυτὸν ἐκ προαιρέσεως οὐ δίδωσι. Τὸ γὰρ κατοικητήριον ἢ ἀνάπαυσις τοῦ Πνεύματος ἡ ταπεινοφροσύνη ἐστὶ καὶ ἡ ἀγάπη καὶ ἡ πραότης, καὶ αἱ λοιπαὶ τοῦ Κυρίου ἐντολαί. Ὀφείλουσιν οὖν βουλόμενοι ἐξ ἀληθείας εὐαρεστῆσαι[5] τῷ Θεῷ καὶ δέξασθαι παρ' αὐτοῦ τὴν ἐπουρά-

1. Πρβλ. Μάρκ. 9,35. 2. Ἐφ. 4,31. 3. Πρβλ. Ρωμ. 7,20. 4. Πρβλ. Ματθ. 7,7,11. 5. Πρβλ. Ἑβρ. 11,6.

νιον χάριν καὶ αὐξῆσαι καὶ τελειῶσαι ἐν τῷ ἁγίῳ Πνεύματι καὶ βιάζεσθαι πρῶτον ἑαυτὸν φυλάσσειν πάσας τὰς ἀρετάς, καὶ μὴ θελούσης τῆς καρδίας, κατὰ τὸ εἰρημένον· «Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην»[1]. Ὡς γάρ τις εἰς τὴν καρτέρησιν τῆς εὐχῆς βιάζεται ἑαυτὸν καὶ ἄγχει ἕως οὗ κατορθώσῃ τοῦτο· ὁμοίως εἰς πάντα τὰ τῆς ἀρετῆς ἐπιτηδεύματα βιάζεται ἑαυτὸν καὶ ἄγχει, καὶ ἐθίζει ἔθος ἀγαθόν· καὶ οὕτως αἰτούμενος καὶ δεόμενος τοῦ Κυρίου διὰ παντὸς καὶ τυχὼν τῆς αἰτήσεως, αὔξει καὶ θαλεῖ ἐν αὐτῷ τὸ χάρισμα τοῦ Πνεύματος, τὸ χάρισμα τὸ χαρισθὲν αὐτῷ ἀναπαυόμενον ἐν τῇ ταπεινοφροσύνῃ αὐτοῦ καὶ ἐν ταῖς λοιπαῖς ἀρεταῖς, καὶ διδάσκει αὐτὸν ἀληθινὴν ἀγάπην, ἀληθινὴν πραΰτητα, ἣν προεβιάσατο καὶ ἐζήτησε· καὶ οὕτως αὐξήσας καὶ τελειωθεὶς ἐν Θεῷ κληρονόμος τῆς βασιλείας τῶν οὐρανῶν ἀξιοῦται. Ὁ γὰρ ταπεινὸς οὐδέποτε πίπτει. Ποῦ γὰρ πεσεῖν ἔχει ὑπὸ κάτω πάντων ὤν; Μεγάλη ὕψωσις ἡ ταπείνωσις· καὶ τιμιότης καὶ ἀξίωμα ἡ ταπεινοφροσύνη. Ἐθίσωμεν οὖν καὶ ἡμεῖς αὐτοὺς καὶ ἄγξωμεν εἰς τὴν ταπεινοφροσύνην, καὶ μὴ θελού**[841]**σης τῆς καρδίας ἡμῶν, δεόμενοι καὶ παρακαλοῦντες τὸν Θεὸν ἐν πίστει καὶ ἐλπίδι καὶ ἀγάπῃ ἀδιαλείπτως ἐν τῇ προσδοκίᾳ ταύτῃ, ἵνα ἀποστείλῃ τὸ Πνεῦμα αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν· ἵνα εὐξώμεθα καὶ προσκυνήσωμεν ἐν Πνεύματι τῷ Πατρὶ καὶ αὐτὸ τὸ Πνεῦμα εὔξηται ἐν ἡμῖν[2]. Ἵνα αὐτὸ τὸ Πνεῦμα διδάξῃ ἡμᾶς εὐχὴν ἀληθινήν, ταπεινοφροσύνην, πραότητα, ἀγάπην, ἃ νῦν μετὰ βίας οὐ δυνάμεθα ποιεῖν, σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, καὶ πάσας τὰς ἐντολὰς τοῦ Κυρίου διδάξῃ ἡμᾶς ποιῆσαι ἐξ ἀληθείας, ἀπόνως καὶ ἀβιάστως· ὡς αὐτὸ τὸ Πνεῦμα οἶδε πληροῦν ἡμᾶς τοῖς καρποῖς αὐτοῦ· καὶ οὕτως τῶν ἐντολῶν τοῦ Κυρίου πληρωθεισῶν ἐφ' ἡμῖν διὰ τοῦ Πνεύματος αὐτοῦ, τοῦ μόνου γινώσκοντος τὸ θέλημα τοῦ Χριστοῦ, καὶ καθαρίζοντος ἡμᾶς ἀπὸ τοῦ σπίλου τῆς ἁμαρτίας, ὥσπερ νύμφας καλὰς καθαρὰς καὶ ἀμώμους παραστήσῃ τῷ Χριστῷ, ἀναπαυομένων ἡμῶν ἐν Θεῷ, καὶ ἀναπαυομένου τοῦ Χριστοῦ ἐν ἡμῖν εἰς τοὺς ἀπεράντους αἰῶνας. Δόξα τοῖς οἰκτιρμοῖς αὐτοῦ καὶ τῷ ἐλέει καὶ τῇ ἀγάπῃ αὐτοῦ, ὅτι εἰς τοσαύτην τιμὴν κατηξίωσε τὸ ἀνθρώπινον γένος, ἰδίους ἀδελφοὺς καὶ υἱοὺς Πατρὸς ἐπουρανίου καταξιῶν καὶ προσαγορεύων. Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Ψαλ. 118,128. 2. Πρβλ. Ρωμ. 8,26.

ΠΕΡΙ ΤΕΛΕΙΟΤΗΤΟΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΛΟΓΟΣ

Α'. Χάριτι μὲν καὶ δωρεᾷ τοῦ Πνεύματος θείᾳ ἕκαστος ἡμῶν τὴν σωτηρίαν πορίζεται· πίστει δὲ καὶ ἀγάπῃ, ἀγῶνί τε προαιρέσεως αὐτεξουσίου, τοῦ τελείου μέτρου τῆς ἀρετῆς ἐφικέσθαι δύναται· ἵν' ὥσπερ χάριτι, οὕτω καὶ δικαιοσύνῃ τῆς αἰωνίου κληρονομήσῃ ζωῆς· μὴ διὰ μόνης τῆς θείας δυνάμεώς τε καὶ χάριτος, μὴ καὶ τοὺς ἰδίους συνεισενεγκὼν ἱδρῶτας, τῆς τελείας προκοπῆς ἀξιούμενος· μήτε πάλιν ἐκ μόνης τῆς οἰκείας σπουδῆς καὶ δυνάμεως, μὴ καὶ θείας ἄνωθεν συνεφαπτούσης χειρός, τοῦ τελείου τῆς ἐλευθερίας μέτρου, καὶ τῆς καθαρό[844]τητος ἐφικνούμενος· «Ἐὰν γὰρ μὴ Κύριος οἰκοδομήσῃ οἶκον καὶ φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων»[1], ὁ κοπιῶν καὶ οἰκοδομῶν, εἰς μάτην ὁμοίως.

Β'. Ἐ ρ ώ τ η σ ι ς. «Τί τὸ θέλημα τοῦ Θεοῦ»[2], πρὸς ὃ δήπου προτρέπεται καὶ παρακαλεῖ ὁ Ἀπόστολος ἕκαστον ἡμῶν φθάσαι.

Ἀ π ό κ ρ ι σ ι ς. Ἡ τελεία τῆς ἁμαρτίας κάθαρσις, καὶ τῶν τῆς ἀτιμίας παθῶν ἐλευθερία, καὶ ἡ τῆς ἄκρας ἀρετῆς ἀνάληψις· ὅπερ ἐστὶν ὁ καθαρισμὸς καὶ ὁ ἁγιασμὸς τῆς καρδίας, ὁ διὰ τῆς μετουσίας τοῦ τελείου καὶ θεϊκοῦ Πνεύματος ἐν πληροφορίᾳ γενόμενος· «Μακάριοι γάρ», φησίν, «οἱ καθαροὶ τῇ καρδίᾳ ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται»[3]· καί· Γίνεσθε, καὶ ἡμεῖς, «καὶ ὑμεῖς, τέλειοι, ὡς ὁ Πατὴρ ἡμῶν ὁ ἐπουράνιος τέλειός ἐστι»[4]· καὶ «Γενηθήτω», φησίν, «ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ»[5]· καὶ αὖθις· «Τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου»[6]· καὶ πρὸς τὸν ἐρωτῶντα δὲ πάλιν· «Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου»; «Ἀθῷος χερσίν, ἀποκρίνεται, καὶ καθαρὸς τῇ καρδίᾳ»[7]· τῆς διὰ πράξεως καὶ διανοίας ἁμαρτίας τὴν τελείαν ἐντεῦθεν δηλῶν ἀναίρεσιν.

Γ'. Τὰ ἀφανῆ πάθη, φησί, καὶ κρύφια τὸ Πνεῦμα τὸ Ἅγιον ἐπιστάμενον δυσαπάλλακτα ὄντα, καὶ οἱονεὶ τῇ ψυχῇ κατερριζωμένα, διὰ τοῦ Δαυῒδ δείκνυσι, πῶς ἄρα τούτων ποιητέον τὴν κάθαρσιν· «Ἐκ τῶν κρυφίων μου γὰρ καθάρισόν με»[8], φησίν, ὡς διὰ πολλῆς τῆς δεήσεώς τε καὶ πίστεως καὶ τῆς πρὸς Θεὸν τελείας ῥοπῆς, τῇ συνεργείᾳ τοῦ Πνεύματος, κατεργασθῆναι δυναμένων ἡμῶν· πλὴν ἀλλὰ καὶ ἡμῶν πρὸς ταῦτα ἀντιτεινόντων, καὶ φυλακῇ πάσῃ τηρούντων τὴν ἑαυτῶν καρδίαν.

Δ'. Καὶ ὁ μακάριός φησι Μωϋσῆς, διὰ τύπων ὑποδεικνύς, τὸ μὴ

---

1. Πρβλ. Ψαλ. 126,1. 2. Ρωμ. 12,2. 3. Ματθ. 5,8. 4. Ματθ. 5,48. 5. Ψαλ. 118,80. 6. Ψαλ. 118,6. 7. Ψαλ. 23,3. 4. 8. Ψαλ. 18,13.

δεῖν γνώμαις δυοῖν, κακοῦ τε καὶ ἀγαθοῦ, τὴν ψυχήν, ἀλλὰ τῷ ἀγαθῷ μόνῳ ἀκολουθεῖν, καὶ τὸ μὴ χρῆναι δύο καρποὺς γεωργεῖν, χρηστοῦ καὶ χείρονος, ἀλλὰ χρηστὰ μόνα, οὕτω φησίν· Οὐ ζεύξεις ἐν τῇ ἅλῳ σου ἀλλογενῆ ζῷα ἐπὶ τὸ αὐτό, οἱονεὶ βοῦν καὶ ὄνον[1]· ἀλλὰ τὰ ὁμογενῆ ζεύξας ἀλωήσεις τὸν ἀμητόν σου· τοῦτ' ἔστιν, ἵνα μὴ ἐν τῇ ἅλῳ τῆς καρδίας ἡμῶν ἐπὶ τὸ αὐτὸ ἀρετὴ καὶ κακία τὴν ἐργασίαν ἔχῃ, ἀλλ' ἡ ἀρετὴ μόνη· Οὐ συνυφανεῖς ἐρέῳ ἱματίῳ λινοῦν. Οὐδὲ πάλιν λινῷ ἔριον[2]· οὐ γεωργήσεις ἐν τῇ χώρᾳ τῆς γῆς σου δύο καρποὺς ἐπὶ τὸ αὐτό· οὐκ ἐπιβαλεῖς ἑτερογενὲς ζῷον εἰς γονὴν ἑτέρῳ· ἀλλὰ τὰ ὁμογενῆ τοῖς ὁμογενέσι συζεύξεις[3]· δι' ὧν πάντων αἰνίττεται μυστικῶς, τὸ μὴ δεῖν κακίαν καὶ ἀρετήν, ὥσπερ εἴρηται, ἐν ἡμῖν γεωργεῖσθαι· ἀλλὰ μονοτρόπως τὰς σῆς ἀρετῆς γονὰς ἀποτίκτεσθαι· καὶ τοῦ μὴ δυσὶ πνεύμασι, τῷ Πνεύματι τοῦ Θεοῦ, καὶ τῷ πνεύματι τοῦ κόσμου ψυχήν τινα κοινωνεῖν. Διὰ τοῦτο γάρ, **[845]** φησί, «πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην· πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα»[4].

Ε'. Οὐκ ἀπὸ τῶν φανερῶν ἁμαρτημάτων μόνον, οἷον πορνείας, φόνου, κλοπῆς, γαστριμαργίας, καταλαλιᾶς, ψεύδους, φιλαργυρίας τε καὶ πλεονεξίας, καὶ τῶν τοιούτων ἁγνεύειν χρὴ τὴν παρθένον ψυχήν, καὶ τῷ Θεῷ συναφθῆναι προῃρημένην· ἀλλὰ καὶ πολλῷ πλέον ἀπὸ τῶν κρυφίων, ὥσπερ εἰρήκαμεν· τοῦτ' ἔστιν ἐπιθυμίας, κενοδοξίας, ἀνθρωπαρεσκείας, ὑποκρίσεως, φιλαρχίας, δόλου, κακοηθείας, μίσους, ἀπιστίας, φθόνου, φιλαυτίας, τύφου, καὶ τῶν ἄλλων τῶν τοιούτων ὁμοίως. Οἶδε γάρ, φησὶν ἡ Γραφή, τὰ κρύφια ταῦτα τῆς ψυχῆς ἁμαρτήματα ἐν ἴσῳ τοῖς ἐκτὸς τίθεσθαι. Κύριος γάρ φησι· «Διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων»[5]· καί· «Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος»[6]· τὸν δόλον ἐπ' ἴσης τῷ φόνῳ δεικνύων ὑπὸ Θεοῦ βδελυσσόμενον· καὶ τῶν «λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν»[7], καὶ τὰ ἑξῆς. Καὶ πάλιν. Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ· καί· «Οὐαὶ ὑμῖν, ὅταν καλῶς εἴπωσιν ὑμᾶς οἱ ἄνθρωποι»[8]· τοῦτ' ἔστιν, ὁπόταν ὑμῖν ἐστι θέλησις παρὰ ἀνθρώπων καλῶς ἀκούειν καὶ τῆς δόξης καὶ τῶν ἐπαίνων αὐτῶν ἐξήρτησθε· ἐπεὶ πῶς δυνατὸν ἀγαθοεργοῦντας ἐς ἅπαν λαθεῖν; Ἄλλως τε δὲ καὶ αὐτὸς ὁ Κύριος «Λαμψάτω», λέγει, «τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων»[9]. Πλήν, ἀλλ' εἰς δόξαν σπεύδετε τοῦ Θεοῦ, φησί, τὸ ἀγαθὸν πράττειν καὶ μὴ διὰ δόξαν ἰδίαν, μηδ' ὡς τῶν ἀνθρωπίνων ἐπαίνων ἐρωτικῶς ἔχοντες· καὶ γὰρ καὶ ἀπίστους ἀπέδειξεν εἰπών· «Πῶς δύνασθε πίστιν ἔχειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες[10]; Ὅρα καὶ τὸν Ἀπόστολον, πῶς καὶ αὐτοῦ μέχρι τοῦ φαγεῖν καὶ πιεῖν, πάντα εἰς δόξαν Θεοῦ ἐντέλλεται ποιεῖν· «Εἴτε

---

1. Πρβλ. Δευτ. 22,10. 2. Πρβλ. Δευτ. 22,11. 3. Πρβλ. Λευϊτ. 19,19. 4. Ψαλ. 118,128. 5. Ψαλ. 52,6. 6. Ψαλ. 5,7. 7. Ψαλ. 27,3. 8. Λουκ. 6,26. 9. Ματθ. 5,16. 10. Πρβλ. Ἰω. 5,44.

γάρ», φησίν, «ἐσθίετε εἴτε πίνετε εἴτε τι ἄλλο ποιεῖτε, εἰς δόξαν Θεοῦ ποιεῖτε»[1]. Ὁ δέ γε θεῖος Ἰωάννης τῷ φόνῳ συντάττων τὸ μῖσος «Ὁ μισῶν τὸν ἀδελφόν αὐτοῦ», φησίν, «ἀνθρωποκτόνος ἐστίν»[2].

Ϛ'. «Ἡ ἀγάπη πάντα στέγει, πάντα ὑπομένει. Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει»[3]· τό, οὐδέποτε ἐκπίπτει, τοῦτο δηλοῦντός ἐστιν· ὅτιπερ οἱ τῶν εἰρημένων χαρισμάτων τοῦ Πνεύματος ἐπιτυχόντες, μήπω δὲ διὰ τῆς πληρεστάτης καὶ ἐνεργοῦς ἀγάπης τοῦ Πνεύματος τῆς ἄκρας τῶν παθῶν ἐλευθερίας ἀξιωθέντες, οὐδέπω τοῦ ἀσφαλοῦς ἥψαντο· ἀλλ' ἐν κινδύνῳ ἔτι καὶ φόβῳ τὰ καθ' ἑαυτοὺς ἕστηκε διὰ τὰ πνευματικὰ τῆς πονηρίας. Τοῦτο γὰρ τὸ μέτρον, μηκέτι ὑπὸ πτῶσιν ὄν, μηδὲ πάθος ὑπέδειξε τοιοῦτον ὑπάρχον, ὡς γλῶσσαν ἀγγέλων, καὶ προφητείαν, πᾶσάν τε τὴν γνῶσιν, καὶ τὰ τῶν ἰαμάτων χαρίσματα μηδὲν εἶναι, πρὸς ἐκεῖνο παραβαλλόμενα.

[848] Ζ'. Διὰ τοῦτο τῆς τελειότητος ὑπέφηνε τὸν σκοπόν· ἵν' ἕκαστος πτωχεῖν ἑαυτὸν ἀπὸ τοῦ τηλικούτου πλούτου διαγινώσκων, θερμῷ τῷ πνεύματι καὶ συντόνῳ πρὸς τὸ ἔσχατον κατεπείγηται, τὸν πνευματικὸν οὕτω τρέχῃ δρόμον, ἄχρις ἂν καταλάβῃ, καθὼς εἴρηται· «Οὕτω τρέχετε, ἵνα καταλάβητε»[4].

Η'. Τὸ ἀπαρνήσασθαι ἑαυτὸν τοῦτο νόμιζε εἶναι· τὸ ἔκδοτον εἰς ἅπαν τῇ ἀδελφότητι παρασχεῖν καὶ θελήματι ἰδίῳ παντάπασι μὴ στοιχεῖν· μήτε τινὸς κύριον εἶναι, ὅτι μὴ τοῦ ἐνδύματος μόνον· ἵνα πάντοθεν ἄνετος ὤν, τῶν ἐπιταττομένων αὐτῷ μόνον μετὰ χαρᾶς ἔχηται, ὡς ἄν τις ἀργυρώνητος ὢν πρὸς πάντας, καὶ μάλιστα τοὺς ἐξηγουμένους Χριστῷ πειθόμενος τῷ εἰπόντι· «Ὁ θέλων ἐν ὑμῖν πρῶτος εἶναι καὶ μέγας, ἔστω πάντων διάκονος, καὶ ἔσχατος, καὶ δοῦλος»[5], μὴ δόξαν καὶ τιμήν, μὴ ἔπαινονποριζόμενος· μὴ ἐν ὀφθαλμοδουλείᾳ ὡς ἀνθρωπάρεσκος[6], ἀλλ' ὀφειλέτην ἑαυτὸν διὰ παντὸς ἡγούμενος τῆς ἐν ἀγάπῃ τε καὶ ἁπλότητι πρὸς τοὺς ἀδελφοὺς διακονίας.

Θ'. Τοὺς ἐξηγουμένους τῆς ἀδελφότητος, ὥς μεγάλῳ ἔργῳ ἐπιβαλλομένους πρὸς τὰς τῆς κακίας ἀντιτέχνους μεθοδείας ἀγωνίζεσθαι διὰ ταπεινοφροσύνης δεῖ, ἵνα μὴ πάθει ὑπερηφανίας, ὡς τῶν ὑποτεταγμένων ἀδελφῶν κατεξουσιάζοντες, ἀντὶ μεγίστου κέρδους, ζημίαν ἑαυτοῖς προξενήσωμεν· ἀλλ' ὡς εὔσπλαγχνοι πατέρες, καὶ δουλεύειν μᾶλλον διὰ τὸν Θεὸν ἐκδόντες τῇ ἀδελφότητι ἑαυτοὺς σωματικῶς τε καὶ πνευματικῶς, ὑπὲρ αὐτῶν φροντίζωσι, καὶ ὡς τέκνων Θεοῦ, διὰ παντὸς ἐπιμέλωνται, ἐλέγξαι ὅπου χρὴ καὶ ἐν ᾧ δεῖ παρακαλέσαι· ἵνα μὴ προφάσει ταπεινότητος καὶ πραότητος ἐν συγχύσει τὰ μοναστήρια ᾖν, τὴν προσήκουσαν τάξιν τῶν προεστώτων καὶ ὑποβεβηκότων οὐκ ἀποσῴζοντα· ἐν δέ γε τῷ ἀφανεῖ τῆς διανοίας ὡς δούλους ἀναξίους πάντων τῶν ἀδελφῶν ἑαυτοὺς ἡγούμενοι, ὡς παιδαγωγοὶ

1. Α' Κορ. 10,31. 2. Α' Ἰω. 3,15. 3. Πρβλ. Α' Κορ. 13,7-8. 4. Α' Κορ. 9,24. 5. Πρβλ. Ματθ. 20,27. 6. Πρβλ. Ἐφ. 6,6. Κολ. 3,22.

πνευματικὰ τέκνα πεπιστευμένοι, μετὰ πάσης εὐνοίας καὶ φόβου Θεοῦ ἕκαστον τῶν ἀδελφῶν καταρτίζειν εἰς πᾶν ἀγαθὸν σπουδάζοντες· μὴ ἀγοοῦντες, ὅτι μέγας αὐτοῖς καὶ ἀναφαίρετος ὁ ὑπὲρ τοῦ καμάτου μισθὸς ταμιεύεται.

Ι'. Ὥσπερ οἱ παιδαγωγεῖν τοὺς νέους παραλαβόντες, ἔστιν ὅτε καὶ δεσπότας ὄντας ἰδίους, ἀλλ' οὖν παιδείας χάριν καὶ εὐκοσμίας ἠθῶν οὐκ ὀκνοῦσιν ὅμως καὶ πληγὰς αὐτοῖς ἐντεῖναι κατὰ πολλὴν ἄδειαν· οὕτω δεῖ καὶ τοὺς προεστῶτας, οὐ πάθει θυμοῦ καὶ ὑψηλοφροσύνης, οὐδ' ὡς ἑαυτοὺς ἐκδικοῦντες, ἀμύνεσθαι τοὺς παιδείας τινὸς τῶν ἀδελφῶν ἐπιδεομένους, ἀλλὰ σπλάγχνοις χρηστοῖς καὶ σκοπῷ πνευματικῆς ὠφελείας, τὴν ἐπιστροφὴν ἐκείνων ἐργάζεσθαι.

ΙΑ'. Ὅτι διὰ πολλῆς σπουδῆς καὶ πόνου, μερίμνης τε καὶ ἀγῶνος τὴν πρὸς Θεὸν ἀγάπην δυνατοὶ γινόμεθα κτήσασθαι χάριτι καὶ δωρεᾷ Χριστοῦ ἐν ἡμῖν διαμορφουμένου. Ἐκ δὲ ταύτης καὶ τὴν δευτέραν **[849]** φημὶ ἐντολήν[1], τὴν πρὸς τὸν πλησίον ἀγάπην, ῥᾳδίως κατορθῶσαι γίνεται. Τὰ γὰρ πρῶτα καὶ προταττέσθω τῶν ἄλλων καὶ πλέον αὐτῶν σπουδευέσθω· καὶ οὕτω τὰ δεύτερα τοῖς πρώτοις ἑπόμενα ἔσται. Εἰ δέ τις τῆς μεγάλης ταύτης καὶ πρώτης ἐντολῆς[2], τῆς πρὸς Θεὸν ἀγάπης φημί, κατολιγωρήσας, ἥτις ἀπὸ τῆς ἔνδον ἡμῶν διαθέσεως συνειδήσεως τε ἀγαθῆς, καὶ ὑγιῶν τῶν πρὸς Θεὸν ἐννοιῶν, συνάμα καὶ βοηθείας συνεφαπτομένης συνίσταται· τῆς δὲ δευτέρας τῆς ἔξωθεν μόνον ἐπιμέλειαν τῆς διακονίας ἀφοσιοῦν βούλεται, ἀδύνατον αὐτῷ ταύτην ὑγιῶς τε καὶ καθαρῶς μετελθεῖν. Ἡ γὰρ τῆς κακίας μέθοδος μνήμης ἔρημον καὶ ἀγάπης καὶ Θεοῦ ζητήσεως τὸν νοῦν ἀνευρίσκουσα ἢ δυσχερῆ καὶ ἐπίπονα τὰ θεῖα ἐπιτάγματα φαίνεσθαι ποιεῖ, γογγυσμοὺς καὶ λύπας καὶ μέμψεις κατὰ τῆς εἰς τοὺς ἀδελφοὺς διακονίας τῇ ψυχῇ ἀνακινοῦσα· ἢ οἰήσει δικαιοσύνης ἐξαπατήσασα φυσιοῖ καὶ ἑαυτὸν ἡγεῖσθαι τίμιόν τε καὶ μέγαν καὶ ἄκρως κατορθοῦντα τὰς ἐντολὰς ἀναπείθει.

ΙΒ'. Ὁπόταν ἑαυτὸν οἰηθῇ ἄνθρωπος τῶν ἐντολῶν ἐπιμελητήν, δῆλός ἐστιν ἁμαρτάνων, καὶ τῆς ἐντολῆς σφαλλόμενος· ὅτε κρίνων ἑαυτόν, καὶ μὴ τὸν ἀληθῶς κρίνοντα προσδεξάμενος· ὅταν γὰρ συμμαρτυρῇ τῷ πνεύματι ἡμῶν τὸ τοῦ Θεοῦ Πνεῦμα, κατὰ τὸ λόγιον Παύλου[3]· τότε φιλαλήθως Χριστοῦ ἄξιοι καὶ τέκνα Θεοῦ τυγχάνομεν ὄντες, οὐχ ὅταν ἰδίᾳ οἰήσει ἑαυτοὺς δικαιώσωμεν· «Οὐ γὰρ ἑαυτὸν συνιστῶν», φησί, «δόκιμος· ἀλλ' ὃν ὁ Κύριος συνίστησιν»[4]· ἐπείπερ ὅταν μνήμης καὶ φόβου Θεοῦ γυμνὸς ὢν εὑρίσκηται ὁ ἄνθρωπος πολλὴ ἀνάγκη καὶ δόξης ἐρᾶν καὶ θηρεύειν ἔπαινον παρὰ τῶν ὑπ' αὐτοῦ διακονουμένων. Ὁ δέ γε τοιοῦτος ἄπιστος παρὰ τοῦ Κυρίου ἐλήλεγ-

---

1. Πρβλ. Ματθ. 22,39. 2. Πρβλ. Ἔνθ' ἀν. 38. 3. Πρβλ. Ρωμ. 8,16. 4. Β' Κορ. 10,18.

κται, καθάπερ ἤδη δεδήλωται· «Πῶς γάρ», φησί, «δύνασθε ὑμεῖς πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες καὶ τὴν δόξαν τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες»[1];

ΙΓ'. Ἀγῶνι πολλῷ καὶ καμάτῳ νοὸς διὰ σεμνῶν ἐννοιῶν καὶ τῆς συνεχοῦς πάντων τῶν καλῶν μερίμνης ἡ πρὸς Θεὸν ἀγάπη, καθάπερ εἴρηται, κατορθοῦσθαι δύναται· ἅτε τοῦ ἐναντίου τῷ ἡμετέρῳ νῷ ἐμποδίζοντος, καὶ οὐ συγχωροῦντος αὐτῷ διὰ τῆς τῶν καλῶν μνήμης, τῷ θείῳ ἔρωτι προσανέχειν, ἀλλὰ ταῖς γηΐναις ἐπιθυμίαις τὴν αἴσθησιν περισαίνοντος. Ἐν τούτῳ γὰρ ὁ τοῦ πονηροῦ θάνατος, καὶ οἷον εἰπεῖν, ἀγχόνη, ὅτε τῇ τοῦ Θεοῦ ἀγάπῃ καὶ μνήμῃ ἀπερισπάστως ὁ νοῦς εὑρίσκηται. Ἐντεῦθεν καὶ ἡ πρὸς τὸν ἀδελφὸν εἰλικρινὴς ἀγάπη συστῆναι δύναται, καὶ ἡ ἀληθὴς ἁπλότης, καὶ ἡ πραότης τέ φημι καὶ εὐχή, καὶ πᾶς ὁ περικαλλὴς τῶν ἀρετῶν στέφανος, διὰ τῆς μιᾶς, καὶ μόνης, καὶ πρώτης ἐντολῆς[2], τῆς πρὸς Θεὸν ἀγάπης τὴν τελειότητα δέχεται. Ἀγῶνος τοίνυν πολλοῦ καὶ πόνου κρυπτοῦ καὶ ἀδήλου χρεία, λογισμῶν ἐρεύνης τε καὶ τῆς τῶν ἠσθενηκότων τῆς ψυχῆς ἡμῶν αἰσθητηρίων γυμνασίας, πρὸς διάκρισιν **[852]** καλοῦ τε καὶ κακοῦ, καὶ τοῦ ῥωννύειν καὶ ἀναζωπυρεῖν διὰ τῆς τοῦ νοῦ πρὸς Θεὸν ἐπιμελοῦς νεύσεως τὰ πεπονηκότα τῆς ψυχῆς μέλη. Ὁ γὰρ νοῦς ἡμῶν οὕτω διὰ παντὸς τῷ Θεῷ προσκολλώμενος, γενήσεται μετὰ τοῦ Κυρίου, εἰς ἓν πνεῦμα[3], κατὰ τὸ λόγιον Παύλου.

ΙΔ'. Τοῦτον δέ φησι τὸν κρυπτὸν ἀγῶνα, καὶ τὸν πόνον, καὶ τὴν μελέτην, ἀδιαλείπτως ἔχειν τοὺς φιλαρέτους χρὴ πρὸς πᾶσαν ἐπιτήδευσιν ἐντολῆς, ἤτοι εὐχομένους ἢ διακονοῦντας, ἐσθίοντας ἢ πίνοντας· ἵν' ὅπερ ἂν γένηται ἀγαθόν, «εἰς δόξαν Θεοῦ»[4], καὶ μὴ εἰς ἡμετέραν γένηται δόξαν· εὐπετῆ δὲ ἡμῖν καὶ ῥᾴδια πάντα τὰ τῶν ἐντολῶν ἔσται, τῆς τοῦ Θεοῦ ἀγάπης αὐτὰ διευμαριζούσης, καὶ τὸ ἐπίπονον αὐτῶν ἐκλυούσης ἅπαν.

ΙΕ'. Ὅλος ὁ ἀγὼν καὶ σπουδὴ τοῦ ἀντικειμένου τοῦτό ἐστιν, ὡς δεδήλωται, τὸ δυνηθῆναι τὸν νοῦν ἀπὸ τῆς πρὸς Θεὸν μνήμης, καὶ τοῦ φόβου καὶ τῆς ἀγάπης περισπᾶσαι, γηΐναις αὐτὸν παραγωγαῖς καὶ δελεάσμασιν, ἀπὸ τοῦ ὄντως ἀγαθοῦ πρὸς τὰ δοκήσει καλὰ παρατρέποντος.

ΙϚ'. Ἀλλήλων αἱ ἀρεταὶ δέδενται, καὶ ἀλλήλων ἔχονται, καθάπερ ἱερά τις σειρὰ μία τῆς μιᾶς ἠρτημένη· οἷον ἡ μὲν εὐχὴ τῆς ἀγάπης, ἡ ἀγάπη δὲ τῆς χαρᾶς, ἡ χαρὰ τῆς πραότητος, ἡ πραότης τῆς ταπεινοφροσύνης, ἡ ταπεινοφροσύνη δὲ τῆς διακονίας, ἡ διακονία δὲ τῆς ἐλπίδος, ἡ δὲ ἐλπὶς τῆς πίστεως· καὶ ἡ μὲν πίστις τῆς ὑπακοῆς, ἡ δὲ ὑπακοὴ τῆς ἁπλότητος, ὥσπερ τἀναντία πάλιν ἓν ὑφ' ἑνὸς δέδεται· οἷον τοῦ μὲν θυμοῦ τὸ μῖσος· ὁ δέ, τῆς ὑπερηφανίας· τῆς κενοδοξίας

1. Ἰω. 5,44. 2. Πρβλ. Ματθ. 22,38. 3. Πρβλ. Α' Κορ. 6,17. 4. Αὐτόθι.

αὕτη· ἐκείνη, τῆς ἀπιστίας· ἡ δὲ τῆς σκληροκαρδίας· καὶ αὕτη μὲν ἐκ τῆς ἀμελείας· ἐκείνη δὲ τῆς χαυνώσεως, ἐκ δὲ τῆς ὀλιγωρίας αὕτη· κἀκείνη μὲν ἐκ τῆς ἀκηδίας· ὡς ἐκ τοῦ ἀνυπομονήτου πάλιν αὕτη· τὸ δὲ τῆς φιληδονίας· καὶ οὕτω τὰ λοιπὰ μέλη τῆς κακίας ἀλλήλων ἐχόμενά εἰσιν.

ΙΖʹ. Πᾶν ὅπερ ἂν ποιῇ καλὸν ὁ ἄνθρωπος, σπιλοῦν αὐτὸ καὶ καταμιαίνειν ὁ πονηρὸς τῇ ἐπιμειξίᾳ τῶν ἑαυτοῦ σπερμάτων βούλεται· οἷον τῆς κενοδοξίας, τῆς οἰήσεως, εἴτε μὴν καὶ τοῦ γογγυσμοῦ ἢ ἑτέρου τινὸς τῶν τοιούτων· ἵν' ἢ μὴ δια Θεὸν μόνον ἢ μὴ ἐκ προθυμίας τὸ γινόμενον ἀγαθὸν γένηται. Γέγραπται γὰρ τὸν Ἄβελ προσενεγκεῖν θυσίαν τῷ Θεῷ ἀπὸ τῶν στεάτων καὶ ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων[1]· καὶ τὸν Κάιν δὲ ὁμοίως δῶρα προσενεγκεῖν ἀπὸ τῶν καρπῶν μὲν τῆς γῆς, ἀλλ' οὐκ ἀπὸ τῶν πρώτων· καὶ διὰ τοῦτο ἐπὶ μὲν ταῖς θυσίαις τοῦ Ἄβελ ἐπιδεῖν τὸν Θεόν· ἐπὶ δὲ τοῖς δώροις τοῦ Κάιν μὴ προσχεῖν[2]. Ἐκ τούτου μανθάνειν ἔχομεν, ὅτι ἔστι τι καλὸν μὴ ποιῆσαι καλῶς· οἷον ἀμελῶς ἢ καταφρονητικῶς ἢ δι' ἕτερόν τι, καὶ οὐ διὰ Θεόν· καὶ παρὰ τοῦτο συμβαίνει γίνεσθαι μὴ προσδεκτὸν τῷ Θεῷ.

1. Πρβλ. Γεν. 4,4-5. 2. Πρβλ. Ἔνθ' ἀν.

[853] ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ ΛΟΓΟΣ

Α΄. Κεφάλαιον πάσης ἀγαθῆς σπουδῆς καὶ κορυφὴ τῶν κατορθωμάτων ἡ προσευχῆς ἐστι προσεδρεία, δι' ἧς καὶ τῶν ἄλλων ἐν κτήσει γινόμεθα, τοῦ καλουμένου χεῖρα συνεργὸν ἐπορέγοντος· καὶ γὰρ κοινωνία τῆς μυστικῆς ἐνεργείας, καὶ συνάφεια διαθέσεως τῆς πρὸς Θεὸν ἁγιότητος, καὶ αὐτοῦ τοῦ νοῦ δι' ἀγάπης ἀρρήτου πρὸς Κύριον, ἐν τῇ εὐχῇ τοῖς καταξιουμένοις γίνεται· «Ἔδωκας γάρ», φησίν, «εὐφροσύνην εἰς τὴν καρδίαν μου»[1]· καὶ αὐτὸς δὲ ὁ Κύριος· «Ἡ βασιλεία οὐρανῶν ἐντὸς ὑμῶν ἐστι»[2]. Τὸ δὲ ἐντὸς εἶναι τὴν βασιλείαν, τί ἂν ἄλλο δηλοῦν εἴη ἢ τὴν τοῦ Πνεύματος οὐράνιον εὐφροσύνην ταῖς ἀξίαις ψυχαῖς ἐναργῶς ἐνσημαίνεσθαι; Τῆς ἀπολαύσεως γάρ τε καὶ χαρᾶς καὶ τῆς ἐν πνεύματι εὐφροσύνης, ἧς ἐν φωτὶ αἰωνίῳ οἱ ἅγιοι ἐν τῇ τοῦ Χριστοῦ μεθέξουσι βασιλείᾳ, ταύτης τὸν ἀρραβῶνα καὶ τὰ προοίμια ἐντεῦθεν ἤδη αἱ ἄξιαι διὰ τῆς τοῦ Πνεύματος ἐνεργοῦς κοινωνίας ψυχαὶ λαμβάνουσιν· «Ἡ καρδία μου γάρ», φησί, «καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα»[3]· καὶ τό· «Ὡς ἐκ στέατος καὶ πιότητος, ἐμπλησθείη ἡ ψυχή μου»[4] καὶ τὰ συνῳδὰ τούτοις εἰς ταὐτὸν φέρουσι καὶ τὴν τοῦ Πνεύματος ἐνεργὸν εὐφροσύνην καὶ παράκλησιν ὑπαινίττονται.

Β΄. Ὥσπερ μεῖζον τῶν ἄλλων τὸ τῆς εὐχῆς ἔργον οὕτω πλείονος δεῖ καὶ μερίμνης τῷ πρὸς αὐτὴν ἔχοντι· μήπου κλοπήν τινα παρὰ τῆς κακίας ὑπομείνας λάθῃ. Οἷς γὰρ μείζονος ἀγαθοῦ ἐπιμέλεια, μείζονι καὶ ὁ πονηρὸς τῇ πείρᾳ προσβάλλει· ὥστε πολλῆς αὐτῷ δεήσει τῆς νήψεως, ἵνα καὶ μᾶλλον καρποὶ ἀγάπης, καὶ ταπεινοφροσύνης, ἁπλότητός τε καὶ ἀγαθότητος, καὶ διακρίσεως, ὁσημέραι τῷ παραμόνῳ τῆς εὐχῆς ἀναφύωνται καὶ αὐτοῦ μὲν φανερὰν τὴν ἐπὶ τὰ θεῖα προκοπὴν καὶ ἐπίδοσιν καθιστῶσι, τοὺς ἄλλους δὲ εἰς τὸν ἴσον ζῆλον παρακαλῶσιν.

[856] Γ΄. Ἀδιαλείπτως εὔχεσθαι[5] καὶ προσκαρτερεῖν τῇ εὐχῇ[6] αὐτός τε ὁ θεῖος Ἀπόστολος, καὶ τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον διδάσκει. Πόσῳ μᾶλλον, εἰπόντος, «ποιήσει ἐκδίκησιν, ὁ Θεὸς τῶν βοώντων πρὸς αὐτὸν νύκτας καὶ ἡμέρας»[7]; Καὶ τό· «Γρηγορεῖτε καὶ προσεύχεσθε»[8]. «Δεῖ οὖν πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν»[9]. Ὥσπερ δὲ κεφαλαιωδέστερον ὁ τῇ εὐχῇ προσκαρτερῶν εἵλετο ἔργον, οὕτως αὐτὸν ἀγῶνα πολύν, καὶ τόνον ἀνένδοτον ἀνέχεσθαι χρή, διὰ τὸ πολλὰ τῇ προσεδρείᾳ τῆς εὐχῆς ὑπεῖναι τὰ τῆς κακίας ἐμπόδια· ὕπνον, ἀκη-

1. Ψαλ. 4,8. 2. Πρβλ. Λουκ. 17,21. 3. Ψαλ. 83,3. 4. Ψαλ. 62,6. 5. Πρβλ. Α΄ Θεσ. 5,17. 6. Πρβλ. Κολ. 4,2. 7. Πρβλ. Λουκ. 18,7. 8. Ματθ. 26,41. 9. Λουκ. 18,1.

δίαν, βάρος σώματος, λογισμῶν ἐπιτροπήν, νοὸς ἀκαταστασίαν, ἔκλυσιν, καὶ τὰ λοιπὰ τῆς κακίας ἐπιτηδεύματα· εἶτα θλίψεις καὶ αὐτῶν τῶν πονηρῶν πνευμάτων ἐπαναστάσεις ἐκθύμως πολεμούντων ἡμῖν καὶ ἀντικαθισταμένων, καὶ προσεγγίζειν τῷ Χριστῷ διειργόντων τὴν μετὰ τὴν ἀλήθειαν τὸν Θεὸν ἀπαύστως ἐπιζητοῦσαν ψυχήν.

Δ΄. Πάσῃ σπουδῇ καὶ ῥίψει, ὑπομονῇ τε καὶ ἀγῶνι ψυχῆς καὶ πόνῳ σώματος, τὸν τῆς εὐχῆς ἐπιμελούμενον ἀνδρίζεσθαι χρή, μὴ ἐκκακούμενον συνεπιδιδόντα ταῖς τῶν λογισμῶν ἐκτροπαῖς ἢ πολλῷ ὕπνῳ ἢ ἀκηδίᾳ, ἐκλύσει τε καὶ συγχύσει καὶ ταραχώδεσι καὶ ἀπρεπέσι φωναῖς χρώμενον ἤ τισι τοιούτοις ἐπιτρέποντα τὴν διάνοιαν, μόνῃ μὲν ἐκπληροφορούμενον τῇ παραμόνῳ στάσει, κλίσει τε τῶν γονάτων, τὸν δὲ νοῦν μακράν που τῶν γινομένων ἀποπλανώμενον, ἔχοντα. Οὐδὲν γὰρ τὸ κωλῦον, ἢ μὴ ἀκριβῶς νήφων παρασκευάζηται, ἐναντιούμενος μὲν τῇ ὕλῃ τῶν περιττῶν λογισμῶν, διαβασανίζων δὲ πάντας αὐτοὺς καὶ φιλοκρινῶν, ἐπιποθῶν τε ἀεὶ τὸν Κύριον, ποικίλως ὑπὸ τῆς κακίας κατὰ τὸ ἀφανὲς δελεάζεσθαι· ἢ καὶ τῶν μήπω τῇ εὐχῇ δυναμένων προσκαρτερεῖν κατεπαίρεσθαι καὶ διὰ τῶν τοιούτων τῆς κακίας μηχανημάτων τὴν καλὴν διαφθείρειν ἐργασίαν, καὶ προπίνειν ταύτην τῷ πονηρῷ δαίμονι.

Ε΄. Εἰ μὴ ἡ ταπεινοφροσύνη καὶ ἀγάπη, ἡ ἁπλότης τε καὶ ἀγαθότης κατακολλῶσιν ἡμῖν τὴν εὐχήν, ἡ εὐχὴ αὕτη, μᾶλλον δὲ τὸ πρόσχημα τῆς εὐχῆς, ἥκιστά γε ἡμᾶς ὠφελεῖν δύναται. Καὶ οὐκ ἐπὶ τῆς εὐχῆς τοῦτο μόνης φαμέν, ἀλλὰ καὶ ἐπὶ παντὸς καμάτου καὶ πόνου, παρθενίας ἢ νηστείας ἢ ἀγρυπνίας ἢ ψαλμῳδίας ἢ διακονίας ἢ οἱασδηποτοῦν ἐργασίας ἀρετῆς ἕνεκεν ἐπιτελουμένης. Εἰ μὴ τοὺς καρποὺς τῆς ἀγάπης, εἰρήνης τε καὶ χαρᾶς, καὶ πραότητος ταπεινοφροσύνης τε, φημί, καὶ ἁπλότητος, καὶ ἀφελείας καὶ πίστεως ὡς δέον, μακροθυμίας τε καὶ φιλοφροσύνης, ἐν ἑαυτοῖς ὁρᾶν ἔχοιμεν, ἐπ' οὐδενὶ χρησίμῳ τὰ τῶν πόνων ὑπέστημεν. Τοὺς γὰρ πόνους διὰ τὴν τῶν καρπῶν ὠφέλειαν ὑπομένειν καταδεχόμεθα· τῶν δὲ καρπῶν τῆς ἀγάπης ἐν ἡμῖν μὴ εὑρισκομένων, περιττὴ πάντως ἡ ἐργασία. Ὥστε οὐδὲν οἱ τοιοῦτοι τῶν πέντε μωρῶν διενηνόχασι παρθένων[1], **[857]** αἵτινες διὰ τὸ μὴ ἐντεῦθεν ἔχειν ἐν ταῖς καρδίαις τὸ πνευματικὸν ἔλαιον, ὅπερ τῶν εἰρημένων ἐστὶν ἀρετῶν ἡ διὰ τοῦ Πνεύματος ἐνέργεια, μωραί τε ὠνομάσθησαν, καὶ τοῦ βασιλικοῦ νυμφῶνος ἐλεεινῶς ἀπεκλείσθησαν, μηδὲν τοῦ παρθενίας ἀπονάμεναι καμάτου. Ὥσπερ γὰρ ἐν τῇ τῆς ἀμπέλου γεωργίᾳ, πᾶσα ἐπιμέλεια καὶ πόνος διὰ τὴν τῶν καρπῶν ἐλπίδα προκαταβάλλεται, καρπῶν δὲ μὴ γεωργηθέντων, εἰκαία πάντων ἡ ἐργασία δείκνυται· οὕτως, εἰ μὴ διὰ τῆς ἐνεργείας τοῦ Πνεύματος καρποὺς ἀγάπης καὶ εἰρήνης καὶ χαρᾶς καὶ τῶν λοιπῶν, ὧν ὁ Ἀπόστολος ἀπηρίθμησεν, ἐν ἑαυτοῖς ἴδοιμεν[2], καὶ τοῦτο κατὰ πληροφο-

1. Πρβλ. Ματθ. 25,2. 2. Πρβλ. Γαλ. 5, 22.

ρίαν πᾶσαν καὶ πνευματικὴν αἴσθησιν διομολογεῖν ἔχοιμεν, περιττὸς ὁ τῆς παρθενίας, εὐχῆς τε καὶ ψαλμῳδίας, νηστείας καὶ ἀγρυπνίας κάματος ἀποδείκνυται. Οἱ μὲν γὰρ πόνοι οὗτοι καὶ κάματοι τῆς ψυχῆς καὶ τοῦ σώματος ἐπ' ἐλπίδι πνευματικῶν καρπῶν, ὥσπερ ἔφημεν, ἐπιτελεῖσθαι ὀφείλουσιν· ἡ δ' ἐν ταῖς ἀρεταῖς καρποφορία, ἀπόλαυσίς ἐστι πνευματικὴ μεθ' ἡδονῆς ἀφθάρτου ἐν καρδίαις πισταῖς τε καὶ ταπειναῖς ὑπὸ τοῦ Πνεύματος ἀπορρήτως ἐνεργουμένη· ὥστε οἱ πόνοι καὶ οἱ κάματοι, καθὼς εἰσι πόνοι, φημί, καὶ κάματοι λογιζέσθωσαν, καὶ οἱ καρποί, καρποί. Εἰ δέ τις διὰ γνώσεως ἐνδείας τὴν ἐργασίαν αὐτοῦ καὶ τὸν κάματον καρποὺς τοῦ Πνεύματος[1] εἶναι νομίσει, μὴ ἀγνοῶν φαίνεται ψυχαγωγεῖν ἑαυτὸν παρακρουόμενος, καὶ μεγάλων ὄντως καρπῶν τοῦ Πνεύματος, διὰ τὸ οὕτως ἔχειν, ἀποστερῶν.

Ϛ'. Ὥσπερ ὁ τῇ ἁμαρτίᾳ ὅλον ἑαυτὸν ἔκδοτον παρασχόμενος, τὰ παρὰ φύσιν πάθη τῆς ἀτιμίας, τοῦτ' ἔστιν ἀσέλγειαν, πορνείαν, πλεονεξίαν, μῖσος καὶ δόλον, καὶ τὰ λοιπὰ τῆς κακίας ἐπιτηδεύματα ἐν ἀπολαύσει καὶ ἡδονῇ ὡς φυσικὰ καταπράττεται· οὕτως ὁ ἐν ἀληθείᾳ καὶ τελειότητι Χριστιανὸς ὤν, τὰς ἀρετὰς πάσας, καὶ τοὺς καρποὺς τοῦ Πνεύματος ἅπαντας τοὺς ὑπὲρ τὴν φύσιν τὴν ἀγάπην δῆλον ὅτι καὶ τὴν εἰρήνην, τὴν ὑπομονήν, τὴν πίστιν, καὶ τὴν ταπείνωσιν, καὶ πᾶν τὸ χρυσοῦν ὄντως γένος τῆς ἀρετῆς, ἐν ἀπολαύσει πολλῇ καὶ ἡδονῇ πνευματικῇ, ἀπονητὶ λοιπὸν καὶ ῥᾳδίως ὡς φυσικὰ μέτεισιν· οὐκ ἔτι πρὸς τὰ πάθη τῆς κακίας διαμαχόμενος· ἅτε τελείως ἀπὸ Κυρίου λελυτρωμένος καὶ ἀπὸ τοῦ ἀγαθοῦ Πνεύματος τὴν ἐντελῆ τοῦ Χριστοῦ εἰρήνην καὶ ἀγαλλίασιν ἐν τῇ καρδίᾳ δεξάμενος. Οὗτός ἐστιν ὁ κολληθεὶς τῷ Κυρίῳ, καὶ γενόμενος εἰς ἓν πνεῦμα[2].

Ζ'. Τοὺς μήπω δυναμένους ἄκρως τῷ τῆς ψυχῆς ἔρωτι διὰ νηπιότητα ἑαυτοὺς ἐπιτρέπειν· τούτους τὴν ὑπηρεσίαν τῶν ἀδελφῶν μετ' εὐλαβείας καὶ πίστεως, φόβου τε θείου, καταδέξασθαι χρή, ὡς Θεοῦ ἐντολῇ, καὶ ὡς πνευματικῷ πράγματι διακονουμένους· ἀλλ' οὐχ ὡς παρ' ἀνθρώπων μισθὸν ἢ τιμὴν καὶ εὐχαριστίαν προσδοκωμένους· μηδὲ δόντας χώραν ὅλως γογγυσμῷ ἢ ὑψηλοφροσύνῃ ἢ ἀμελείᾳ καὶ χαυνότητι· ὡς μὴ τὸ ἀγαθὸν τοῦτο ἔργον σπιλοῦσθαι καὶ παραφθείρεσθαι, διὰ δὲ τῆς **[860]** εὐλαβείας μᾶλλον, καὶ τοῦ φόβου, καὶ τῆς χαρᾶς εὐπρόσδεκτον τῷ Θεῷ γίνεσθαι.

Η'. Τοσαύτῃ φιλανθρωπίᾳ καὶ ἀγαθότητι (ὢ τῶν θείων σπλάγχνων περὶ ἡμᾶς!) συγκατέβη τοῖς ἀνθρώποις ὁ Κύριος, τοῦτο πραγματευόμενος, τὸ μηδένα ἔργου ἀγαθοῦ μισθὸν παριδεῖν· ἀλλ' ἀπὸ τῶν μικρῶν ἐπὶ τὰς μείζους τῶν ἀρετῶν, πάντας ἀναγαγεῖν· τὸ μηδὲ ποτήριον ψυχροῦ ὕδατος ἀποστερεῖν ἀντιδόσεως. Εἴρηκε γάρ· «Ὃς ἂν ποτίσῃ ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσει τὸν μισθὸν αὐτοῦ»[3]· καὶ αὖθις· «Ἐφ' ὅσον ἑνὶ

1. Πρβλ. Γαλ. 5,22. 2. Πρβλ. Α' Κορ. 6,17. 3. Ματθ. 10,42.

τοῦτο ἐποιήσατε, ἐμοὶ ἐποιήσατε»[1]. Μόνον κατὰ Θεὸν τὸ γινόμενον, καὶ μὴ κατὰ δόξαν γινέσθω, προσέθηκε γάρ· μόνον εἰς ὄνομα μαθητοῦ[2]· τοῦτ' ἔστι φόβῳ καὶ ἀγάπῃ Χριστοῦ· τοῖς γὰρ ἐπιδεικτικῶς τὸ ἀγαθὸν μετιοῦσι καὶ μεμφόμενος ὁ Κύριος, ἀποφάσει βεβαίᾳ τὸν λόγον ἀσφαλιζόμενος ἐπάγει, λέγων· «Ἀμὴν λέγω ὑμῖν· ἀπέχουσι τὸν μισθὸν αὐτῶν»[3].

Θ'. Ἡ ἁπλότης πρὸ τῶν ἄλλων καὶ ἡ ἀφέλεια καὶ ἡ πρὸς ἀλλήλους ἀγάπη καὶ χαρὰ καὶ ταπείνωσις, ἐκ παντὸς τρόπου, ὥσπερ τις θεμέλιος ὑποβεβλήσθωσαν ἐν τῇ ἀδελφότητι, ἵνα μὴ ἀλλήλων κατεπαιρόμενοι, καὶ καταγογγύζοντες, ἀνόνητον τὸν κάματον ἀποδείξωμεν. Καὶ μήτε ὁ ἀδιαλείπτως προσκαρτερῶν ταῖς εὐχαῖς, τοῦ μὴ οὕτω ποιεῖν δυναμένου κατεπαιρέσθω· μήτε ὁ τῇ διακονίᾳ ἑαυτὸν ἐκδιδούς, τοῦ τῇ προσευχῇ σχολάζοντος καταγογγυζέτω· ὡς εἴ γε μετὰ τοιαύτης ἁπλότητος τε καὶ διαθέσεως ἀλλήλοις προσφέροιντο, γίνηται τὸ περίττευμα τῶν ταῖς εὐχαῖς ἐμπαραμενόντων, ἐπὶ τὸ ὑστέρημα τῶν διακονούντων· καὶ αὖθις τὸ τῶν διακονούντων περίσσευμα ἐπὶ τὸ ὑστέρημα τῶν ταῖς εὐχαῖς σχολαζόντων· καὶ οὕτω μᾶλλον ἡ ἰσότης, κατὰ τὸ εἰρημένον, φαίνηται σῳζομένη· ὡς «τὸ πολὺ οὐκ ἐπλεόνασε· καὶ ὡς τό, τὸ ὀλίγον οὐκ ἠλαττόνησεν»[4].

Ι'. Τότε γίνεται τὸ τοῦ Θεοῦ θέλημα «ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς»[5], ὅταν μή, ὥσπερ εἴρηται, ἀλλήλων κατεπαιρώμεθα, ὅταν μὴ μόνον ζήλου χωρὶς ἀλλὰ καὶ ἁπλότητος ἐν μετοχῇ καὶ ἀγάπης εἰρήνης τε καὶ χαρᾶς συνημμένοι ὦμεν, ἀλλήλοις τὴν τοῦ πλησίον προκοπὴν ἰδίαν, ὡς δέον, καὶ τὴν ἐκείνου ὑστέρησιν ζημίαν ἑαυτῶν λογιζόμενοι, καὶ τῇ εὐχῇ ὀκνηρός, καὶ τῇ διακονίᾳ τῶν ἀδελφῶν καὶ ἐν ἑτέρᾳ δή τινι, ἔργῳ τῷ κατὰ Θεὸν γινομένῳ χαύνως καὶ ἀμελῶς διακείμενος, οὗτος ἀπὸ τοῦ Ἀποστόλου ἀργὸς διαρρήδην καλούμενος, αὐτοῦ τοῦ ἄρτου ἀνάξιος εἶναι καταψηφίζεται· εἴρηκε γάρ· «Ὁ δὲ ἀργὸς μηδὲ ἐσθιέστω»[6]· καὶ ἀλλαχοῦ· Τοὺς δὲ ἀργοὺς καὶ ὁ Θεὸς μισεῖ[7]. Καί· Ὁ ἀργὸς οὐδὲ πιστὸς εἶναι δύναται[8]. Καὶ Σοφία· «Πολλὴν κακίαν», ἔφη, «ἐδίδαξεν ἡ ἀργία»[9]. Προσήκει τοιγαροῦν ἕκαστον ὁποῖον δήποτε ἔργον κατὰ Θεὸν γινόμενον καρποφορεῖν, καὶ σπου[861]δαίως κἂν ὑφ' ἑνὶ τῶν ἀγαθῶν διατίθεσθαι, ἵνα μὴ τὸ παράπαν ἄκαρπος εὑρισκόμενος, ἀμέτοχος, εἰς ἅπαν καὶ τῶν αἰωνίων ἀγαθῶν γένηται.

ΙΑ'. Πρὸς τοὺς λέγοντας ἀδύνατον εἶναι τῆς τελειότητος ἐφικέσθαι καὶ τῆς εἰσάπαξ ἀπαλλαγῆς τῶν παθῶν, εἰ καὶ τῆς μετουσίας καὶ πληρώσεως τοῦ ἀγαθοῦ τυχεῖν Πνεύματος, ἀναγκαῖον τὴν ἀπὸ τῶν θείων Γραφῶν μαρτυρίαν ἐπενεγκεῖν, καὶ δεῖξαι κακῶς εἰδότας αὐτούς, ψευδῶς τε ἅμα καὶ ἐπισφαλῶς λέγοντας· «Γίνεσθε γάρ», φησὶν ὁ Κύριος, «καὶ ὑμεῖς τέλειοι, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός

1. Ματθ. 25,40. 2. Ματθ. 10,42. 3. Ματθ. 6,5. 4. Πρβλ. Ἐξ. 16,18. 5. Πρβλ. Ματθ. 6,10. 6. Πρβλ. Β' Θεσ. 3,10. 7. Πρβλ. Ἡσ. 1,14. 8. Πρβλ. Β' Πετρ. 1,8. 9. Σοφ. Σειρ. 33,28.

ἐστι»[1]· καὶ παντελῆ καθαρότητα διὰ τούτων σημαίνων· καί· «Θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ οὗτοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν»[2]. Ταῦτα τοῦ εἰρηκότος εἰσίν· «Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι»[3]· καὶ τὸ τοῦ Ἀποστόλου· «Ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ»[4]. Καὶ τό· «Μέχρι δὲ καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ»[5], εἰς ταὐτὸν φέρει. Οὕτω δὲ πρὸς τὴν τελειότητα ἀφορῶντας συμβαίνει δύο τὰ κάλλιστα γίνεσθαι, σύντονόν τε καὶ ἀδιάπαυστον τὸν ἀγῶνα ἔχοντας εἰς τὸ πέρας διώκειν, διὰ τὴν ἐλπίδα τοῦδε τοῦ μέτρου, φημί, καὶ τῆς ἀναβάσεως· τύφῳ τε μὴ ἁλίσκεσθαι, ἀλλὰ μετριοφρονεῖν, καὶ μικροὺς ἑαυτοὺς ἡγεῖσθαι διὰ τὴν μήπω τοῦ τελείου κατάληψιν.

ΙΒ'. Οἱ ταῦτα λέγοντες, φησίν, ἐκ τριῶν τρόπων τὴν μεγίστην ψυχῇ περιάπτουσι βλάβην· πρῶτον μέν, ὅτι ταῖς θεοπνεύστοις φαίνονται διαπιστοῦντες Γραφαῖς· εἶθ' ὅτι τὸν μείζονά τε καὶ τέλειον μὴ προστησάμενοι τοῦ Χριστιανισμοῦ σκοπόν, μηδὲ πρὸς ἐκεῖνον φθάσαι κατατεινόμενοι, πόνον καὶ σπουδὴν πεῖνάν τε καὶ δίψαν τῆς δικαιοσύνης ἔχειν οὐ δύνανται· ἀλλὰ τοῖς ἐξωτέροις σχήμασί τε καὶ ἤθεσι, καὶ ὀλίγοις τισὶ κατορθώμασιν ἐμπληροφορούμενοι, τῆς μακαρίας ἐλπίδος, καὶ τελειότητος, καὶ τῆς παντελοῦς τῶν παντελῶν παθῶν καθάρσεως ἀπολείπονται. Τὸ τρίτον ὡς οἰόμενοι τῆς ἀκρότητος ἐφικέσθαι τῇ κατορθώσει τῶν ὀλίγων, ὡς ἔφημεν, ἀρετῶν, καὶ μὴ πρὸς τὸ τέλειον ἐπειγόμενοι, οὐ μόνον ταπείνωσιν καὶ πτωχείαν καὶ συντριβὴν καρδίας ἥκιστα ἔχειν δύνανται· ἀλλὰ δικαιοῦντες ἑαυτοὺς ὡς ἤδη κατειληφότας, οὐ προκοπὴν οὐκ ἐπίδοσιν ὁσημέραι δέχονται.

ΙΓ'. Τοὺς ἀδύνατόν φησιν ἡγουμένους τὴν κατόρθωσιν ταύτην, τὴν διὰ τοῦ Πνεύματος τοῖς ἀνθρώποις ἐγγινομένην, ἥτις ἡ καινὴ κτίσις ἐστὶ τῆς καθαρᾶς καρδίας, ὁ Ἀπόστολος διαρρήδην ἐοικότας αὐτοὺς δείκνυσι τοῖς δι' ἀπιστίαν τὴν γῆν τῆς ἐπαγγελίας εἰσελθεῖν μὴ ἠξιωμένοις καὶ διὰ τοῦτο πεπτωκότων αὐτοῖς τῶν κώλων ἐν τῇ ἐρήμῳ[6]· ὃ **[864]** γὰρ ἐκεῖ ἐπαγγελίας γῆ κατὰ τὸ φανερόν, τοῦτο ἐνταῦθα παθῶν ἀπολύτρωσις κατὰ τὸ κρυπτόν· ὅπερ δὴ καὶ ὁ Ἀπόστολος τέλος πάσης ἐντολῆς εἶναι ἀπέδειξε· καὶ τοῦτό ἐστιν ἡ ἀληθινὴ τῆς ἐπαγγελίας γῆ καὶ δι' αὐτὴν πάντα ἐκεῖνα τυπικῶς παραδίδοται. Παρ' ὃ καὶ ὁ θεσπέσιος Παῦλος δι' ἀσφαλείας τὰ τῶν μαθητῶν ποιούμενος, ὡς μή τινα συμβῆναι ἀπιστίας ἁλῶναι φρονήματι· «Βλέπετε, ἀδελφοί μου», φησί, «μήποτε εἴη ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ τοῦ Θεοῦ ζῶντος»[7]· τὸ δὲ ἀποστῆναι οὐκ ἐπὶ τοῦ ἀρνήσασθαι, ἀλλ' ἐπὶ τοῦ ταῖς ἐπαγγελίαις αὐτοῦ ἀπιστῆσαι,

---

1. Ματθ. 5,48. 2. Ἰω. 17,24. 3. Ματθ. 24,35. Λουκ. 21,33. 4. Κολ. 1,28. 5. Ἐφ. 4,13. 6. Πρβλ. Ἑβρ. 3,17. 7. Ἑβρ. 3,12.

τέθεικεν· ἀμέλει καὶ τὰ τυπικὰ τῶν Ἰουδαίων ἀλληγορῶν καὶ παραβάλλων ταῦτα πρὸς τὴν ἀλήθειαν, ἐπιφέρει, λέγων· «Τινὲς γὰρ ἀκούσαντες αὐτοῦ παρεπίκραναν, ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωσέως· τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη; Οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ; Τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι; Καὶ βλέπομεν, ὅτι μὴ ἐδυνήθησαν εἰσελθεῖν δι' ἀπιστίαν»[1]. Καὶ ἐπάγει· «Φοβηθῶμεν οὖν μήποτε καταλιπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκεῖ τις ἐξ ὑμῶν ὑστερηκέναι· καὶ γάρ ἐσμεν εὐηγγελισμένοι καθάπερ κἀκεῖνον· ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους μὴ συγκεκραμένος τῇ πίστει τοῖς ἀκούσασιν· εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες»[2]· καὶ μετ' ὀλίγα πάλιν ἐπιφέρει· «Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι περιπέσῃ τῆς ἀπειθείας»[3]. Τίς δὲ Χριστιανῶν κατάπαυσις ἑτέρα ἢ τῶν τῆς ἁμαρτίας παθῶν ἡ ἀπολύτρωσις, καὶ ἡ πληρεστάτη καὶ ἐνεργὴς τοῦ ἀγαθοῦ Πνεύματος ἐν τῇ καθαρᾷ καρδίᾳ ἐνοίκησις; Ταύτῃ τοι καὶ ἐνάγων αὐτοὺς πάλιν πρὸς τὴν πίστιν φησί· «Προσερχώμεθα μετ' ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐρραντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς»[4] καὶ αὖθις· «Πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Ἰησοῦ καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ»[5]! Προσήκει τοίνυν, τὴν διὰ τῶν ῥημάτων τούτων ἐπηγγελμένην τοῦ Θεοῦ πρὸς ἀνθρώπους ἄμετρον ἀγαθότητα καθομολογεῖν ἡμᾶς, οἷα δούλους εὐγνώμονας καὶ ἀληθῆ καὶ βέβαια λογίζεσθαι τὰ ἐπηγγελμένα· ἵνα κἂν διὰ νωθείαν ἢ ἀσθένειαν προαιρέσεως μὴ καθάπαξ ἑαυτοὺς τῷ πεποιηκότι παρέσχομεν, μηδὲ τῶν μεγάλων καὶ τελείων τῆς ἀρετῆς ἀντεποιησάμεθα μέτρων· ἀλλ' οὖν γέ τινος ἐλέους διὰ τὸ ὀρθὸν καὶ ἀδιάστροφον τοῦ φρονήματος καὶ τὴν ὑγιῆ πίστιν ἐπιτεύξασθαι δυνηθῶμεν.

ΙΔ'. Τὸ τῆς εὐχῆς καὶ τοῦ λόγου ἔργον ἁρμοζόντως ἐπιτελούμενον, πάσης ἀρετῆς τε καὶ ἐντολῆς ὑπεράνω τελεῖ. Καὶ τούτου μάρτυς αὐτός· ἐπειδὴ γὰρ εἰς τὴν οἰκίαν Μάρθας τε, φημί, καὶ Μαρίας παρέβαλε[6], τῆς μὲν Μάρθας περὶ τὴν διακονίαν ἀσχολουμένης, Μαρίας δὲ περὶ τοὺς αὐτοῦ πόδας καθεζομένης καὶ τῇ ἀμβροσίᾳ τῆς θείας ἐκείνης γλώττης εὐωχουμένης, μεμφομένης αὐτῆς τῆς ἀδελφῆς, ὅτι **[865]** μὴ συμπράττῃ ταῦτα, καὶ διὰ τοῦτο Χριστῷ προσελθούσης, αὐτὸς τὸ κυριώτερον τοῦ δευτέρου προθείς, «Μάρθα», ἔφη, «μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά· ἑνὸς δέ ἐστι χρεία· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς»[7]. Τοῦτο δὲ εἴρηκεν, ὡς ἔφημεν, οὐχ ὡς τὸ τῆς διακονίας, ἔργον ἀποποιούμενος, ἀλλ'

---

1. Ἑβρ. 3,16-19. 2. Ἑβρ. 4,1-3. 3. Ἑβρ. 4,11. 4. Ἑβρ. 10,22. 5. Πρβλ. Ἑβρ. 9,14. 6. Πρβλ. Λουκ. 10,38. 7. Λουκ. 10,41.

ὡς τὸ μεῖζον πάντως τοῦ ἐλάττονος προτιθείς· ἐπεὶ πῶς αὐτὸς ἠνείχετο τῆς διακονίας; Πῶς καὶ αὐτουργὸς φαίνεται τούτου γενόμενος καὶ τοὺς πόδας νίψας τῶν μαθητῶν[1]; Τοσοῦτον δὲ ἀποσχόμενος τοῦ κωλῦσαι, ὅτι καὶ τὸν ἴσον τρόπον πρὸς ἀλλήλους ποιεῖν τοῖς μαθηταῖς ἐγκελεύεται· οὐ μὴν ἀλλὰ καὶ αὐτοὺς εὑρήσεις τοὺς ἀποστόλους, ἡνίκα πρότερον περὶ τὴν τῶν τραπεζῶν ἐπονοῦντο διακονίαν, τοῦ μείζονος ἔργου πρόκρισιν θεμένους, τῆς εὐχῆς, φημί, καὶ τοῦ λόγου· «Οὐ δίκαιον γάρ», φησίν, «ἡμᾶς καταλιπόντας τὸν λόγον τοῦ Θεοῦ διακονεῖν τραπέζαις· ἀλλ' εὐξάμενοι, ἄνδρας πλήρεις Πνεύματος ἁγίου καταστήσωμεν ἐπὶ τῆς διακονίας ταύτης· ἡμεῖς δὲ τῇ διακονίᾳ τοῦ λόγου καὶ τῇ προσευχῇ προσκαρτερῶμεν»[2]. Ὁρᾷς, ὅπως τὰ πρῶτα τῶν δευτέρων προέκριναν, καίπερ ἀμφότερα μιᾶς ἀγαθῆς ῥίζης οὐκ ἀγνοοῦντες εἶναι βλαστήματα.

1. Πρβλ. Ἰω. 13,5 2. Πράξ. 6,34.

ΠΕΡΙ ΥΠΟΜΟΝΗΣ ΚΑΙ ΔΙΑΚΡΙΣΕΩΣ ΛΟΓΟΣ

Α΄. Τοῖς πειθαρχεῖν τῷ λόγῳ τοῦ Θεοῦ βουλομένοις καὶ ἀγαθὸν καρπὸν ἐργαζομένοις, σημεῖα παρακολουθεῖ ταῦτα· στεναγμός, κλαυθμός, κατήφεια, ἡσυχία, κεφαλῆς κίνησις, προσευχή, σιωπή, ἐπιμονή, ὀδυνηρὸν πένθος, πόνος καρδίας ὑπὲρ εὐσεβείας γενόμενος. Τὰ δὲ ἔργα· ἀγρυπνία, νηστεία, ἐγκράτεια, πραότης, μακροθυμία, ἀδιάλειπτος προσευχή, μελέτη τῶν θείων Γραφῶν, πίστις, ταπείνωσις, φιλαδελφία, ὑποταγή, πόνος, κακοπάθεια, ἀγάπη, ἀγαθωσύνη, κοσμιότης καὶ τὸ ὅλον φῶς, ὅ ἐστιν ὁ Κύριος. Τῶν δέ γε μὴ ποιούντων καρπὸν ζωῆς σημεῖά ἐστι ταῦτα· ἀκηδία, μεθορισμός, περίβλεψις, ἀπροσ**[868]**εξία, γογγυσμός, κέπφωσις. Τὰ δὲ ἔργα· ἀδηφαγία, ὀργή, θυμός, καταλαλία, φυσίωσις, ἀκαιρολογία, ἀπιστία, ἀκαταστασία, λήθη, ταραχή, αἰσχροκέρδεια, φιλαργυρία, ζῆλος, ἐρίθεια, ὑπεροψία, φλυαρία, ἄκαιρος γέλως, ἐθελοδοξία, καὶ τὸ πᾶν σκότος, ὅπερ ἐστὶν ὁ Σατανᾶς.

Β΄. Κατ' οἰκονομίαν θειοτέραν φησί, οὐκ εὐθέως εἰς τὴν κληρωθεῖσαν αὐτῷ γέενναν ὁ πονηρὸς παρεπέμφθη· ἀλλὰ βασάνου καὶ δοκιμασίας χάριν τοῦ τε ἀνθρώπου, φημί, παρείθη· ἵνα καὶ ἄκων δικαιοτέρους μὲν τοὺς ἁγίους διὰ τῆς ὑπομονῆς ἀπεργάσηται καὶ μείζονος αὐτοῖς δόξης αἴτιος καταστῇ· ἑαυτῷ δὲ πάλιν διὰ τῆς ἰδίας ἐθελοκακίας, καὶ τῶν κατὰ τῶν ἁγίων ἐπινοιῶν δικαιοτέραν κατασκευάσῃ τὴν κόλασιν· «Καὶ ἵνα», φησίν, ὁ θεῖος Ἀπόστολος, «καθ' ὑπερβολὴν γένηται ἁμαρτωλὸς ἡ ἁμαρτία»[1].

Γ΄. Ἀπατήσας τὸν Ἀδὰμ ὁ ἐχθρὸς καὶ οὕτως αὐτοῦ κυριεύσας ἀφεῖλέ τε αὐτὸν τὴν ἐξουσίαν, καὶ ἄρχων ἐκεῖνος τοῦ αἰῶνος τοῦδε προσηγορεύθη. Ἄρχων δὲ τοῦ αἰῶνος τούτου καὶ δεσπότης τῶν ὁρωμένων ὁ ἄνθρωπος ἦν ἐξ ἀρχῆς ὑπὸ τοῦ Κυρίου καταστάς. Οὔτε γὰρ πῦρ αὐτοῦ κατίσχυεν, οὐχ ὕδωρ ἐπόντιζεν, οὐ θηρίον ἔβλαπτεν οὐκ ἰοβόλον ἐπ' αὐτῷ τὸ οἰκεῖον ἐνήργει· ἀφ' οὗ δὲ τῇ ἀπάτῃ εἶξε, προδέδωκε τῷ ἀποστήσαντι τὴν ἀρχήν· δι' ἣν αἰτίαν φαρμακοί τε καὶ γόητες κατ' ἐναντίαν ἐνέργειαν, Θεοῦ δὲ συγχώρησιν, παραδοξοποιοὶ δείκνυνται· ἰοβόλων τε γὰρ κυριεύουσι καὶ πυρὸς καὶ ὑδάτων κατατολμῶσιν, ὡς οἱ περὶ Ἰαννῆ, φημί, καὶ Μαμβρῆν τῷ Μωσῇ ἀντικείμενοι[2] καὶ ὡς Σίμων τῷ κορυφαίῳ Πέτρῳ ἀντιφερόμενος[3].

Δ΄. Οἶμαι, φησίν, ὅτι καὶ τὴν προτέραν αὐτοῦ Ἀδὰμ δόξαν ὁμοίως τῷ προσώπῳ Μωσέως ἐπιλάμπουσαν, τὸν ἐχθρὸν θεασάμενον ἱκανῶς τρωθῆναι· καθαπερεὶ τεκμηράμενον τὴν τῆς ἑαυτοῦ βασιλείας

---

1. Ρωμ. 7,13. 2. Πρβλ. Β΄ Τιμ. 3,8. 3. Πρβλ. Πράξ. 8,9. 13. 18. 24.

καθαίρεσιν. Οὐδὲν δὲ τὸ κωλῦον καὶ τὸ Ἀποστόλου ῥητὸν πρὸς τοῦτο φέρεσθαι· τό· «Ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας»[1]. Δοκῶ γάρ μοι, τὸ δεδοξασμένον πρόσωπον Μωσέως τύπον καὶ ὑπόδειγμα σῴζειν τοῦ πρώτου διὰ χειρῶν Θεοῦ δημιουργηθέντος ἀνθρώπου· ὅπερ ἰδόντα τὸν θάνατον, τοῦτ' ἔστι θανάτου αἴτιον διάβολον, ἐκεῖ μὲν ὑποπτεῦσαι τῆς βασιλείας διαπεσεῖν· ἐπὶ δὲ τοῦ Κυρίου πρὸς ἀλήθειαν τοῦτο παθεῖν. Ταύτην τοιγαροῦν τὴν δόξαν ἀπό γε τοῦ νῦν οἱ ἀψευδεῖς Χριστιανοὶ περιβάλλονται· καὶ ἔνδοθεν ὑπ' αὐτῶν ὁ θάνατος, εἴτουν τὰ τῆς ἀτιμίας καταργεῖται πάθη, ἐνεργεῖν μὴ δυνάμενα· ἅτε δὴ τῆς τοῦ Πνεύματος δόξης ἐν αἰσθήσει καὶ πληροφορίᾳ πάσῃ ταῖς ψυχαῖς αὐτῶν ἐλλαμπούσης.

Ε'. Διὰ τῆς γυναικὸς ὡς δι' ὁμοίου τινὸς ὁ ἐχθρὸς **[869]** ἀπατήσας, ἀφαιρεθῆναι τὴν περικειμένην τὸν Ἀδὰμ δόξαν πεποίηκε. Καὶ οὕτως γυμνός τε εὑρέθη, καὶ τὴν ἀσχημοσύνην οἶδε τὴν ἑαυτοῦ, ἣν δὴ πρότερον οὐχ ἑώρα, ἅτε τοῦ φρονήματος αὐτοῦ τοῖς οὐρανίοις κάλλεσιν ἐντρυφῶντος. Καὶ γὰρ μετὰ τὴν παράβασιν πρόσγεια γέγονεν αὐτῷ καὶ χαμαιπετῆ τὰ νοήματα· καὶ τὸ ἁπλοῦν αὐτῷ καὶ ἀγαθὸν φρόνημα φρονήματι κακίας σαρκικῷ συνεπλάκη· τὸ δὲ κλεισθῆναι τὸν παράδεισον καὶ τῇ φλογίνῃ ῥομφαίᾳ, καὶ τῷ Χερουβὶμ ἐπιτραπῆναι διακωλύειν αὐτῷ τὴν εἴσοδον[2], τοῦτο κατὰ μὲν τὸ ὁρατὸν καὶ πιστεύεται γεγενῆσθαι, ὡς εἴρηται· εὑρίσκεται δὲ καὶ παρ' ἑκάστῃ ψυχῇ κατὰ τὸ λανθάνον. Κύκλῳ γὰρ τῆς καρδίας τὸ κάλυμμα τοῦ σκότους περιχωρεῖ, τοῦ πυρός, φημί, τοῦ κοσμικοῦ πνεύματος, ὅπερ οὔτε τὸν νοῦν ἐντυχεῖν τῷ Θεῷ οὔτε τὴν ψυχὴν ἀφίησι κατὰ τὸ αὐτῆς θέλημα ἢ εὔξασθαι ἢ πιστεῦσαι ἢ ἀγαπῆσαι τὸν Κύριον· τούτων δὲ πάντων ἡ πεῖρα διδάσκαλος τοῖς γνησίως ἑαυτοὺς τῷ Κυρίῳ πιστεύσασι, τῇ τε ἐπιμονῇ τῆς εὐχῆς καὶ τῇ εὐτόνῳ κατὰ τοῦ πολεμοῦντος ὁρμῇ.

ϛ'. Ῥάβδος ἐστὶ παιδείας καὶ λῶρος μαστίγων ὁ τοῦδε τοῦ αἰῶνος ἄρχων τοῖς κατὰ πνεῦμα νηπίοις· αὐτοῖς μέν, ὥσπερ γοῦν καὶ πρότερον εἴρηται, μεγάλην δόξαν καὶ πλείονα τὴν τιμὴν διὰ τῶν θλίψεών τε καὶ πειρασμῶν· ἐκ τούτων γὰρ καὶ τὸ τελείους αὐτοὺς γίνεσθαι περιγίνεται· ἑαυτῷ δὲ πλείονά τε καὶ βαρυτέραν κατασκευάζων τὴν κόλασιν. Ὅλως γὰρ μεγίστη τις δι' αὐτοῦ οἰκονομεῖται οἰκονομία, καθὼς εἴρηταί που· Συνεργεῖ τὸ πονηρὸν τῷ ἀγαθῷ προαιρέσει οὐ καλῇ. Ταῖς γὰρ ἀγαθαῖς καὶ καλὴν τὴν προαίρεσιν ἐχούσαις ψυχαῖς, καὶ τὰ δοκοῦντα λυπηρὰ εἰς ἀγαθὸν τελευτᾷ· καθὰ δὴ καὶ τὸ τῷ Ἀποστόλῳ εἰρημένον ἐστίν, ἤγουν τὸ «τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν»[3].

Ζ'. Τούτου ἕνεκεν ἡ τῆς παιδείας αὕτη ῥάβδος ἀφείθη, φησίν, ἵνα

---

1. Ρωμ. 5,14. 2. Πρβλ. Γεν. 3,24. 3. Ρωμ. 8,28.

δι' αὐτῆς ὡς ἐν καμίνῳ πυρὸς τὰ σκεύη πυρούμενα, τὰ μὲν δόκιμα στερεώτερα φανῇ· τὰ δὲ ἀδόκιμα εὔθραστα ὄντα ἐλεγχθῇ, τοῦ πυρὸς τὴν καῦσιν οὐχ ὑπομείναντα. Δοῦλος δὲ ὢν οὗτος καὶ κτίσμα δεσποτικόν, οὐχ ὅσον αὐτῷ δοκεῖ ἐκπειράζει, οὐδὲ καθόσον βούλῃ τὰς θλίψεις ἐπάγει· ἀλλ' ὅσον δὴ τὸ Δεσποτικὸν ἐπιτρέψει νεῦμα διὰ τῆς παραχωρήσεως· αὐτὸς γὰρ σὺν ἀκριβείᾳ τὰ πάντων εἰδώς, ὁπόσον ἐστὶ δύναμις ἑκάστῳ, τοσοῦτον αὐτῷ καὶ τὸ δοκίμιον ὑποστῆναι παραχωρεῖ· καθὰ δὴ καὶ τῷ Ἀποστόλῳ δοκεῖ· «Πιστὸς γὰρ ὁ Θεός», φησίν, «ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε· ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν»[1].

Η'. Ζητῶν καὶ κρούων κατὰ τὴν τοῦ Κυρίου φωνήν, καὶ μέχρι τέλους αἰτῶν τυγχάνει τῶν αἰτημά[872]των· μόνον ἐχέτω παρρησίαν οὗτος, τοῦ τῷ νῷ καὶ γλώττῃ ἀπαραλείπτως ἐπιζητεῖν, καὶ τοῦ τῇ σωματικῇ λειτουργίᾳ ἀνενδότως προσκαρτερεῖν· μὴ τοῖς κοσμικοῖς πράγμασιν ἐμπλεκόμενος, μηδὲ τοῖς τῆς κακίας πάθεσι συνηδόμενος. Ἀψευδὴς γὰρ ὁ εἰπών· ὅτι «Πᾶν ὃ ἐὰν αἰτήσητέ με ἐν προσευχῇ, πιστεύοντες, λήψεσθε»[2]. Οἱ δὲ λέγοντες κἂν πάντα ποιήσειέ τις τὰ ὑποτεταγμένα, παραμείνας δὲ μὴ τύχῃ τῆς χάριτος, κατὰ τὸν αἰῶνα τοῦτον, οὐδὲν ὤνησε» κακῶς οἴδασί τε καὶ λέγουσι, καὶ ταῖς θείαις ἀσυμφώνως Γραφαῖς. Οὐ γάρ ἐστιν ἀδικία παρὰ τῷ Θεῷ[3], ἵνα τῶν ἡμῖν καθηκόντων κατορθωθέντων, αὐτὸς τῶν παρ' ἑαυτῷ ἀμελήσειε. Μόνον ἐπιμελὲς ἔστω σοι εὑρεθῆναι τότε σου ἡ ψυχὴ τοῦ ἀθλίου τοῦδε λύεται σώματος, ἀγωνιζόμενον, σπεύδοντα, προσδεχόμενον τὴν ἐπαγγελίαν, προσκαρτεροῦντα, πιστεύοντα, ἐν διακρίσει ζητοῦντα· κἀγώ σοι λέγω καὶ μὴ ἀπίστει, μετὰ χαρᾶς ἀπελεύσῃ καὶ παρρησίαν ἕξεις, κατὰ τῆς βασιλείας ὀφθήσῃ ἄξιος. Καὶ γὰρ ὁ τοιοῦτος, ἐν λεπτότητι διὰ τῆς πίστεως, φημί, καὶ τῆς προθυμίας, ἤδη κοινωνεῖ τῷ Θεῷ. Ὡς γὰρ «ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι ταύτης, ἐν τῇ καρδίᾳ μεμοίχευκε»[4], καίτοι κατὰ σῶμα μὴ μιανθεὶς οὗτος, ὅμως ὡς μοιχεύσας ἤδη λελόγισται· οὕτως ὁ τὰ πονηρὰ μὲν ἐν τῇ καρδίᾳ ἀποστραφείς, τῷ δὲ Κυρίῳ κολλώμενος πόθῳ καὶ ἐκζητήσει, προσεδρείᾳ τε, φημί, καὶ θεοφιλεῖ διαθέσει, καθάπερ ἤδη κοινωνεῖ τῷ Θεῷ, καὶ μέγα δῶρον αὐτίκα παρὰ Θεοῦ ἔχει αὐτὸ τοῦτο, τὸ τῇ εὐχῇ προσεδρεύειν τῇ ἀγαθῇ τε σπουδῇ καὶ πολιτείᾳ τῇ φιλαρέτῳ. Εἰ γὰρ καὶ ποτηρίου ψυχροῦ δόσις οὐκ ἄμισθος, πόσῳ μᾶλλον τοῖς αὐτῷ προσανέχουσιν ἡμέρας τε καὶ νυκτός, δεομένοις τὸ ἐπαγγελθὲν Θεὸς παρέξει!

Θ'. Πρὸς τοὺς διαπορουντάς φησι, Τί ὅτι μὴ γίνεταί τις ἡμέρα, ἐν ᾗ καὶ μὴ διὰ μίσους ἔχω τὸν ἀδελφὸν ἢ καὶ ἄλλα τινὰ πονηρὰ ἐμαυτῷ συνεπίσταμαι, ἃ καὶ ἄκοντι συμβαίνει μοι πάσχειν; Ταῦτα λεκτέον·

1. Α' Κορ. 10,13. 2. Ματθ. 21,22. 3. Πρβλ. Ρωμ. 9,14. 4. Πρβλ. Ματθ. 5,28.

ὡς ὁ μὲν ἀγὼν ἅπας καὶ ἡ σπουδὴ τῷ ἀνθρώπῳ, ὥστε καὶ τῷ πονηρῷ καὶ τοῖς πονηροῖς ἀντιτίθεσθαι λογισμοῖς διὰ παντὸς ἔστω. Ἀμήχανον δέ, ἵνα τὸ σκότος τῶν παθῶν, καὶ ὁ θάνατος τοῦ φρονήματος, φημί, τῆς σαρκὸς μὴ ἐπιδείκνυσθαί τινα καρπὸν ἴδιον τὴν κακίαν ἤτοι κεκρυμμένως ἢ φανερῶς. Ὥσπερ γάρ τι τραῦμα ἐν σώματι ὄν, ἀδύνατον ἕως οὔπω τέλειον ἰαθῇ, ὡς μηδ' ὀλίγῳ τινὶ τῷ ἰχῶρι μυδᾶν· καὶ ταῦτα θεραπευόμενόν τε καὶ μηδενὸς τῶν εἰς ἐπιμελείας τούτου λόγων ἡκόντων ἀπαξιούμενον, ἀμεληθὲν δὲ σῆψιν· ἔστι δ' ὅτε καὶ λύμην τῷ ὅλῳ ἐργάζεται σώματι· τὸν αὐτὸν οἷου μοι τρόπον καὶ τὰ τῆς ψυχῆς πάθη, καὶ πολλῆς ἀπολαύοντα τῆς σπουδῆς, ὅμως ἔνδον σμύχοντα ἐπιμένειν· πλὴν ἀλλὰ τῷ παραμόνῳ τῆς ἐπιμελείας διὰ τοῦ Χριστοῦ χάριτός τε καὶ συνεργείας ἐντελῆ λαμβάνει τὴν ἴασιν. Ἔστι γάρ τις κρυπτὸς ῥύπος καὶ περιττόν τε σκότος παθῶν, ὃ παρὰ τὴν καθαρὰν τοῦ [873] ἀνθρώπου φύσιν διὰ τῆς τοῦ Ἀδὰμ παραβάσεως παρεισέδυ πάσῃ τῇ ἀνθρωπότητι· καὶ τοῦτο θολοῖ καὶ καταμιαίνει καὶ σῶμα δήπου καὶ τὴν ψυχήν. Ἀλλ' ὥσπερ σίδηρος πυρούμενός τε καὶ τυπτόμενος καθαίρεται· ἢ χρυσὸς χαλκῷ ἢ καὶ σιδήρῳ συγκραθεὶς πυρὶ διαιρεῖται μόνῳ· οὕτω καὶ ἡ ψυχὴ διὰ τῶν ἀχράντων τοῦ Σωτῆρος παθῶν τῷ ἀγαθῷ Πνεύματι πυρουμένη καὶ τυπτομένη παντὸς πάθους καὶ πάσης ἐκκαθαίρεται ἁμαρτίας.

Ι'. Ὥσπερ τινὲς λαμπάδες πολλαὶ ἑνὶ ἐλαίῳ καὶ ἑνὶ ἀναφθεῖσαι πυρί, οὐκ ἴσῳ τῷ μέτρῳ πολλάκις τὴν τοῦ πυρὸς αὐγὴν ἀφιᾶσιν· οὕτω καὶ τὰ χαρίσματα τὰ ἐκ διαφόρων κατορθωμάτων διάφορον ἔχει καὶ τὴν αὐγὴν τοῦ ἀγαθοῦ Πνεύματος· ἢ ὥσπερ ἐν πόλει πολλῶν ὄντων, καὶ τὴν αὐτὴν οἰκούντων ἑνί τε ἄρτῳ καὶ ἑνὶ χρωμένων ὕδατι, οἱ μὲν αὐτῶν ἄνδρες, οἱ δὲ νήπιοι, οἱ δὲ παῖδές εἰσιν, οἱ δὲ γέροντες, καὶ πολὺ τὸ παραλλάττον ἐν αὐτοῖς καὶ διάφορον· ἢ ὥσπερ σῖτος ἐν μιᾷ καὶ τῇ αὐτῇ χώρᾳ κατεσπαρμένος, διαφόρους δήπου καὶ τοὺς στάχυας ἀναδίδωσιν ἐν μέντοι τῇ αὐτῇ ἅλῳ συνάγεται καὶ τῇ αὐτῇ ἀποθήκῃ ἐναποτίθεται· οὕτως οἷου μοι κἂν τῇ τῶν νεκρῶν ἀναστάσει διαφορὰν δόξης τῶν ἀνισταμένων δοξάζεσθαι, καὶ γνωρίζεσθαι κατὰ τὴν ἀξίαν τῶν κατορθωμάτων, κατὰ τὴν μετουσίαν τοῦ ἐντεῦθεν ἤδη ἐνῳκηκότος αὐτοῖς θείου Πνεύματος· καὶ τοῦτο εἶναι τό· «Ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ»[1].

ΙΑ'. Τοῦτο μόνον κατὰ σπουδὴν ἔστω, ἵνα τις γεννηθεὶς τῷ Πνεύματι τῷ Ἁγίῳ τὴν ἔνοικον ἀπονίψηται ἁμαρτίαν· Καὶ γὰρ ἔν τινι μέρει καὶ ἐκείνη ἡ διὰ τοῦ Πνεύματος τοῦ Ἁγίου γέννησις, εἰκόνα τελειότητος ἔχει ἔν τε τῇ μορφῇ καὶ τοῖς μέλεσιν· οὐ μέντοι δυνάμει ἢ νῷ ἢ ἀνδρείᾳ· ὁ γὰρ πρὸς «ἄνδρα τέλειον» καὶ «μέτρον» ἀφικόμενος «ἡλικίας»[2], τὰ τοῦ νηπίου πέφυκε καταργεῖν· καὶ τοῦτό ἐστιν, ὅπερ ὁ Ἀπόστολος ἔλεγεν· «Εἴτε γλῶσσαι καταργηθήσονται, εἴτε προφη-

1. Α' Κορ. 15,41. 2. Ἐφ. 4,13.

τεῖαι»[1]. Ὥσπερ γὰρ ὁ ἀνὴρ ἤδη γενόμενος οὔτε τροφὰς οὔτε λόγους τοὺς παιδὶ προσήκοντας καταδέχεται, ἀλλ' ἀναξιοπαθεῖ πρὸς αὐτά, ὡς ἑτέρας ἤδη διαγωγῆς ἐπιβάς· οὕτως ὁ πρὸς τελείων τῶν εὐαγγελικῶν αὐξάνων κατορθωμάτων, τὴν νηπιότητα τὴν ἑαυτοῦ πρὸς τὴν τελειότητα κατασπάσει. «Ὅτε γάρ», φησὶν ὁ θεῖος Ἀπόστολος, «γέγονα ἀνήρ, κατήργησα τὰ τοῦ νηπίου»[2].

ΙΒ'. Τὸ μὲν κατὰ Πνεῦμα γεννώμενον, τρόπῳ τινί, καθὼς ἐδείκνυμεν, τέλειόν ἐστιν. Ὥσπερ καὶ τουτὶ τὸ νήπιον τέλειον εἶναι λέγομεν, ἐν τῷ τὰ μέρη πάντα τῆς ὁλότητος ἀποσῴζειν. Πάλιν ὁ μὲν Κύριος οὐχὶ Πνεῦμα καὶ χάριν δίδωσιν, ἵνα τις περιπέσῃ ταῖς ἁμαρτίαις· αὐτοὶ δὲ ἑαυτοῖς αἴτιοι τῶν κακῶν οἱ ἄνθρωποι, τῇ χάριτι μὴ στοιχοῦντες καὶ διὰ τοῦτο τοῖς κακοῖς ἁλισκόμενοι· δύναται δὲ καὶ ἐξ ἰδίων ὀλισθαίνειν καὶ φυσικῶν ὁ ἄνθρωπος λογισμῶν, ἀμελῶν ἢ καταφρονῶν ἢ καὶ οἰήσει χρώ**[876]**μενος· ἄκουε γὰρ τί φησιν ὁ Παῦλος· «Ἵνα μὴ ὑπεραίρωμαι ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ ἄγγελος Σατᾶν»[3]. Ὁρᾷς, ὅτι καὶ οἱ τηλικούτων ἁψάμενοι μέτρων ἐπιδεεῖς εἰσιν ἀσφαλείας. Ἄλλως τε καὶ εἰ μὴ δῷ πρόφασίν τῷ Σατανᾷ ὁ ἄνθρωπος, οὐ κυριεύσειεν ἂν αὐτοῦ βίᾳ παρὰ τοῦτο οὔτε τῷ μέρει τοῦ Χριστοῦ οὔτε τοῦ ἀντικειμένου τὸ πρᾶγμα λογίζεται· ἀλλὰ τῇ μὲν χάριτι τοῦ Πνεύματος προστεθεὶς εἰς τέλος, τῆς μερίδος γίνεται τοῦ Χριστοῦ· μὴ οὕτω δὲ σχών· κἂν Πνεύματι γεννηθῇ, τὸ δέ ἐστι, κἂν μέτοχος καὶ τοῦ Ἁγίου Πνεύματος γένηται, παρ' ἑαυτοῦ ἕξει, τὸ ὀπίσω τοῦ θελήματος πορευθῆναι τοῦ Σατανᾶ. Εἴτε γὰρ αὐτὸς ὁ Κύριος εἴτε καὶ ὁ Σατανᾶς πρὸς βίαν ἐλάμβανον, οὐκ ἦν ὁ ἄνθρωπος ἑαυτῷ αἴτιος οὔτε εἰς γέενναν ἐμπεσεῖν οὔτε βασιλείας ἐπιτυχεῖν.

ΙΓ'. Πολλῆς τῷ φιλαρέτῳ φροντιστέον τῆς διακρίσεως, ὥστε τῆς τοῦ καλοῦ καὶ κακοῦ διαφορᾶς ἀπογνώμονα εἶναι καὶ τὰς ποικίλας τοῦ πονηροῦ τέχνας δι' εὐλόγων φαντασιῶν εἰωθότος τοὺς πολλοὺς παρακρούεσθαι, βασανίζειν καὶ συνιέναι. Πλὴν τὸ ἀσφαλές, πρὸς πάντα λυσιτελές· μὴ τοίνυν ἐλαφρότητι διανοίας ταχὺ σεαυτὸν ἐμπάρεχε ταῖς τῶν νοερῶν ἐπιστασίαις εἰς ἀπάτην σου· κἂν αὐτοὶ οἱ οὐράνιοι ἄγγελοι ὦσιν· ἀλλὰ μένε βαρύς, βασάνῳ ταῦτα διδοὺς ἐπιμελεστάτῃ· τὸ μὲν καλὸν οἰκειούμενος, τὸ [δὲ] πονηρὸν διωθούμενος. Οὐ γὰρ ἄδηλα τὰ τῆς χάριτος ἐνεργήματα, ἅπερ ἡ ἁμαρτία, κἂν τὸ τοῦ ἀγαθοῦ πρόσωπον ὑποκρίνηται, παρασχεῖν οὐ δεδύνηται. Εἰ γὰρ καὶ κατὰ τὸν Ἀπόστολον, οἶδεν ὁ Σατανᾶς, εἰς ἄγγελον φωτὸς μετασχηματίζεσθαι[4] χάριν τοῦ ἀπατῆσαι· ἀλλ' οὖν κἂν ὁράσεις λαμπρὰς περιβάλληται, ἀγαθὴν ἐνέργειαν ἧπερ εἴρηται, παρασχεῖν οὐ δυνήσεται· δι' οὗ καὶ τὸ παράσημον ἀκριβὲς γίνεται. Οὐ γὰρ ἀγάπην τὴν εἰς Θεὸν ἢ πλησίον, οὐ πραότητα, οὐ ταπείνωσιν, οὐ χαράν, οὐκ εἰρήνην, οὐ

---

1. Α' Κορ. 13,8. 2. Α' Κορ. 13,12. 3. Β' Κορ. 12,7. 4. Πρβλ. Β' Κορ. 11,14.

τοῦ κόσμου μῖσος, οὐκ ἀνάπαυσιν πνευματικήν, οὐκ ἐπιθυμίαν τῶν οὐρανίων ἐνεργημάτων δύναται, οὐ πάθη καὶ ἡδονὰς καταπαῦσαι, ἅπερ φανερῶς εἰσι τῆς χάριτος ἐνεργήματα. «Ὁ γὰρ καρπός», φησί, «τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη»[1] καὶ τὰ ἑξῆς· τάχα δὲ τύφον μᾶλλον ἐκεῖνος ἐμποιῆσαι καὶ ὑψηλοφροσύνην ἐπιτηδειότατός τε καὶ δυνατώτατος. Ἐκ γοῦν τῆς ἐνεργείας εἴσῃ τὸ ἐλλαμφθὲν ἐν τῇ ψυχῇ σοῦ νοερὸν φῶς, πότερον τοῦ Θεοῦ ἢ τοῦ Σατανᾶ πέφυκεν ὄν· πλὴν ἀλλὰ καὶ αὐτῇ τῇ ψυχῇ, εἴπερ ἔρρωται τὰ τῆς διακρίσεως, εὐθὺς ἀπὸ τῆς νοερᾶς αἰσθήσεως, δῆλα τὰ τῆς διαφορᾶς γίνεται. Ὥσπερ γὰρ ὄξος οἴνῳ, κατὰ μὲν τὴν ὅρασιν ἕν, ἐκ δὲ τῆς κατὰ τὴν γεῦσιν αἰσθήσεως ὁ λάρυγξ ἑκατέρου κρίνει τὸ ἴδιον· οὕτω δὴ καὶ ψυχὴ ἐξ αὐτῆς γε τῆς νοερᾶς αἰσθήσεως καὶ τῆς ἐνεργείας δυνατὴ κρίνειν τά τε τοῦ Πνεύματος χαρίσματα καὶ τὰ τοῦ ἀλλοτρίου φαντάσματα.

[877] ΙΔʹ. Χρὴ σκοπεῖν καὶ προβλέπειν ἄριστα τὴν ψυχήν, μήποτε δὴ κἂν τῷ βραχυτάτῳ ὑπὸ τῆς τοῦ ἀντικειμένου ἀλῷ δυνάμεως. Ὥσπερ γὰρ ἑνὸς μέρους ζῴου παγίδι ληφθέντος, ὅλον ἀνάγκη κάμπτεσθαι καὶ ὑπὸ τῶν θηρευόντων χερσὶν γίνεσθαι· οὕτω δὴ καὶ ψυχῇ τὰ ὅμοια συμβαίνειν παρὰ τῶν ἐχθρῶν εἴωθε. Καὶ τοῦτο δῆλον καθίστησιν ὁ προφήτης· «Παγίδα γάρ», φησίν, «ἡτοίμασαν τοῖς ποσί μου»[2], καὶ κατέκαμψαν τὴν ψυχήν μου.

ΙΕʹ. Δεῖ τὸν βουλόμενον διὰ τῆς στενῆς εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ εἰσελθεῖν καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, μὴ εὐδοκεῖν εὐπαθείᾳ σώματος· ἀλλ' ἐνδυναμοῦσθαι τῷ ἀγαθῷ Πνεύματι, ἔχοντα διὰ μνήμης τὸν εἰπόντα, ὅτι «Σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι»[3]. Πῶς δὲ δεῖ ἐνδυναμωθῆναι πνεύματι; Τῷ Ἀποστόλῳ λέγοντι τὴν σοφίαν τοῦ Θεοῦ μωρίαν τοῖς ἀνθρώποις λογίζεσθαι[4], προσεκτέον· καὶ ὁ προφήτης δέ· «Εἶδον», φησί, «τὸν Υἱὸν τοῦ ἀνθρώπου, καὶ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων»[5]. Δεῖ τοιγαροῦν τὸν βουλόμενον υἱὸν Θεοῦ γενέσθαι κατὰ τὸ ὅμοιον ταπεινωθῆναι πρότερον, καὶ μωρὸν καὶ ἄτιμον λογισθῆναι· μὴ ἀποστρέφοντα τὸ πρόσωπον ἀπὸ ἐμπτυσμάτων[6], μὴ δόξαν, μὴ κάλλος τοῦ αἰῶνος τούτου, μηδὲ τοιοῦτον μεταδιώκοντα, μὴ ἔχοντα ποῦ τὴν κεφαλὴν ἀνακλῖναι[7], ὀνειδιζόμενον καὶ ἐξουθενούμενον, καὶ πάντων παρόραμά τε καὶ καταπάτημα λογιζόμενον, πολεμούμενον ἀφανῶς τε καὶ φανερῶς, καὶ τῇ διανοίᾳ ἀντιμαχόμενον· καὶ τότε αὐτὸς ὁ τοῦ Θεοῦ Υἱός, αὐτός γε εἰπών· «Ἐνοικήσω καὶ ἐμπεριπατήσω ἐν ὑμῖν»[8], ἐμφανὴς ἔσται τῇ αὐτοῦ καρδίᾳ καὶ λήψεται δύναμιν καὶ ἰσχύν, ὥστε δεσμῶσαι τὸν ἰσχυρόν καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι·

1. Γαλ. 5,22. 2. Πρβλ. Ἱερ. 18,22. 3. Αʹ Κορ. 15,50. 4. Πρβλ. Αʹ Κορ. 1,23. 5. Ἡσ. 53,2-3. 6. Πρβλ. Ἡσ. 50,6. 7. Πρβλ. Ματθ. 8,20. 8. Βʹ Κορ. 6,16. Λευϊτ. 26,12.

«ἐπὶ ἀσπίδα τε καὶ βασιλίσκον»[1], καὶ «ἐπάνω σκορπίων καὶ ὄφεων»[2] ἐπιβῆναι.

ΙϚ΄. Οὐ μικρὸς ἡμῖν ἀγὼν πρόκειται, διαρρῆξαι τὸν θάνατον. Φησὶ γάρ· «Ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστιν»[3]. Εὑρίσκεται δὲ τρόπον τινὰ καὶ αὐτὸς ὢν ἐντὸς ὁ πολεμῶν ἡμᾶς καὶ αἰχμαλωτίζων. Μὴ οὖν ἐνδιδότω μηδαμῶς ἡ ψυχή, ἕως ἂν νεκρὸν θείη τὸν ταύτην αἰχμαλωτίζοντα· καὶ τότε διαφεύξεται ὀδύνη πᾶσα καὶ λύπη καὶ στεναγμός[4], διὰ τὸ ῥαγῆναι ὕδωρ ἐν γῇ διψώσῃ, καὶ γενέσθαι τὴν ἔρημον εἰς πλῆθος ὑδάτων»[5].

ΙΖ΄. Ψυχὴ ἁλώσιμος ἀκηδίᾳ δῆλός ἐστι κατάσχετος οὖσα καὶ ἀπιστίᾳ· καὶ διὰ τοῦτο ἡμέραν, ἐξ ἡμέρας ὑπερβιβάζει, τὸν λόγον οὐ δεχομένη· ἀναπτεροῖ δὲ ἑαυτὴν καὶ ὀνείροις πολλάκις, τὸν ἐντὸς μὴ κατανοοῦσα πόλεμον, ἅτε οἰήσει κατειλημμένη· ἡ δὲ οἴησις πύρωσίς ἐστι τῆς ψυχῆς, οὐδαμοῦ ἀφιεῖσα τὴν ἑαυτῆς ἀσθένειαν ἐπιγνῶναι.

ΙΗ΄. Ὥσπερ βρέφος νεογενὲς εἰκόνα τοῦ τελείου διασῴζει ἀνδρός, οὕτω δὴ καὶ ψυχὴ εἰκών τίς ἐστι τοῦ πεποιηκότος αὐτὴν Θεοῦ. Ὡς οὖν καὶ παιδίον κατὰ μέρος μὲν αὐξανόμενον ἐκ μέρους ἐπιγινώσκει **[880]** καὶ τὸν πατέρα· ἐπειδὰν δὲ εἰς ἡλικίαν ἀφίκηται, τότε συνδιατίθεται, υἱῷ τε πατὴρ ἀκριβῶς καὶ υἱὸς πατρί, ἀποκαλύπτεται δὲ αὐτῷ καὶ ὁ τοῦ πατρὸς θησαυρός· οὕτω καὶ ἡ ψυχὴ τῆς παρακοῆς προκόπτειν ἔμελλε καὶ εἰς ἄνδρα τέλειον καταντᾶν· διὰ μέντοι καὶ παρακοὴν εἰς πέλαγος λήθης καὶ εἰς βυθὸν πλάνης κατεβιβάσθη καὶ ἐν πύλαις ᾅδου κατῴκησεν. Ἀπὸ γοῦν πολλοῦ καθαπερεὶ διαστήματος μακρυνθεῖσα τοῦ Θεοῦ ἡ ψυχή, ἀδύνατος αὐτῷ προσελθεῖν ἦν, καὶ ἐπιγνῶναι καλῶς τὸν πλάσαντα. Ἀλλ' ὁ Θεὸς πρῶτα μὲν διὰ προφητῶν ἐπέστρεφεν αὐτὴν καὶ προσεκαλεῖτο, καὶ εἰς ἐπίγνωσιν εἷλκε τὴν ἑαυτοῦ. Ἔσχατον δὲ καὶ αὐτὸς παρελθὼν ἐκεῖνος, ἀφείλετο μὲν τὴν λήθην, ἀφείλετο δὲ τὴν πλάνην· εἶτα καὶ τὰς ᾅδου διαρρήξας πύλας ἐπὶ τὴν πεπλανημένην εἰσῆλθε ψυχήν, ἑαυτὸν ὑπόδειγμα ταύτῃ θέμενος, δι' οὗ δυνατὸν αὐτῇ ἔσται πρὸς μέτρον ἡλικίας πρὸς τὴν τελειότητα τοῦ πνεύματος καταντῆσαι. Πειράζεται τοιγαροῦν ὁ τοῦ Θεοῦ Λόγος πρὸς τοῦ πονηροῦ κατ' οἰκονομίαν· ἔπειτα ὀνειδισμοὺς καὶ ἐξουδενώσεις ὕβρεις τε ῥαπίσματα[6] χειρῶν ἐκείνων τῶν τολμηρῶν καὶ αὐτὸν ἔσχατον τὸν διὰ σταυροῦ θάνατον ὑπομένει[7], ὑποδεικνύς, ὥσπερ ἔφημεν, τίνα τὴν διάθεσιν ἐπιδεικτέον πρός γε τοὺς ὀνειδίζοντας, ἐξουθενοῦντας ἢ καὶ θάνατον ἡμῖν ἐπάγοντας· ἵνα καὶ αὐτὸς τοῖς οὖσι κωφοῖς καὶ ἄλαλος γένηται μὴ ἀνοίγων τὸ στόμα, ἵνα τὴν ἐνέργειαν καὶ λεπτότητα διαβλέπων τῆς πονηρίας, καὶ ὡς ἐν σταυρῷ τοῖς ἥλοις

---

1. Ψαλ. 90,13. 2. Λουκ. 10,19. 3. Λουκ. 17,21. 4. Πρβλ. Ἠσ. 35,10. 5. Πρβλ. Ἠσ. 35,6-7. 6. Πρβλ. Μάρκ. 14,65. 7. Πρβλ. Ἑβρ. 12,2.

ἐμπεπαρμένος μετὰ κραυγῆς ἰσχυρᾶς βοήσειε πρὸς τὸν δυνάμενον αὐτὸν ῥύσασθαι τοῦ θανάτου»[1], καί· «Ἀπὸ τῶν κρυφίων μου», φαίη, «καθάρισόν με»[2]· καί· «Ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι». Τότε γοῦν ἄμωμος γεγονὼς εὑρίσκει «τὸν ὑποτάξαντα αὐτῷ τὰ πάντα»[3], καὶ συμβασιλεύει καὶ συναναπαύεται τῷ Χριστῷ. Καὶ γὰρ διὰ τὴν παρακοὴν ὑπὸ ὑλικῶν τε καὶ ῥυπαρῶν καταποθεῖσα λογισμῶν οἱονεὶ ἄλογος γέγονεν ἡ ψυχή· ὥστε οὐ μικροῦ πόνου τῆς τοιαύτης ἀνακύψαι ὕλης καὶ τὴν λεπτότητα κατανοῆσαι τῆς πονηρίας, καὶ διελθεῖν, ἵνα καὶ ἀνάρχῳ νοῒ συγκραθῇ.

ΙΘ΄. Εἰ βούλει ἐπανελθεῖν εἰς ἑαυτὸν ἄνθρωπον, καὶ ἣν πρώην εἶχες δόξαν ἀναλαβεῖν, ἥτις ἄρα σοι καὶ ἐκ παρακοῆς παραπώλετο· ὡς ἠμεληκὼς πρότερον τοῦ Θεοῦ ἐντολῶν, τοῖς τοῦ ἐχθροῦ διατάγμασι καὶ τῇ συμβουλῇ προσέσχες, οὕτω νῦν ἀποστὰς οὗ ἐπήκουσας, ἐπιστράφηθι πρὸς τὸν Κύριον· πλὴν ἴσθι ὅτι ἐν πολλῷ κόπῳ καὶ ἱδρῶτι, φησί, τοῦ προσώπου σου ἀπολήψῃ τὸν πλοῦτόν σου· οὐ γάρ σοι λυσιτελὴς ἡ τοῦ ἀγαθοῦ ἄπονος κτῆσις· ἐπείπερ ἀπονητὶ λαβὼν ἀπώλεσας ἅπερ εἴληφας καὶ τῷ ἐχθρῷ προὔδωκας τὴν κληρονομίαν σου· ἐπιγνῶμεν οὖν ἕκαστος τίποτε δὴ ἀπωλέσαμεν καὶ τὸν θρῆνον ἀναλάβωμεν τοῦ προφήτου· τῷ ὄντι γάρ· «Κληρονομία ἡμῶν κατεστράφη ἀλλοτρίοις καὶ ὁ οἶκος ξένοις»[4]· τῷ παρακούειν τῆς ἐντολῆς καὶ τοῖς ἑαυτῶν θελήμασιν εἴκειν, καὶ τοῖς ῥυπαροῖς καὶ γηΐνοις ἐνήδεσθαι λογισμοῖς· **[881]** ὥστε καὶ πολλῷ διαστήματι τότε ἀπέχει ἡμῶν ἡ ψυχὴ τοῦ Θεοῦ· ὡς καὶ ὀρφανοῖς ἐοίκαμεν μὴ ἔχουσι πατέρα· ᾧτινι οὖν μέλει περὶ ψυχῆς, ἀγωνιστέον ὁπόση δύναμις καθαίρειν λογισμοὺς πονηροὺς «καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ»[5]. Καὶ οὕτω βιαζομένων τὸν ναὸν τοῦ Θεοῦ τηρεῖν ἄσπιλον, τότε ἔρχεται ὁ ἐπαγγειλάμενος ἐνοικῆσαι καὶ ἐμπεριπατῆσαι ἐν ἡμῖν[6]· καὶ τότε ἀπολαμβάνει καὶ τὴν ἑαυτῆς κληρονομίαν ἡ ψυχή, καὶ ναὸς Θεοῦ γενέσθαι καταξιοῦται. Αὐτὸς γὰρ οὗτος αὐτῷ στρατεύματι τὸν πονηρὸν ἐκδιώξας, τὸ λοιπὸν ἐν ἡμῖν βασιλεύσει.

Κ΄. Ὁ τῷ Κάιν ῥηθεὶς ὑπὸ τοῦ Δημιουργοῦ κατὰ τὸ φανερὸν λόγος, «Στένων καὶ τρέμων»[7] καὶ παλλόμενος ἐπὶ τῆς γῆς ἔσῃ, τύπος τις καὶ εἰκὼν πάντων ἁμαρτωλῶν κατὰ τὸ ἀπόρρητον ἦν. Οὕτω γὰρ τὸ τοῦ Ἀδὰμ γένος τῆς ἐντολῆς ἐκπεσὸν καὶ ἁμαρτίαις ἔνοχον γεγονὸς σαλεύεται λογισμοῖς ἀστάτοις, φόβου τε καὶ δειλίας καὶ ταραχῆς πληρούμενον· αὐτοῦ τε τοῦ ἐχθροῦ ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις πᾶσαν ψυχὴν τὴν μὴ γεγεννημένην ἐκ τοῦ Θεοῦ, κλυδωνίζοντος, καὶ ὡς σῖτον τινὶ σινίῳ ἐνστρέφοντος· οὐ μὴν ἀλλὰ καὶ αὐτὸς ὁ Κύριος τοὺς τοῖς θελήμασιν ἑπομένους τοῦ πονηροῦ, δεικνύων ὅτι τὴν εἰκόνα τῆς τοῦ Κάιν διασῴζουσι πονηρίας ἐλέγχων αὐτούς· «Ὑμεῖς», ἔλεγε, «τὰς

---

1. Πρβλ. Ἑβρ. 5,7. 2. Ψαλ. 18,13. 14. 3. Πρβλ. Α΄ Κορ. 15,27. 4. Πρβλ. Θρ. 5,2. 5. Β΄ Κορ. 10,5. 6. Πρβλ. Β΄ Κορ. 6,16. 7. Γεν. 4,12.

ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν τοῦ ἀνθρωποκτόνου· ἐκεῖνος γὰρ ἀνθρωποκτόνος ἐστὶν ἀρχῆθεν καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν»[1].

ΚΑ'. Κατανοεῖν προσήκει, φησί, πῶς ἡ τοῦ κατὰ γῆν βασιλέως θέα ἐπιπόθητός ἐστι καὶ περισπούδαστος τοῖς ἀνθρώποις· καὶ πᾶς ὅστις πόλιν ἐπιδημῶν ἐν ἧπερ ὁ βασιλεύς, ἐπιθυμητὸν αὐτῷ καὶ μόνον τῆς περιβολῆς ἰδεῖν τὸ πολυτελὲς καὶ φιλότιμον· ἐκτὸς εἰ μὴ ὑπὸ τῶν πνευματικῶν ἀμελεῖται ταῦτα καὶ ἀτιμάζεται· τῷ ἑτέρῳ κάλλει τετρῶσθαι, καὶ ἄλλης αὐτοὺς δόξης ἐπιθυμεῖν. Εἰ οὖν οὕτω τοῖς σαρκικοῖς ἡ τοῦ θνητοῦ βασιλέως ἐσπούδασται θέα· πῶς οὐχὶ μᾶλλον τοῦ ἀθανάτου πολυέραστος ἐκείνοις ἐστίν, οἷς ἐνέσταξέ τις ῥανὶς τοῦ ἀγαθοῦ Πνεύματος καὶ τὴν καρδίαν θεῖος ἔπληξεν ἔρως; Διὰ τοῦτο καὶ πάσης τοῦ κόσμου φιλίας ἑαυτοὺς λύουσιν, ἵνα δυνηθεῖεν ἐκεῖνον τὸν πόθον ἔχειν ἐγκάρδιον διηνεκῶς, καὶ μηδένα ἕτερον πρὸ ἐκείνου. Ὀλίγοι δὲ κομιδῇ οὗτοι, οἵγε τῇ ἀγαθῇ ἀρχῇ καὶ πέρας ἴσον ἐπιτιθέντες, καὶ μέχρι τέλους ἀπρόσκοποι διαμένοντες. Πολλοὶ μὲν κατανύσσονται, καὶ πολλοὶ χάριτος οὐρανίου μέτοχοι γίνονται, καὶ ἔρωτι τιτρώσκονται θείῳ· ἀλλὰ τοὺς μεταξὺ πόνους, καὶ τὰς τοῦ πονηροῦ πείρας ποικίλῃ τέχνῃ καὶ πολυτρόπῳ προβάλλοντος οὐ διενεγκόντες, ὑπέμειναν τε τῷ κόσμῳ, καὶ ἐβυθίσθησαν ἐν τῷ ἐκείνου βυθῷ, διὰ γνώμης χαυνότητα καὶ ἀσθένειαν ἢ καὶ τὸ προσπαθείᾳ τῶν γηΐνων ἁλῶναι. Ὅσοι γὰρ πρὸς ἀσφάλειαν μέχρι τέλους διαδραμεῖν βούλονται, ἄλλον ἔρωτα καὶ ἄλλην ἀγάπην τῇ ἐπουρανίῳ ἐκείνῃ συμπαραμεῖξαι οὐχ ὑπομένουσιν.

[884] ΚΒ'. Ὥσπερ μεγάλα δηλαδὴ καὶ ἀνεκδιήγητα καὶ παρὰ τοῦ Θεοῦ ἐπηγγελμένα πεφύκασιν ἀγαθά, οὕτω καὶ πολλῶν δεῖται πόνων τε καὶ ἀγώνων τῶν μετ' ἐλπίδος καὶ πίστεως· καὶ δῆλον ἐντεῦθεν· «Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι»[2]. Καὶ πάλιν· «Ἐὰν μή τις μισήσῃ πατέρα καὶ μητέρα, καὶ ἀδελφούς, καὶ γυναῖκα, καὶ τέκνα, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου εἶναι μαθητής»[3]. Οἱ πλεῖστοι δὲ τῶν ἀνθρώπων οὕτως ἔχουσιν ἀνοήτως, ὡς τῆς βασιλείας ἐπιτυχεῖν βούλεσθαι, καὶ τῆς αἰωνίου κληρονομῆσαι ζωῆς, καὶ Χριστῷ διὰ τέλους συμβασιλεῦσαι, τὸ μέγα τοῦτο καὶ ὑπὲρ ἔννοιαν· τοῖς ἰδίοις δὲ ζῶντες θελήμασι, καὶ τούτοις ἀκολουθοῦντες· μᾶλλον δὲ τῷ ἐνσπείροντι τὰ μάταια ταῦτα, καὶ φανερῶς βλαβερά.

ΚΓ'. Οὗτοί εἰσιν οἱ μέχρι τέλους ἄπτωτοι διερχόμενοι, οἱ τὰς τοῦ κόσμου πάσας ἐπιθυμίας καὶ ἑαυτοὺς μεθορισμούς τε τούτου καὶ ἡδονὰς καὶ τὰς πρὸς αὐτὸν ἀσχολίας τὸ παράπαν μισήσαντες· τοῦτο γάρ ἐστι τὸ ἀπαρνήσασθαι ἑαυτόν. Ὥσπερ ἰδίῳ θελήματι ἕκαστος τῆς βασιλείας ἐκβάλλεται· τῷ μὴ ἐξ ἀληθείας ἑλέσθαι τοὺς πόνους καὶ ἑαυτὸν ἀπαρνήσασθαι, ἀλλὰ ἐθέλειν ἔτι πρὸς ἐκείνῳ τῷ θεϊκῷ πόθῳ,

1. Ἰω. 8,44. 2. Ματθ. 16,24. 3. Λουκ. 14,26.

καί τισι τοῦ αἰῶνος τούτου συνήδεσθαι· καὶ μὴ τὴν ῥοπὴν ὅλην τοῦ ἰδίου θελήματος τῷ Θεῷ διδόναι. Δι' ἑνὸς δὲ ὑποδείγματος γνώρισμα ἔσται τῷ μετὰ χεῖρας. Διακρίνων μὲν γὰρ διακρίνει ἕκαστος καὶ οὐ λέληθεν αὐτόν, ὅτι ἄτοπον τόδε τυχὸν ὅπερ ὥρμηται ποιῆσαι. Πρῶτον μὲν γὰρ εἴσω κατὰ τὴν καρδίαν ἐπισημαίνεται ἡ ἀμφιβολία· ἡ στάθμη δὲ καὶ ὁ ζυγὸς τῷ ἑαυτοῦ συνειδότι, φανερὰν πρότερον τῆς τε τοῦ Θεοῦ, καὶ τῆς τοῦ κόσμου ἀγάπης τὴν ῥοπὴν ἔνδον ποιεῖ καὶ τότε περὶ τὰ ἔξω πρόεισι. Διακρίνων γάρ, ὡς εἴρηται, διακρίνει ἕκαστος, οἷον εἰ τύχοι τῷ ἀδελφῷ διαπληκτιζόμενος στασιάζει πρὸς ἑαυτόν, πρῶτον καὶ ἀντιτίθησιν. Εἴπω; Ἀλλὰ μὴ εἴπω· ἀντιφθέγξομαι πρὸς ταυτί μοι τὰ ἐπενεχθέντα ὀνείδη; Ἀλλὰ σιωπήσομαι μᾶλλον· ἔχομεν καὶ τῶν Θεοῦ ἐντολῶν· πλὴν ἀλλὰ καὶ τῆς ἰδίας δόξης οὐκ ἀπερχομένης, οὐδὲ παντάπασιν ἑαυτὸν ἑλόμενος ἀπαρνήσασθαι. Εἰ οὖν καὶ μικρὸν ἡ ῥοπὴ τῆς τοῦ κόσμου φιλίας τὸν ἐν τῇ καρδίᾳ ζυγὸν καθελκύσειν, εὐθὺς ὁ πονηρὸς λόγος πρόεισιν ἄχρι καὶ τῶν χειλέων· εἶθ' οὗτος, ὡσπερεὶ τόξον ἐντεινόμενος ὁ νοῦς ἔνδοθεν, βάλλει τὸν πλησίον διὰ τῆς γλώττης, καὶ μέχρι χειρῶν, ἔστι δ' ὅτε καὶ τραυμάτων, ἀλλὰ καὶ αὐτοῦ φόνου, τὸ κακὸν πρόεισιν. Ἔξεστι τοίνυν καὶ παραθεωρεῖν ὅθεν ἀρξάμενον οἷον προέβη δεινοῦ τὸ βραχὺ τοῦτο κίνημα τῆς ψυχῆς. Οὕτω νόει μοι καὶ εἰς ἓν ἕκαστον συμβαίνειν ἁμάρτημά τε καὶ ἐπιτήδευμα, τῆς κακίας κολακευούσης τε καὶ περισαινούσης τὸ θέλημα τῆς ψυχῆς ἐπιθυμίαις κοσμικαῖς καὶ σαρκὸς ἡδοναῖς· **[885]** οὕτως ἀπαρτίζεται μοιχεία, οὕτω κλοπή, οὕτω πλεονεξία, οὕτω καὶ κενοδοξία, οὕτω καὶ πᾶν ὁτιοῦν πονηρόν.

ΚΔ'. Καὶ αὐτὰ τὰ καλὰ πολλάκις ἐπιτηδεύματα διὰ κενὴν δόξαν ἐπιτελεῖται· ὅπερ ἴσον κλοπῆς τε καὶ ἀκηδίας καὶ τῶν ἄλλων μεγάλων ἁμαρτημάτων τῷ Θεῷ κρίνεται. «Ὁ Θεὸς γάρ», φησίν, «διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων»[1]· ὥστε καὶ δι' αὐτῶν τῶν καλῶν ὑπηρετεῖσθαι καὶ θεραπεύεσθαι ὁ ἐχθρὸς βούλεται, ἀπατηλὸς ὢν ἐκεῖνος καὶ ποικίλος καὶ σκολιός.

ΚΕ'. Ὅπερ τις ἐφίλησε τοῦ παρόντος κόσμου τούτου καὶ βαρύνει δὴ τὴν ἐκείνου διάνοιαν, καὶ οἱονεὶ κάτω καθέλκει, καὶ συνωθεῖ καὶ ἀνακύψαι αὐτὴν οὐκ ἀνίησι. Τῶν γὰρ τοιούτων τὸ στάθμιόν τε καὶ ἡ ῥοπὴ καὶ τὸ ζύγιον τοῦ θελήματος τῆς καρδίας ὥσπερ ἐξήρτηται καὶ βάσανος ἔνθεν γίνεται παντὶ τῷ ἀνθρωπείῳ γένει, ἤτοι τῶν ἐν πόλεσιν οἰκούντων Χριστιανῶν ἢ τῶν ἐν ὄρεσι· τῶν ἐν μοναῖς ἢ ἐν ἀγροῖς ἢ ἐν ἐρημίαις, ὅτι ἑκών τις δελεαζόμενος ὑφ' οὗπερ φιλεῖ, δῆλός ἐστιν οὔπω τὴν ἀγάπην αὐτοῦ ὅλην παραδοὺς τῷ Θεῷ. Οἷον, ἠγάπησέ τις, εἰ τύχοι, κτήματα, χρυσίον ἄλλος, ἕτερος τῇ γαστρὶ δουλεύειν, ἢ ἐπιθυμίαις ταῖς τῆς σαρκὸς χαρίζεσθαι, ἄλλος σοφίαν λόγων διὰ δόξαν ἐπίκηρον· ὁ μὲν ἀρχήν, ὁ δὲ τὰς ἐξ ἀνθρώπων τιμάς,

1. Ψαλ. 52,6.

ὀργὴν ἄλλος καὶ μῆνιν· τὸ γὰρ ἔκδοτον ἑαυτὸν παρασχεῖν τῷ φίλων αὐτῷ φαίνεται· ἕτερος ὁμιλίας εἰς οὐδὲν δέον. Ἄλλος ἁπλῶς τὸ μεθορίζεσθαι ἢ λόγοις προσέχειν ἀργοῖς ἢ τὸ διδάσκαλος εἶναι καὶ τοῦτο διὰ δόξαν τὴν ἐξ ἀνθρώπων· καὶ ὁ μὲν χαυνώσει καὶ ἀμελείᾳ πρόσκειται· ὁ δὲ ἱματίων καλλωπισμοῖς ἥδεται· οὗτος ὕπνῳ, ἐκεῖνος εὐτραπελίᾳ, καὶ ἄλλος μικρῷ τινι ἢ μεγάλῳ τοῦ κόσμου δέδεται καὶ κατέχεται, καὶ οὐκ ἀνίεται ἀνακύψαι· πρὸς ὃ γὰρ πάθος οὐ διαμάχεταί τις γενναίως, οὐδὲ ἀντικαθίσταται ἐκείνῳ πάντως, καὶ ἥδεται· κἀκεῖνο καθέλκον αὐτὸν καὶ κατέχον οἱονεὶ δεσμός τις καὶ κύφων τῆς διανοίας αὐτοῦ γίνεται τοῦ μὴ πρὸς τὸν Θεὸν ἀναφέρεσθαι, μηδ' αὐτῷ μόνῳ λατρεύειν. Ψυχὴ γὰρ ἡ ἀληθῶς πρὸς Κύριον τὴν ὁρμὴν ἀπευθύνασα, πᾶσαν αὐτῷ τὴν ἔφεσιν ἐπιτρέπει, αὐτή τε ἑαυτῆς ἔξαρνος γίνεται, καὶ τοῦ ἰδίου νοὸς τοῖς θελήμασιν οὐκ ἀκολουθεῖ.

ΚϚʹ. Διδακτέον ἐκ παραδείγματος, πῶς θελήματι ἰδίῳ παραπόλλυται ἄνθρωπος. Διὰ γὰρ ἀγάπην τινὸς τῶν τοῦ κόσμου ἔν τε πυρὶ βάλλεται καὶ ἐν θαλάσσῃ βυθίζεται, καὶ αἰχμαλωσίᾳ ἑαυτὸν ἐμπαρέχει· ὑποκείσθω γάρ, οἶκόν τινος ἢ ἀγρόν, οὕτω συμβάν, καταπίμπρασθαι. Ὁ τοίνυν ἑαυτὸν περικαῦσαι βουλόμενος, ὡς τοῦ ἐμπρησμοῦ ᾔσθετο, γυμνὸς ἐκπέφευγε πάντων ἀμελήσας, καὶ τῆς ἑαυτοῦ μόνης ψυχῆς γε[888]νόμενος. Ἕτερος δὲ εἰς νοῦν αὐτῷ ἐπελθὸν καί τινα τῶν σκευῶν ἐξελεῖν, ὑπέμεινεν ἆραι· καὶ ὡς ἐν αὐτῷ λαμβάνειν αὐτὸς ἦν, κατακρατῆσαν ἤδη τῆς οἰκίας τὸ πῦρ καὶ αὐτὸν συνέλαβε καὶ κατέκαυσεν. Ὁρᾷς ὅπως ἰδίῳ θελήματι, φιλίᾳ τινὸς τῶν προσκαίρων ὃ παρ' ἑαυτὸν φαίνεται ἀγαπήσας, τῷ πυρὶ παραπώλετο. Ἑτέρων πάλιν ναυαγίῳ περιπεσόντων, ὁ μὲν σῴζειν ἑαυτὸν βουλόμενος, ἀποδύεται καὶ γυμνὸς τοῖς ὕδασιν ἐπαφίεται· καὶ οὕτω δυνατὸν αὐτῷ γίνεται τὴν ἰδίαν περισῶσαι ψυχήν. Ὁ δὲ καὶ τῶν ἐνδυμάτων συνδιασῶσαί τινα θελήσας, ὑπὸ τῶν ὑδάτων κατεβαπτίσθη καὶ διὰ βραχύ τι κέρδος —ὢ τῆς συμφορᾶς! — καὶ ἑαυτὸν συναπώλεσεν. Καὶ πάλιν ὑποκεῖσθαι καὶ ἐχθρῶν τινα ἔφοδον παρηγγέλθαι καὶ τὸ μὲν ἅμα τε ἀκοῦσαι, εὐθὺς ὡς εἶχε ποδῶν ἐκφυγεῖν, μὴ μελῆσαν αὐτῷ τῶν μηδενός· τὸν δὲ διαπιστήσαντα, εἰ καὶ τῶν πραγμάτων τινὰ βουληθέντα συνεκκομίσαι, εἶτα ἐφυστερήσαντα συλληφθῆναι καταλαβόντων τῶν πολεμίων. Ὁρᾷς ὅτι θελήματί τις ἰδίῳ δι' ἀμέλειαν καὶ τὸ προσηλῶσθαί τισι τῶν τοῦ κόσμου, τήν τε τοῦ σώματος καὶ τὴν τῆς ψυχῆς ἀπώλειαν ὑπομένει.

ΚΖʹ. Ὀλίγοι μὲν ἀτεχνῶς οἱ τελείαν τὴν πρὸς Θεὸν ἀγάπην κτησάμενοι, πάσας τε ἡδονὰς τοῦ κόσμου καὶ τὰς ἐπιθυμίας τὸ μηδὲν λογιζόμενοι καὶ τοὺς τοῦ πονηροῦ πειρασμοὺς φέροντες μακροθύμως. Πλὴν οὐ παρὰ τοῦτο ἀπογνωστέον, οὐδὲ τῆς ἀγαθῆς ἐλπίδος ἀμελητέον. Κἂν γὰρ πολλὰ τῶν πλοίων ὑπομένῃ ναυάγιον· ἀλλ' εἰσὶ πάντως ἃ καὶ διαπερῶντα, τοῦ λιμένος ἐπιλαμβάνεται. Διὰ τοῦτο πίστεως ἡμῖν πολλὴ χρεία, ὑπομονῆς τε καὶ προσοχῆς καὶ ἀγώνων· πρὸς δὲ

πείνης τε καὶ δίψης τοῦ ἀγαθοῦ, κατὰ πολλὴν σύνεσιν καὶ διάκρισιν· οὐ μὴν ἀλλὰ καὶ ὀξύτητός τε καὶ ἀναιδείας περὶ τὴν αἴτησιν. Οἱ γὰρ πλείους τῶν ἀνθρώπων, ὥσπερ προέφημεν, καμάτων ἄνευ καὶ ἱδρώτων τῆς βασιλείας ἐπιτυχεῖν βούλονται· καὶ τοὺς μὲν ἁγίους μακαρίζουσιν ἄνδρας καὶ τῆς τιμῆς αὐτῶν καὶ τῶν χαρισμάτων ἐπιθυμοῦσι, τῶν ἴσων δὲ θλίψεων αὐτοῖς, τῶν πόνων τε καὶ τῶν παθημάτων οὐ βούλονται κοινωνεῖν. Τούτου δὲ πάντες καὶ πόρναι καὶ τελῶναι καὶ πᾶς τις ἀνθρώπων ἐπιθυμεῖ. Ἀλλὰ διὰ τοῦτο πειρασμοὶ πρόκεινται καὶ δοκιμασίαι, ἵνα δῆλοι γένωνται[1], τίνες οἱ πρὸς ἀλήθειαν τὸν ἑαυτῶν ἠγάπησαν Δεσπότην· καὶ δικαίως οὗτοι τῆς τῶν οὐρανίων ἐπιτύχωσι βασιλείας.

ΚΗ΄. Ταῖς θλίψεσι καὶ τοῖς παθήμασι, τῇ ὑπομονῇ τε καὶ πίστει ἐγκεκρύφθαι νόμιζε τὰς ἐπαγγελίας, αὐτήν τε τὴν δόξαν, τὴν τῶν οὐρανίων ἀγαθῶν ἀπόληψιν· ἐπεὶ καὶ τὸν ῥιπτόμενον τῇ γῇ σῖτον ἢ καὶ τὸ δένδρον φημὶ τὸ ἐγκεντριζόμενον, ἀνάγκη σήψει πρότερον καὶ ἀτιμίᾳ ὑποπεσεῖν· καὶ οὕτω τοῦ εὐπρεποῦς αὐτοῦ ἐνδύματος τὸν πολλαπλάσιον καρπὸν ἀπολαβεῖν. Εἰ μὴ γὰρ διὰ τῆς σήψεως ταύτης κἀκείνων τῶν ὥσπερ ἀτίμων διελθεῖν αὐτοῖς γέγονεν, οὐκ ἂν τὴν ἐσχάτην εὐπρέπειαν καὶ τὸ τῆς θέας κάλλος περιεβάλλοντο. Τοῦτο δὲ καὶ τῷ Ἀποστόλῳ δοκεῖ· «Διὰ πολλῶν γάρ», φησί, «θλίψεων δεῖ ἡμᾶς, εἰς τὴν βα**[889]**σιλείαν τοῦ Θεοῦ εἰσελθεῖν»[2]· καὶ ὁ Κύριος· «Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσεσθε τὰς ψυχὰς ὑμῶν»[3]· καί· «Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε»[4].

ΚΘ΄. Ἕκαστος ὑμῶν ὅσονπερ ἂν καταξιωθείη τῇ τε πίστει καὶ τῇ σπουδῇ μέτοχος Ἁγίου γενέσθαι Πνεύματος, τοσοῦτον ἐκείνης τῆς ἡμέρας δοξασθήσεται αὐτοῦ καὶ τὸ σῶμα. Ὃ γὰρ νῦν ἔνδον ἀπεθησαύρισε τῇ ψυχῇ, τότε καὶ ἐκτὸς ἐπὶ τοῦ σώματος ἀποκαλυφθήσεται· καὶ τὸ παράδειγμά φησιν ἐκ τῶν δένδρων. Χειμῶνος γὰρ παρελθόντος, καὶ ἡλίου φαιδρότερόν τε καὶ ἀκμαιότερον ἐπιλάμψαντος, ὡς δέον, καὶ ἀνέμων ἐπιπνευσάντων, ἔσωθεν ἐκεῖνα φύει καὶ ὡς ἐνδύματα, φύλλα καὶ τὰ ἄνθη καὶ τοὺς καρποὺς περιβάλλεται. Παραπλησίως δὲ καὶ τοῦ χόρτου ἄνθος κατ' ἐκεῖνο καιροῦ τῶν κόλπων τῆς γῆς ἀναδίδοται καὶ σκέπτεται τούτοις γῆ· καὶ ὡς ἐμπρεπὲς αὐτὰ περιβόλαιον ἀμφιέννυται. Καὶ γὰρ ἐνδοξασθήσονται δι' αὐτοῦ τοῦ ἀπό γε τοῦ νῦν ἐνυπάρχοντος ἀρρήτου φωτός, εἴτ' οὖν τῆς τοῦ Πνεύματος δυνάμεως· ὅπερ καὶ τότε ἔσται αὐτοῖς ἔνδυμα, βρῶσις, πόσις, ἀγαλλιασμός, χαρά, εἰρήνη, καὶ τὸ πᾶν, ζωὴ αἰώνιος.

---

1. Πρβλ. Α' Κορ. 11,19. 2. Πράξ. 14,22. 3. Λουκ. 21,19. 4. Ἰω. 16,33.

ΠΕΡΙ ΥΨΩΣΕΩΣ ΤΟΥ ΝΟΟΣ ΛΟΓΟΣ

Α'. Μωσῆς ὁ μακάριος ὑπέδειξε τύπον διὰ τῆς τοῦ προσώπου αὐτοῦ ἐπιλαμπούσης τοῦ Πνεύματος δόξης, ᾗ οὐδεὶς ἀνθρώπων ἀτενίσαι ἐδύνατο, πῶς ἐν τῇ τῶν δικαίων ἀναστάσει τὰ σώματα δοξασθήσεται τῶν ἁγίων· ἣν δόξαν ἀπὸ τοῦ νῦν ἐν τῷ εἴσω ἀνθρώπῳ αἱ πισταὶ τῶν ἁγίων ἔχειν καταξιοῦνται ψυχαί· «Ἡμεῖς γάρ», φησίν, «ἀνακεκαλυμμένῳ προσώπῳ, τοῦτ' ἔστιν ἐν τῷ ἔσω ἀνθρώπῳ, τὴν δόξαν Κυρίου κατοπτριζόμεθα, εἰς τὴν αὐτὴν εἰκόνα μεταμορφούμενοι ἀπὸ δόξης, εἰς δόξαν»[1]. Περὶ τούτου γέγραπται πάλιν, τεσσαράκοντα νύκτας καὶ ἡμέρας[2] **[892]** τὰς ἴσας μὴ τροφῆς μνησθῆναι, μὴ πόσεως, ὅπερ οὐκ ἀνθρωπίνης φύσεως ἔργον, εἰ μή τι ἄρα τροφῆς ἐκοινώνει πνευματικῆς· ἧσπερ δὴ καὶ αὐτῆς ἀπὸ τοῦ νῦν αἱ ἅγιαι ψυχαὶ μεταλαμβάνουσιν ἐκ τοῦ Πνεύματος.

Β'. Τὴν δόξαν ἣν ἐντεῦθεν αἱ τῶν ἁγίων πλουτοῦσι ψυχαί, ἐκείνη καλύψει καὶ ἀμφιάσει τὰ γυμνὰ σώματα ἐν τῇ ἀναστάσει, καὶ εἰς οὐρανοὺς ἀνάρπαστα ποιήσει· καὶ τότε λοιπὸν σώματι καὶ ψυχῇ ἐν τῇ βασιλείᾳ Θεοῦ ἅμα διηνεκῶς ἀναπαύσονται. Τὸν γὰρ Ἀδὰμ κτίσας ὁ Θεὸς πτέρυγας αὐτῷ σωματικὰς ὡς τοῖς πετεινοῖς οὐκ ἐνέθηκεν, ἅτε τὰς τοῦ Πνεύματος κατὰ τὴν ἀνάστασιν παρέξειν αὐτῷ μέλλων, ἵνα κουφίζηται δι' αὐτῶν καὶ ἁρπάζηται ὅπου πάντως τὸ Πνεῦμα βούληται· ταύτας δὲ τὰ νοητὰς πτέρυγας ταῖς τῶν ἁγίων ψυχαῖς ἀπὸ τοῦ νῦν δέδοται ἔχειν, αἳ πρὸς τὸ οὐράνιον αὐτὰς μεθορίζουσι φρόνημα. Χριστιανῶν γὰρ κόσμος ἄλλος, καὶ ἄλλα ἐνδύματα, καὶ τράπεζα ἄλλη καὶ ἄλλη ἀπόλαυσις. Ἐπεὶ καὶ οὐρανόθεν ἐλεύσεσθαι τὸν Χριστὸν οἴδαμεν ἀναστῆσαί τε τοὺς ἐκ τοῦ παντὸς αἰῶνος κεκοιμημένους καθὼς αἱ θεῖαι Γραφαὶ καὶ εἰς δύο τούτους διελόντα μέρη[3], καὶ τὰ ἑξῆς.

Γ'. Οἷς μέλει τὸν τοῦ Χριστιανοῦ βίον ὡς κάλλιστα κατορθοῦν, τούτοις καὶ προσήκει, προηγουμένως τοῦ διανοητικοῦ τε καὶ διακριτικοῦ καὶ ἡγεμονικοῦ μέρους τῆς ψυχῆς διὰ πάσης ἐπιμελεῖσθαι τῆς σπουδῆς· ἵνα τὴν τοῦ καλοῦ τε καὶ κακοῦ διάκρισιν ἀκριβώσαντες καὶ ἃ παρὰ φύσιν ἐπεισήχθη πάθη τῆς καθαρᾶς ἀποκρίναντες φύσεως, ἀπροσκόπτως ζῆν ἔχοιεν, ὡς ὀφθαλμῷ τῷ τῆς διακρίσεως μέλει χρωμένοις, καὶ ἀσύνθετοι πρὸς τὰς τῆς κακίας ἀφορμὰς εἶναι δυνάμενοι. Ἔστι γὰρ θέλημα τῇ ψυχῇ τὰ μέλη τοῦ σώματος τῆς τῶν αἰσθήσεων βλάβης ἄχραντα συντηρεῖν, ἀπεῖρξαί τε ἑαυτὴν τῶν τοῦ κόσμου περισπασμῶν, καὶ φυλάξαι τὴν καρδίαν, τοῦ μὴ ἐξαπλοῦν τῷ κόσμῳ τὰ μέλη τῶν αὐτῆς λογισμῶν, ἀλλὰ περισφίγγειν αὐτὰ πάντοθεν καὶ

---

1. Β' Κορ. 3,18. 2. Πρβλ. Ἐξ. 24,18. 34,28. 3. Πρβλ. Ματθ. 25,32.

συνέχειν χαμαιζήλου μερίμνης καὶ ἡδονῆς. Ἐπειδὰν οὖν ὁ Κύριος ἴδῃ τινὰ ταύτῃ διάγοντα, καὶ οὕτως ἑαυτὸν ἀκριβοῦντα, φόβῳ τε καὶ τρόμῳ δουλεύειν αὐτῷ προθέμενον, ἐπορέγει καὶ τὴν ἐκ τῆς αὐτοῦ χάριτος ἐπικουρίαν. Ἐπεὶ τί ποιήσειεν ὁ Θεὸς τῷ ἑκοντὶ τῷ κόσμῳ ἑαυτὸν ἐκπαρέχοντα καὶ ὀπίσω τῶν ἡδονῶν αὐτοῦ πορευόμενον;

Δ'. Αἱ νήψασαι πέντε παρθένοι[1] ἐκεῖναι, καὶ τὸ ξένον τῆς ἑαυτῶν φύσεως ἔλαιον ἐν τοῖς ἀγγείοις παραλαβοῦσαι τῆς καρδίας, τοῦτο δὲ ἡ χάρις τοῦ Πνεύματος, ἐδυνήθησαν εἰς τὸν νυμφῶνα συνεισελθεῖν τῷ νυμφίῳ. Αἱ ἄλλαι δὲ αἱ μωραί[2], αἱ κακαί, τῇ ἰδίᾳ φύσει ἐναπομείνασαι, οὐκ ἔνηψαν, οὐδὲ κατὰ σπουδῆς ἔσχον τὸ τοιόνδε τῆς ἀγαλλιάσεως ἔλαιον εἰς τὰς ἑαυτῶν καρδίας παραλαβεῖν· ἀλλ' οἱονεὶ ἀφύπνωσαν, δι' ἀμέλειάν τε καὶ χαυνότητα, καὶ δικαιοσύνης οἴησιν· παρ' ὃ καὶ ὁ νυμφὼν αὐταῖς ἀπεκλείσθη τῆς βασιλείας. Δῆλον γὰρ ὅτι δεσμῷ τινι τοῦ κόσμου καὶ φιλίᾳ γεγόνασι καθεκταί, καθότι τὴν ἀγάπην **[893]** αὐτῶν ἐντελῆ καὶ τὸν ἔρωτα τῷ ἐπουρανίῳ μὴ παρέσχον νυμφίῳ· καὶ γὰρ αἱ τὸ ξένον τῆς φύσεως τὸν ἁγιασμὸν τοῦτον ζητοῦσαι ψυχαὶ τοῦ Πνεύματος, ὅλην τὴν ἀγάπην αὐτῶν ἐξάπτουσαι τῷ Χριστῷ, ἐκεῖ περιπατοῦσιν, ἐκεῖ εὔχονται, ἐκεῖ λογίζονται, ἐκεῖ μελετῶσι, πάντων ἀποστᾶσαι τῶν ἄλλων. Αἱ γὰρ πέντε τῆς ψυχῆς αἰσθήσεις, σύνεσις, γνῶσις, διάκρισις, ὑπομονή, ἔλεος, ἂν τὴν ἄνωθεν χάριν καὶ τὸν ἁγιασμὸν τοῦ Πνεύματος δέξωνται, καὶ φρόνιμοι τῇ ἀληθείᾳ παρθένοι ἔσονται· εἰ δὲ τῇ φύσει ἑαυτῶν ἐγκαταλειφθεῖεν, μωραὶ τῷ ὄντι εὑρίσκονται, καὶ τέκνα οὖσαι τοῦ κόσμου δείκνυνται.

Ε'. Ὥσπερ ξένην τῆς φύσεως ἡμῶν τὴν κακίαν οὖσαν, διὰ δὲ τῆς παραβάσεως τοῦ πρώτου παρεισδῦσαν ἀνθρώπου κατεδεξάμεθα, φύσιν ἡμῖν τῷ χρόνῳ καθαπερεὶ γεννωμένην. Οὕτω δὴ καὶ διὰ τοῦ ξένου τούτου τῆς ἡμετέρας φύσεως, τῆς ἐπουρανίου, φημί, τοῦ Πνεύματος δωρεᾶς, ἀποσκορακισθῆναι πάλιν αὐτὴν τῆς ἡμετέρας προσήκει φύσεως, καὶ εἰς τὴν ἀρχαίαν ἡμᾶς καθαριότητα καταστῆναι. Ὡς εἰ μὴ τοῦτο τῇ πολλῇ δεήσει καὶ πίστει, προσοχῇ, καὶ τῶν τοῦ κόσμου ἀποστροφῇ, γένοιτο, καὶ ἡ μιανθεῖσα πρὸ τῆς κακίας φύσις ἡμῶν, ὑπὸ τῆς ἀγάπης ἐκείνης, ἥτις ὁ Κύριός ἐστιν, ἁγιασθείη, καὶ μέχρι τέλους ἄπτωτοι διαμείνωμεν τῶν ἐντολῶν αὐτοῦ τῶν θείων μεταποιούμενοι, τῆς ἐπουρανίου βασιλείας ἐπιτυχεῖν οὐ δυνάμεθα.

Ϛ'. Λεπτόν τινα καὶ βαθὺν λόγον κατὰ τὰ ἐμοὶ δυνατά, διελθεῖν βούλομαι. Σωματοποιεῖ ἑαυτὸν ὁ ἄπειρος καὶ ἀσώματος Κύριος διὰ χρηστότητα ἄπειρον, καὶ σμικρύνει, ὡς ἂν τις φαίη, ὁ μέγας καὶ ὑπερούσιος, τοῦ δυνηθῆναι τοῖς νοεροῖς αὐτοῦ κτίσμασι συγκραθῆναι ψυχαῖς, ἁγίων, φημί, καὶ ἀγγέλων, ἵνα δυναταὶ γένοιντο καὶ αὗται ζωῆς ἀθανάτου τῆς αὐτοῦ θεότητος μετασχεῖν· ἐπεὶ καὶ ἕκαστον κατὰ τὴν ἰδίαν φύσιν, σῶμά ἐστιν, ὁ ἄγγελος, ἡ ψυχή, ὁ δαίμων. Κἂν γὰρ

---

1. Πρβλ. Ματθ. 25,2 ἑξ. 2. Πρβλ. Ματθ. 25,3. ἑξ.

λεπτὰ εἶεν, ἀλλ' ὅμως ἐν ὑποστάσει χαρακτῆρί τε, καὶ εἰκόνι κατὰ τὴν λεπτότητα τῆς ἑαυτῶν φύσεως, σῶμα τυγχάνει λεπτόν. Ὥσπερ ἐν ὑποστάσει τουτὶ τὸ σῶμα παχύ ἐστι, οὕτω καὶ ἡ ψυχὴ σῶμα οὖσα λεπτὸν περιέβαλε καὶ ἐνεδύσατο τὰ μέλη τοῦδε τοῦ σώματος. Περιέβαλλε γὰρ τὸν ὀφθαλμὸν δι' οὗπερ γοῦν καὶ ὁρᾷ· περιέβαλλε τὸ οὖς τοῦτο δή, δι' οὗ καὶ ἀκούει· τὴν χεῖρα, τὴν ῥῖνα, καὶ ἁπαξαπλῶς ὅλα τὰ μέλη τοῦ σώματος περιέβαλλε καὶ συνεκράθη ὅλοις αὐτοῖς ἡ ψυχή, δι' οὗ καὶ πάντα ὅσα δὴ τῷ βίῳ ἐνστρέφεται ἐπιτηδεύματα διανύει. Τὸν οὖν αὐτὸν τρόπον, καὶ ἡ ἀλάλητός τε καὶ ἀνεννόητος τοῦ Χριστοῦ χρηστότης σμικρύνει καὶ σωματοποιεῖ ἑαυτήν, καὶ συγκιρνᾶται καὶ περιλαμβάνει τὰς πιστὰς καὶ φίλας αὐτοῦ ψυχάς, καὶ εἰς ἓν αὐταῖς πνεῦμα γίνεται, κατὰ τὸ λόγιον Παύλου[1], ψυχὴ εἰς ψυχήν, ὡς φάναι, καὶ ὑπόστασις γοῦν εἰς ὑπόστασιν, ὡς ἂν τῇ τοιᾷδε ψυχῇ ἐν τῇ αὐτοῦ θεότητι ζῆσαί τε ὑπάρξῃ καὶ ἀθανάτου ζωῆς ἐφικέσθαι, καὶ ἡδονῆς ἀφθάρτου καὶ ἀρρήτου δόξης κατατρυφῆσαι.

[896] Ζ΄. Τῇ τοιαύτῃ ψυχῇ, φησίν, ὁ Κύριος, ὅτε μὲν βούλεται πῦρ γίνεται, πᾶν φαῦλον αὐτῆς καὶ ἐπείσακτον διακαῖον· ὥσπερ καὶ ὁ προφήτης φησίν· «Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον»[2]. Ὅτε δὲ ἀνάπαυσις ἄρρητος, ὅτε δὲ χαρὰ καὶ εἰρήνη, περιθάλπων καὶ περιβάλλων αὐτήν. Μόνον ἐν σπουδῇ θετέον φιλεῖν αὐτὸν καὶ χαρίζεσθαι τρόποις ἀγαθοῖς, καὶ αὐτῇ πείρᾳ, αὐτῇ αἰσθήσει ὄψεται ἀψάμενος ἀλαλήτων ἀγαθῶν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη[3], ὅσα τὸ Πνεῦμα Κυρίου γίνεται, τοῦτο μὲν εἰς ἀνάπαυσιν τοῦτο δ' εἰς ἀγαλλίασιν καὶ τρυφὴν καὶ ζωὴν τῆς ἀξίας ἐκείνου δεικνυμένης ψυχῆς. Σωματοποιεῖ γὰρ ἑαυτὸν ὥσπερ εἰς βρῶσιν πνευματικήν, οὕτω καὶ εἰς ἔνδυμά τε καὶ κάλλη ἀνεκδιήγητα, ἵν' εὐφροσύνης οὕτω πληρώσῃ πνευματικῆς· «Ἐγὼ γάρ εἰμι», φησίν, «ὁ ἄρτος τῆς ζωῆς»[4]· καί· «Ὁ πίνων ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται αὐτῷ πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον»[5].

Η΄. Οὕτω, φησί, καὶ ἑκάστῳ τῷ ἱερέων καὶ ἁγίων ὁ Θεὸς ὤφθη, ὡς αὐτῷ θέλημα καὶ τῷ ὁρῶντι λυσιτελές, οἷον, ἄλλως τῷ Ἀβραάμ, καὶ ἄλλως τῷ Ἰσαάκ, τῷ Ἰακὼβ ἄλλως, τῷ Νῶε, τῷ Δανιήλ, τῷ Μωσεῖ, τῷ Δαυΐδ, καὶ ἑκάστῳ τῶν προφητῶν, σμικρύνων ἑαυτὸν καὶ σωματοποιῶν, ὥσπερ εἴρηται, μεταμορφούμενός τε καὶ ὀπτανόμενος, τούτοις ἀγαπῶσιν αὐτόν, οὐ καθ' ὅσον αὐτός ἐστιν (ἀχώρητος γάρ), ἀλλὰ κατὰ τὴν ἐκείνων χώρησίν τε καὶ δύναμιν, διὰ τὴν πολλὴν καὶ ἀπερινόητον ἣν ἔσχεν εἰς αὐτοὺς ἀγάπην.

Θ΄. Ψυχὴ καταξιωθεῖσα τὴν ἐξ ὕψους εἰσοικίσασθαι δύναμιν, καὶ τὸ πῦρ ἐκεῖνο τὸ θεῖον, καὶ τὴν ἐπουράνιον τοῦ ἀγαθοῦ Πνεύματος ἀγάπην συγκεκραμένην ἔχουσα τοῖς ἑαυτοῦ μέλεσι, πάσης κοσμικῆς

1. Πρβλ. Α΄ Κορ. 6,17. 2. Δευτ. 4,24. 9,3. 3. Α΄ Κορ. 2,9. 4. Πρβλ. Ἰω. 6,51. 5. Ἰω. 4,14.

ἀγάπης ἀτεχνῶς λύεται, καὶ δεσμοῦ κακίας ἀνίεται. Ὥσπερ γὰρ σίδηρος ἢ μόλυβδος, χρυσός τε καὶ ἄργυρος πυρὶ παραβληθεὶς λύεται, καὶ τῆς φύσεως αὐτοῦ τὸ ἀντίτυπον εἰς ἁπαλότητα μεταβάλλει, ἐν ὅσῳ τε τῷ πυρὶ ὁμιλεῖ, χαῦνός ἐστι καὶ ἔκλυτος, καὶ τὴν φυσικὴν ἀποβεβληκὼς ἀντιτυπίαν διὰ τὴν τοῦ πυρὸς δύναμιν· οὕτω καὶ ψυχὴ τὸ ἐπουράνιον ἐκεῖνο δεξαμένη πῦρ τῆς ἀγάπης τοῦ Πνεύματος, πάσης προσπαθείας τοῦ κοσμικοῦ πνεύματος ἐκχωρεῖ, καὶ τῶν δεσμῶν ἀφίεται τῆς κακίας, ἐξ αὐτῆς τε τῆς φυσικῆς σκληρότητος μεταβάλλει τῆς ἁμαρτίας, μικρὰ πάντα λογιζομένη καὶ ἀτιμάζουσα. Φημὶ δ' ὅτι κἄν τινες αὐτῇ εἶεν ἀδελφοὶ κατ' ἄκραν φιλούμενοι, πρὸς δὲ ἐκείνην αὐτῇ παραποδίζοιεν τὴν ἀγάπην, καὶ αὐτοὺς ἂν ἀποστέρξοιεν, ἡ τῷ τοιούτῳ ἔρωτι ἁλοῦσα ψυχή. Εἰ γὰρ σαρκικῆς κοινωνίας ἀγάπη γάμου, πατρός τε καὶ μητέρος καὶ ἀδελφῶν διίστησι· κἂν τις φιλῇ τινα τούτων, ἐξ ἐπιπολῆς φιλεῖ, τὴν δὲ διά[897]θεσιν ὅλην καὶ τὸν πόθον πρὸς τὴν συνῳκισμένην αὐτῷ τέτακεν· εἰ τῆς σαρκὸς φιλία οὕτω λύει πάσης ἄλλης τοῦ κόσμου φιλίας, σχολῇ γ' ἂν οἱ ἐκείνῳ τῷ ἀπαθεῖ βληθέντες ἔρωτι τινὶ τῶν τοῦ κόσμου καθεκτοὶ γένοιντο.

I. Χρηστὸς ὢν φιλάνθρωπος ὁ Θεός, μακροθύμως ἔχει, καὶ πολύς ἐστιν ἀναμένων τὴν ἑκάστου τῶν ἁμαρτανόντων μετάνοιαν· ἑορτὴν οὐρανίαν τιθέμενος τὴν τοῦ μεταμελομένου ἐπιστροφήν. «Χαρὰ γάρ», φησὶν αὐτός, «ἐν τῷ οὐρανῷ γίνεται ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι»[1]. Εἰ δέ τις τὴν χρηστότητα αὐτὴν καὶ μακροθυμίαν ὁρῶν, καὶ ὅτι μὴ τοῖς κατὰ μέρος ἁμαρτήμασιν ἐπεξέρχεται, τὴν μετάνοιαν, ὥσπερ ἔφημεν ἐκδεχόμενος, κατολιγωρήσει τῆς ἐντολῆς, καὶ τὴν χρηστότητα, φεῦ! ἀφορμὴν σχοίη πρὸς καταφρόνησιν, ἁμάρτημα ἐπὶ ἁμαρτήματα προστιθεὶς καὶ προσκώμματι πρόσκωμμα ἐποικοδομῶν, ῥαθυμίαν τε συνάπτων τῇ ῥαθυμίᾳ, πληροῖ τοὺς τῶν ἁμαρτιῶν ὅρους, καὶ τοιούτῳ λοιπὸν ἁλίσκεται παραπτώματι, ἐξ οὗ μηκέτι παρὸν αὐτῷ ἀνακτήσασθαι· ἀλλ' ἐς μάτην τὴν συντριβὴν ὑποστὰς καὶ τῷ πονηρῷ εἰς τέλος συγχωρηθείς, ἀπόλλυται. Οὕτως ἐπὶ Σοδόμων γέγονεν· ἀποπλήσαντες γὰρ καὶ ὑπερβάντες τοὺς τῶν ἁμαρτιῶν ὅρους ἐπεὶ μηδέν, ὡς εἰπεῖν, ζώπυρον μετανοίας αὐτοῖς ὑπελείφθη, ἀνάλωμα πυρὸς ὑπὸ τῆς θείας δίκης γεγόνασιν. Οὕτως ἐπὶ Νῶε· καὶ γὰρ ἀχαλίνοις χρώμενοι ταῖς ἐπὶ τὴν κακίαν ὁρμαῖς, καὶ μηδὲν εἶδος μετανοίας ἐπιδεικνύμενοι, τηλικοῦτον ἑαυτοῖς ἁμαρτιῶν ὄγκον ἐξεκορύφωσαν, ὡς πᾶσαν ὁμοῦ τὴν γῆν εἰς πᾶν διαφθαρῆναι. Οὕτω τοῖς Αἰγυπτίοις πολλὰ πλημμελοῦσι καὶ εἰς τὸν τοῦ Θεοῦ λαὸν ἐξυβρίζουσι· χρηστὸς ἦν ἐκεῖνος οὐ πανωλεθρίᾳ παραδιδούς, ἀλλὰ διὰ τῶν κατὰ μέρος μαστίγων εἰς μετάνοιαν ἐπαγόμενος· ἐπεὶ δὲ ἐπιστρέφοντες ἀγαπητῶς, πάλιν πρὸς τὴν κακίαν ἀνέστρεφον, καὶ τῆς προτέρας εἴχοντο ἀπιστίας, ἔσχατον δὲ καὶ τὸν λαὸν τοῦ Κυρίου

---

1. Λουκ. 15,10.

ἀναγόμενον κατεδίωκον, ἀνάλωσεν αὐτοὺς ἡ θεία δίκη τὸ σύνολον καὶ ἀπώλεσεν. Οὕτω τοῦ Ἰσραὴλ πολλὰ ἁμαρτάνοντος, καὶ τοὺς προφήτας ἀποκτενόντος τοῦ Θεοῦ, τῆς συνήθους οὗτος μακροθυμίας ἐγίνετο· ἐπεὶ δὲ εἰς τοῦτο κακίας προέκοψαν, ὡς μηδὲ τὸ Δεσποτικὸν δυσωπηθῆναι ἀξίωμα, ἀλλὰ κἀκείνῳ μιαιφόνους χεῖρας ἐπιβαλεῖν· καὶ οὗτοι καθάπαξ ἐπεβλήθησάν τε καὶ κατεβλήθησαν· καὶ ἤρθη ἀπ' αὐτῶν ἥ τε προφητεία καὶ ἡ ἱερατεία καὶ ἡ λατρεία. Καὶ ἐπιστεύθη ταῦτα τοῖς πιστεύσασιν ἔθνεσι.

ΙΑ'. Προσδράμωμεν τῷ καλοῦντι Χριστῷ προθύμως, ἐκχέοντες ἐπ' αὐτὸν τὰς καρδίας καὶ μὴ τὴν ἑαυτῶν ἐθελοκακοῦντες ἀπογινώσκωμεν σωτηρίαν. Καὶ τοῦτο γὰρ τοῦ πονηροῦ σόφισμα, ὑπομνήσει προτέρων ἁμαρτιῶν ὁδοποιεῖν εἰς ἀπόγνωσιν. Ἀλλ' ἡμῖν κατανοητέον, ὅτιπερ εἰ Κύριος ἐλθὼν τυφλῶν **[900]** τε καὶ παραλύτων καὶ κωφῶν ἰατρὸς καὶ διορθωτὴς ἦν, νεκρούς τε ἤδη καταφθαρέντας ἀνέστη, πόσῳ μᾶλλον τυφλότητα διανοίας, καὶ ψυχῆς πάρεσιν, καὶ ἀμελοῦς καρδίας ἰάσεται κώφευσιν, ἐπεὶ μηδὲ ἕτερος, ἀλλ' αὐτὸς ὁ τὸ σῶμα κτίσας, αὐτός ἐστι καὶ ὁ τὴν ψυχήν; Καὶ εἰ πρὸς τὰ λυόμενα καὶ θνήσκοντα οὗτος εὐμενῶς καὶ ἐλέως εἶχε, πόσῳ μᾶλλον τῇ ἀθανάτῳ ψυχῇ κακίας νόσῳ καὶ ἀγνοίας ἁλούσῃ, ἔπειτα προσερχομένῃ τούτῳ καὶ δεομένῃ, φιλανθρώπως θεραπευτικῶς χρήσεται; Αὐτοῦ γὰρ φωνὴ τό· «Ὁ Πατήρ μου ὁ οὐράνιος οὐ μὴ ποιήσει ἐκδίκησιν τῶν βοώντων πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας; Ναί, λέγω ὑμῖν, ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει»[1]· καὶ τό· «Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν»[2]· καὶ αὖθις· «Κἂν διὰ τὸ φίλον εἶναι οὐ δώσει αὐτῷ, διά γε τὴν ἀναίδειαν αὐτοῦ, ἀναστὰς δώσει αὐτῷ ὅσου χρήσει»[3], ἀναιδῆ καὶ παράμονον τὴν αἴτησιν προτρεπόμενος, ἐπεί τοι καὶ διὰ τοὺς ἁμαρτωλοὺς ἦλθεν ἵνα ἐπιστρέψῃ πρὸς ἑαυτόν. Μόνον ἡμεῖς τῶν κακῶν προλήψεων ἀποστάντες, σχολάσωμεν τῷ Κυρίῳ· καὶ αὐτὸς οὐχ ὑπερορᾷ, ἀλλ' ἕτοιμος ἔσται παρέχων τὴν παρ' αὐτοῦ βοήθειαν.

ΙΒ'. Ὥσπερ ἐπὶ τῶν νόσῳ καὶ ἀσθενείᾳ κατειλημμένων, ἐπειδὰν μηκέτι τὸ σῶμα δυνατὸν ᾖ τροφῆς καὶ πόσεως μετασχεῖν, εἰς ἀπόγνωσιν τοῦτο συνωθεῖ, καὶ θανάτου τεκμήριον γίνεται, θρῆνός τε ἐπὶ τούτῳ καὶ φίλους ἔχει καὶ τοὺς προσήκοντας· οὕτω δὴ καὶ Θεὸς καὶ ἄγγελοι ψυχὰς τὰς μὴ τροφῇ τῇ ἐπουρανίῳ χρήσασθαι δυναμένας, διὰ πολλῆς λύπης καὶ θρήνων ποιοῦνται. Εἰ τοίνυν ἐγένου τῷ Θεῷ θρόνος, ἐκεῖνον ἔχων ἐπικαθήμενον, εἰ γέγονεν ἡ ψυχή σου ὅλη πνευματικὸς ὀφθαλμός, ὅλη φῶς, εἰ ἐτράφη τὴν τροφὴν ἐκείνην τοῦ Πνεύματος, εἰ ποτίζει τοῦ ζῶντος ὕδατος, καὶ τοῦ πνευματικοῦ οἴνου τοῦ τὴν καρδίαν εὐφραίνοντος, εἰ ἐνδέδυσαι τῇ ψυχῇ τὰ τοῦ ἀρρήτου φωτὸς ἐνδύματα, εἰ πάντων τούτων ὁ ἔσω σου ἄνθρωπος εἰς πεῖραν ἀφίκετο καὶ πληροφορίαν, ἰδοὺ ζῇς τὴν αἰώνιον τέως ζωήν, ἐκ τοῦ παρόντος ἤδη τῷ

1. Λουκ. 18,7. 2. Ματθ. 7,7. 3. Λουκ. 11,8.

Χριστῷ συναναπαυόμενος. Εἰ δ' οὔπω εἴληφας ταῦτα, οὐδ' εἰς κτῆσιν τούτων ἐλήλυθας, κλαῖς θερμῶς, καὶ ὀδυρμοῖς κέχρησο, μήπω τοῦ τοιούτου πλούτου τετυχηκέναι· καὶ φροντὶς ἔστω σοι καὶ δέησις διηνεκὴς περὶ τῆς πτωχείας σου· ἀλλ' εἴθε κἂν τῆς ἑαυτοῦ πενίας αἴσθησις εἰσήει τῷ κεκτημένῳ καὶ μὴ ὡς τοῦ θείου πλούτου κατακορὴς ὤν, ἄφροντις περιῆγεν· «Ὁ γὰρ ζητῶν», φησίν, «εὑρήσει καὶ τῷ κρούοντι ἀνοιγήσεται»[1].

ΙΓʹ. Εἰ τὸ σύνθετον ἐκεῖνο ἔλαιον τοσαύτην ἔχει τὴν δύναμιν, ὡς τοὺς χρησαμένους αὐτῷ λοιπὸν βασιλικῆς ἐπιβαίνειν δόξης, πόσῳ γε μᾶλλον οἱ τὸν νοῦν καὶ τὸν ἔσω ἄνθρωπον τῷ ἁγιαστικῷ τῆς ἀγαλλιάσεως ἐλαίῳ χριόμενοι, καὶ τὸν ἀρραβῶνα τοῦ ἀγαθοῦ λαμβάνοντες Πνεύματος, τῶν μέτρων τῆς τελειότητος ἐπιβήσονται, τῆς Χριστοῦ φημι βασιλείας καὶ υἱοθεσίας αὐτῷ συμμύσται τῷ βασιλεῖ **[901]** γενόμενοι, εἰσιέναι καὶ ἐξιέναι πρὸς τὸν Πατέρα κατὰ τὸ δοκοῦν αὐτοῖς ἔχοντες; Εἰ γὰρ καὶ μήπω τέλειον τὴν κληρονομίαν εἰλήφασι, τὸ βάρος ἔτι περικείμενοι τῆς σαρκός, ἀλλ' οὖν διὰ τὸν ἀρραβῶνα τοῦ Πνεύματος ἐν τῷ ἀσφαλεῖ αὐτοῖς κεῖται τὰ τῶν ἐλπίδων, καὶ ὅτι συμβασιλεύσουσι τῷ Χριστῷ, καὶ ἐν περιουσίᾳ καὶ πλεονασμῷ Πνεύματος ἔσονται αὐτοῖς ἐνδοιαζόμενον, καθότι τῇ σαρκὶ περιόντες ἔτι, εἰς πεῖραν ἦλθον τῆς δυνάμεως καὶ ἡδονῆς ἐκείνης· καὶ γὰρ τὸ ἐπιτεθὲν κατὰ τὴν παρακοὴν τοῖς ἀνθρώποις τοῦ Σατανᾶ κάλυμμα, ἡ χάρις ἐρχομένη διὰ καθάρσεως τοῦ ἔσω ἀνθρώπου καὶ τοῦ νοός, περιαιρεῖ τέλεον, καὶ πᾶν μίασμα καὶ λογισμὸν ἅπαντα ῥυπαρὸν τῆς ψυχῆς ἀποσκυβαλίζει, καθαρὰν αὐτὴν γενέσθαι βουλομένη, καὶ τὴν ἰδίαν ἀπολαβοῦσαν φύσιν τρανοῖς καὶ ἀνεπικωλύτοις τοῖς ὀφθαλμοῖς τὴν δόξαν τοῦ ἀληθινοῦ φωτὸς κατοπτεύειν. Οἱ τοιοῦτοι δὲ αὐτόθεν ἤδη πρὸς ἐκεῖνον ἁρπάζονται τὸν αἰῶνα, καὶ τὰ ἐκεῖ κάλλη καὶ θαύματα καθορῶσι. Καθάπερ γὰρ ὁ σωματικὸς ὀφθαλμὸς ἀπαθῶς τε καὶ ὑγιῶς ἔχων ταῖς ἡλιακαῖς αὐγαῖς θαρρούντως ἐνατενίζει· οὕτω καὶ οὗτοι φωτεινῷ χρώμενοι καὶ διακεκαθαρμένῳ τῷ νῷ τὰς ἀδύτους αὐγὰς Κυρίου διὰ παντὸς κατοπτεύουσιν· οὗ τί τὸ μέτρον φησίν; οὐ ῥαδίως ἐφικτὸν τοῖς ἀνθρώποις· ἀλλὰ πόνων δεῖται συχνῶν, ἀγώνων τε καὶ ἱδρώτων μυρίων. Πολλοὶ γάρ εἰσιν, οἷς καὶ ἡ χάρις σύνεστιν ἐνεργοῦσα, καὶ ἡ κακία πάλιν ἐνδομυχοῦσα ἀφέστηκεν οὐδαμῶς· ἀλλὰ τὰ δύο πνεύματα, τό τε τοῦ φωτὸς καὶ τὸ τοῦ σκότους, εἰς μίαν καὶ τὴν αὐτὴν ἐνεργεῖ καρδίαν· τὸ δὲ εἰρημένον· «Τίς γὰρ ἡ κοινωνία φωτὶ πρὸς σκότος»[2]; Καὶ ὅτι «τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει»[3], καὶ τὰ ἑξῆς, ἀνὰ μέρος ἐκπληπτέον οὐδὲ μονοτρόπως τὰ πράγματα· καὶ γὰρ ἐς τοσοῦτόν τινες ἐπαναπαύονται τῇ χάριτι τοῦ Θεοῦ, ἐς ὅσον ἑαυτῶν δύνασθαι κρατεῖν, καὶ μὴ ἡττᾶσθαι τῆς ἐγκατοικούσης αὐτοῖς ἁμαρτίας· καὶ συμβαίνῃ νῦν εὐχὴν εὐπάρεδρον ἔχοντας καὶ ἀναπαῦσαι· ἔπειτα ὑπὸ ῥυπαρῶν λογισμῶν ἐνεργεῖσθαι, καὶ ὑπὸ τῆς

1. Ματθ. 7,7. Λουκ. 11,10. 2. Βʹ Κορ. 6,14. 3. Ἰω. 1,5.

ἁμαρτίας κλέπτεσθαι, συνούσης δηλαδή, καὶ αὐτῆς χάριτος. Οὐ μὲν οὖν ἐλαφροί τε καὶ οὔπω τῆς ἀκριβείας ἐπειλημμένοι πόσως αὐτοῖς τῆς θείας χάριτος ἐνεργούσης, ἔδοξαν εἰς ἅπαν ἀπολελύσθαι τῆς ἁμαρτίας· οἱ δὲ διάκρισίν τε καὶ νοῦν ἔχοντες, οὐκ ἂν ἀρνηθεῖεν, ὅτι καὶ τῆς τοῦ Θεοῦ χάριτος ἐνοικούσης, οὐχὶ καὶ ὑπὸ αἰσχρῶν καὶ ἀτόπων διασείονται λογισμῶν.

ΙΔ'. Εἴδομέν τινας ἐν τοῖς ἀδελφοῖς πολλάκις οὕτω πλουσίας τῆς χάριτος ἀπολελαυκότας, ὡς πέντε χρόνων καὶ ἓξ ἀπομαρανθῆναι τέλεον αὐτοῖς καὶ ἀποσβῆναι τὰ τῆς ἐπιθυμίας· εἶπα, ὡς ἔδοξαν ὅρμου καὶ γαλήνης ἐπιλαβέσθαι, τότε καθάπερ ἐξ ἐνέδρας ἐπιφανεῖσα τούτοις ἡ κακία οὕτω δυσμενῶς ἐπέθετο καὶ ἀγρίως, ὡς ἔκπληξιν αὐτοῖς ἐνθεῖναι καὶ ἀπορίαν· τεθάρρηκε τοίνυν οὐδεὶς τῶν ὀξὺ διὰ σύνεσιν βλεπόντων εἰπεῖν, ὅτι χάριτός μοι συνούσης, ἀπήλλαγμαι λοιπὸν καὶ τῆς ἁμαρτίας. Ἐνεργεῖ γάρ, ὡς **[904]** εἴρηται, καὶ τὰ δύο ἐν τῷ ἑνὶ καὶ τῷ αὐτῷ νῷ, κἂν οἱ εὔκολοί τε καὶ ἀμαθεῖς μικρόν τι νῆμα πνευματικὸν ἐσχηκότες· Νενίκημεν ἤδη λέγουσιν. Ἐμοὶ δὲ δοκῶ τὰ πράγματα οὕτως ἔχειν· ὥσπερ ὅταν ἡλίου καθαρῶς ἐπιλάμποντος σκοτεινὸς ὁ ἀὴρ ἄφνω ἢ ὁμίχλη ἐπιδραμοῦσα ἐπισκοτίσῃ αὐτοῦ τῷ καλῷ φωτί· τούτῳ γὰρ παραπλησίως ἔχουσι τῷ λόγῳ οἱ τῆς μὲν τοῦ Θεοῦ χάριτος ἐπιτυχόντες, μήπω δὲ πρὸς ἀκρίβειαν διακαθαρθέντες, ἀλλ' ἐν τῷ βάθει ἔτι κατάσχετοι ὄντες ὑπὸ τῆς ἁμαρτίας· ὥστε πολλῆς τῷ ὄντι τῆς διακρίσεως δεῖ πρὸς τὸ πείρᾳ ταῦτα τῇ τελεωτάτῃ προλαβεῖν.

ΙΕ'. Ὥσπερ ἀμήχανον ὀφθαλμῶν ἄνευ καὶ γλώττης, ὤτων τε καὶ ποδῶν βλέπειν ἢ λέγειν, ἀκούειν ἢ περιπατεῖν· οὕτως ἐπίσης ἀδύνατον, ἄνευ τοῦ Θεοῦ καὶ τῆς ἐκεῖθεν διδομένης ἐνεργείας, μυστηρίων κοινωνῆσαι θείων, καὶ εἰδέναι Θεοῦ σοφίαν ἢ κατὰ Πνεῦμα πλουτεῖν. Οἱ μὲν γὰρ σοφοὶ τῶν Ἑλλήνων ἐν λόγοις ἀσκοῦνται, καὶ πρὸς λογομαχίας ἐκθύμως ἠσχόληνται. Οἱ δὲ τοῦ Θεοῦ δοῦλοι, κἂν ἀνομίλητοι λόγων ὦσιν, ἀλλ' οὖν θείᾳ γνώσει καὶ Θεοῦ χάριτι καταρτίζονται.

ΙϚ'. Πείθομαι λέγων, φησίν, ὅτι καὶ αὐτοῖς ἐκείνοις τοῖς ἀποστόλοις τοῦ ἀγαθοῦ Παρακλήτου πεπληρωμένοις, οὐμενοῦν καθαρῶς ὑπῆρχε φροντίδων ὀνεῖσθαι· ἀλλὰ πρὸς τῇ ἀγαλλιάσει καὶ ἀρρήτῳ χαρᾷ, καὶ φόβος τις εἵπετο ἐξ αὐτῆς δήπου τῆς χάριτος, οὐχὶ τοῦ τῆς κακίας μέρους ἔχοντας ἀφορμάς. Αὐτὴ γὰρ ἡ χάρις ἐν ἀσφαλεῖ τὰ ἐκείνων ἐτίθει τοῦ μηδὲ πρὸς μικρὸν ἐκβῆναι τοῦ καλῶς ἔχοντος. Καὶ ὥσπερ τι παιδίον μικρᾷ ψηφίδι τεῖχος βεβληκὸς οὐδὲν ἤνυσεν ἢ ὥς τι βέλος ἀσθενὲς θώρακα ἰσχυρὸν ἥκιστα ἂν βλάψῃ, οὕτω δὴ καὶ μέρος τι τῆς κακίας προσβάλλον αὐτοῖς ἄπρακτόν τε καὶ μάταιον ἀπηλέγχετο· ἅτε τῇ τοῦ Χριστοῦ δυνάμει καλῶς φραξαμένοις. Πλὴν ἀλλὰ καὶ τελείοις οὖσιν ἡ τοῦ αὐτεξουσίου ἐλευθερία παρῆν, καὶ οὐχ ὥς τινες ἀνοήτως φασίν, ὅτι μετὰ χάριν τὸ ἀπὸ τοῦδε φροντίδων λύσις καὶ ἄνεσις. Ζητεῖ γὰρ ὁ Κύριος κἂν τοῖς τελείοις τὸ θέλημα τῆς

ψυχῆς εἰς διακονίαν τοῦ Πνεύματος, ὡς συμβῆναι ταῦτα ἀλλήλοις. Λέγει γὰρ ὁ Ἀπόστολος· «Τὸ Πνεῦμα μὴ σβέννυτε»[1].

ΙΖ΄. Τὸ μὲν ἁπλῷ λόγῳ παραδιδόναι τὰ πράγματα πρόχειρόν τι καὶ εὐπετές. Ῥᾴδιον γὰρ τῷ παντὶ λέγειν τὸν ἄρτον τοῦτον, ὑποδείγματος δὲ λόγῳ φαμέν, ἀπὸ σίτου γεγενῆσθαι· τὴν μέντοι, κατὰ μέρος αὐτοῦ κατασκευὴν ἐκθέσθαι, οὐ τοῦ παντὸς γνῶναι, ἀλλὰ μόνων ἐστὶ τῶν πεπειραμένων. Οὕτω γοῦν καὶ τὸ μὲν ἁπλῶς περὶ ἀπαθείας λέγειν τε καὶ τελειότητος εὐπετές τε καὶ εὐχερές· τὸ δὲ πείρᾳ τὸ πρᾶγμα παραλαβεῖν, τοῦτό ἐστι τῷ ἔργῳ καὶ ἀληθείᾳ καταλαβεῖν εἰς τὴν κατασκευὴν τῆς τελειότητος.

ΙΗ΄. Ὅσοι λόγους πνευματικοὺς γεύσεώς τε καὶ **[905]** πείρας ἐκτὸς φθέγγονται, τούτους ἐοικέναι φημὶ ἀνθρώπῳ θέρους ὥρᾳ μεσημβρίας ἀκριβοῦς ἱσταμένης πεδίον ἔρημόν τι καὶ ἄνυδρον διιόντι· εἶτα ὑπὸ πολλῆς καὶ φλογώδους τῆς δίψης κατὰ νοῦν αὐτῷ ὑπογράφοντι πηγήν τινα ψυχρὰν ἐγγὺς οὖσαν γλυκύ τε καὶ διειδὲς ὕδωρ ἔχουσαν, καὶ αὐτοῦ οὐδενὸς εἴργοντος ἀπολαύοντι κατὰ κόρον· ἢ ἀνθρώπῳ μέλιτος μὲν οὐδὲ βραχὺ γευσαμένῳ, ἑτέροις δὲ ὅπως ἔχει γλυκύτητος πειρωμένῳ διασαφεῖν. Τοιοῦτοι γὰρ ἀληθῶς, ὅσοι μὴ ἔργῳ καὶ πληροφορίᾳ τῇ ἑαυτῶν τὰ περὶ τελειότητός τε καὶ ἁγιασμοῦ καὶ ἀπαθείας παραλαβόντες ἑτέροις εἰσηγεῖσθαι βούλονται· καὶ γὰρ εἰ δῴη Θεὸς μικράν τινα τῶν παρ' αὐτῶν λεγομένων λαβεῖν αἴσθησιν, εἴσονται πάντως, ὅτι μὴ κατὰ τὴν ἐκείνων εἰσήγησιν, ἀλλὰ πολλῷ τῷ διαφέροντι τὰ τῆς ἀληθείας εἶχε καὶ τῶν πραγμάτων.

ΙΘ΄. Τὸ μὲν Εὐαγγέλιον, φησίν, ἀποφαντικῶς διακελεύεται πάντα ἄνθρωπον, τόδε μὴ ποιεῖν ἢ ποιεῖν ὥστε φίλον γενέσθαι τῷ φιλανθρώπῳ Βασιλεῖ· «Μὴ ὀργισθῇς»[2] γάρ, φησί, «μὴ ἐπιθυμήσῃς»[3]· «ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην»[4]. Ὁ δὲ Ἀπόστολος κατὰ πόδα τῶν τεταγμένων ἐλθὼν καὶ ὅπως χρὴ κατὰ μικρὸν γενέσθαι τὸ τῆς καθάρσεως ἔργον, ὅτι μεθ' ὑπομονῆς καὶ μακροθυμίας, ἐκπαιδεύει. Πρῶτον μὲν γαλακτοτροφῶν ὡς νηπίους· εἶτα φέρων εἰς αὔξησιν· καὶ αὖθις εἰς τελειότητα[5]· οἷον, ὡς ἐν παραδείγματι φάναι, τὸ μὲν Εὐαγγέλιον τέλειος, ἐξ ἐρίου, εἶπε, γινέσθω χιτών· ὁ δὲ Ἀπόστολος, καὶ πῶς δεῖ ξαίνεσθαι τοῦτο, ὑφαίνεσθαί τε καὶ κατασκευάζεσθαι τὸν χιτῶνα καλῶς διεσάφησεν.

Κ΄. Εἰσί τινες πορνείας μὲν τῆς φαινομένης καὶ κλοπῆς καὶ πλεονεξίας καὶ τῶν ὁμοίων ἀπεχόμενοι μοχθηρῶν· καὶ κατὰ τοῦτο ἑαυτοὺς ἐκκρίνοντες τοῖς ἁγίοις· πολλοῦ δέ δέουσι τῶν πραγμάτων γίνεσθαι καὶ τῆς ἀληθείας. Οἰκουρεῖ γὰρ ἐν τῷ νῷ τούτων ἡ κακία πολλάκις, ζῇ τε καὶ ἕρπει, καὶ οὕτω ἀπολιποῦσα τούτους ᾤχετο. Ἅγιος δέ ἐστιν ὁ ἁγιασθεὶς καὶ τὸν ἔσω τέλεον διακαθαρθεὶς ἄνθρωπον·

---

1. Α΄ Θεσ. 5,19. 2. Πρβλ. Ματθ. 5,22. 3. Πρβλ. Δευτ. 5,21. 4. Ματθ. 5,39. 5. Πρβλ. Ματθ. 5,13-14.

καὶ γάρ τις τῶν ἀδελφῶν ἀδελφοῖς τισι συνευχόμενος πρὸς τῆς θείας ἐξῃχμαλωτίσθη δυνάμεως, καὶ ἁρπαγεὶς εἶδε τὴν ἄνω πόλιν Ἱερουσαλήμ, καὶ τὰς ἐκεῖ φωτεινὰς οἰκίας, καὶ φῶς ἄπειρον καὶ ἀπόρρητον. Ἤκουσέ τε φωνῆς λεγούσης, τοῦτον εἶναι τὸν τόπον τῆς τῶν δικαίων ἀναπαύσεως· εἶτα φυσιωθεὶς καὶ μεγάλα περὶ ἑαυτοῦ οἰηθεὶς βαθεῖ κατέπεσεν ἁμαρτίᾳ, καὶ πολλοῖς ὕστερον ἑάλω κακοῖς. Εἰ οὖν οὕτως, πῶς γε τῷ τυχόντι δυνατὸν λέγειν, ὡς «Ἐπεὶ νηστεύω, καὶ ξενιτεύω, ψωμίζω τε τὰ ὑπάρχοντα»[1], καὶ ἀπὸ τῶν εἰρημένων ἐφυλαξάμην κακῶν, οὐδέν ἐστι τὸ λειπόμενον ἅγιον κἀμὲ εἶναι; Καὶ γὰρ οὐχ ἡ τῶν φαινομένων κακῶν ἀποχὴ τελείωσίς ἐστιν, ὥσπερ εἴρηται, ἀλλ᾽ ἡ κατὰ διάνοιαν κάθαρσις, αὕτη τελεία.

ΚΑ΄. Εἴσελθε, φησίν, ὁ ταῦτα ὑπολαμβάνων διὰ τῆς τῶν λογισμῶν σου ἐπιστασίας πρὸς τὸν αἰχμάλωτόν σου καὶ δοῦλον τῆς ἁμαρτίας νοῦν, καὶ ἴδε τὸν ἔτι τούτου κατώτερον καὶ βαθύτερόν σου τῶν λογισμῶν, τὸν εἰς τὰ λεγόμενα τῆς ψυχῆς σου ταμιεῖα ἐμφωλεύοντα ὄφιν, καὶ ἀναιροῦντά σε διὰ τῶν καιριωτάτων τῆς ψυχῆς σου μελῶν. Ἄβυσσος γὰρ ἀκατάληπτος ἀληθῶς ἡ καρδία. Εἰ οὖν τοῦτον ἀνεῖλες, εἰ τὴν ἀνομίαν τὴν ἐν σοὶ πᾶσαν ἐξεκάθηρας, καὶ τὴν ἁμαρτίαν ἐκβέβληκας, καύχησαι περὶ καθαρότητος ἐν Θεῷ. Εἰ δ᾽ οὖν ἀλλὰ ταπεινωθεὶς ὡς ἐνδεής τε καὶ ἁμαρτωλὸς ἔτι, πρόσελθε ὑπὲρ τῶν κρυφίων σου δεόμενος τοῦ Χριστοῦ· πᾶσα γὰρ παλαιὰ καὶ νέα Γραφὴ περὶ καθαρότητος φαίνεται διαλεγομένη, καὶ παντὶ ἀνθρώπῳ καὶ Ἰουδαίῳ καὶ Ἕλληνι ἐπέραστα τὰ τῆς καθαρότητος, κἂν μὴ πᾶσιν ἀνύσιμα· γενέσθαι δὲ τοῦτο, τὴν τῆς καρδίας φημὶ καθαρότητα, οὐ δυνατὸν ἄλλως ὅτι μὴ διὰ Ἰησοῦ μόνου· αὐτὸς γὰρ ἡ ἐνυπόστατός τε καὶ ὄντως ἀλήθεια· καὶ δίχα ταύτης τῆς ἀληθείας ἀμήχανον ἢ ἀλήθειαν γνῶναι ἢ σωτηρίας ἐπιτυχεῖν.

1. Πρβλ. Α΄ Κορ. 13,3.

ΠΕΡΙ ΑΓΑΠΗΣ ΛΟΓΟΣ

Α'. Ὥσπερ ἐν τοῖς φαινομένοις τούτοις τῷ ἐκτὸς ἀπετάξω ἀνθρώπῳ, ἐψώμισάς τε τὰ ὄντα καὶ διεσκόρπισας, οὕτως ἀποτάξασθαί σε ταῖς τῶν ἠθῶν προλήψεσι χρή, καὶ εἰ σοφίαν ἔμαθες σαρκικὴν ἢ γνῶσιν πραγμάτων, ἄρνησαι ταύτην· εἰ δικαιώμασι πέποιθας σαρκικοῖς, ἀπόστηθι τούτων, ταπεινῶν σεαυτὸν καὶ κατασμικρύνων. Οὕτω γὰρ καὶ δυνήσῃ τῇ τοῦ κηρύγματος μωρίᾳ μαθητευθῆναι[1]. Ἐν ταύτῃ δὲ τὴν ἀληθινὴν εὑρήσεις σοφίαν, οὐκ ἐν λόγοις κεκομψευμένοις, ἀλλ' ἐν τῇ τοῦ σταυροῦ δυνάμει. Τούτοις ἐνεργούμενος ἐν ὑποστάσει τοῖς καταξιωθεῖσι ταύτην κτήσασθαι. «Ὁ γὰρ σταυρός», φησὶν ὁ Παῦλος, «τοῦ Χριστοῦ τοῖς μὲν Ἰουδαίοις σκάνδαλον, **[909]** Ἕλλησι δὲ μωρία, ἡμῖν δὲ τοῖς σῳζομένοις Θεοῦ δύναμις καὶ Θεοῦ σοφία»[2].

Β'. Εἰ καὶ ἔλαβες, φησί, γεῦσιν ἐξ οὐρανοῦ, εἰ καὶ μετέσχες ἐκείνης τῆς σοφίας καὶ ἀνάπαυσιν ἔσχες ἐν τῇ ψυχῇ σου, μηδ' οὕτως ἐπαίρου, καὶ μὴ ὡς ἐφθακὼς ἤδη καὶ πᾶσαν καταλαβὼν τὴν ἀλήθειαν τεθαρρηκὼς ἔσο. Μὴ σὺ ἀκούσῃς· «Ἤδη κεκορεσμένοι ἐστέ, ἤδη πεπλουτήκατε· χωρὶς ἡμῶν ἐβασιλεύσατε, καὶ ὄφελόν γε ἐβασιλεύσατε ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν»[3]. Ἀλλὰ καὶ γευσάμενος, ὡς μήπω τοῦ Χριστιανισμοῦ ἁψάμενος εἶναι νόμιζε· καὶ μὴ ἐξ ἐπιπολῆς ἔστω τοῦτό σοι, ἀλλ' ὡς ἐμπεφυτευμένον διὰ παντὸς καὶ κεκυρωμένον τῇ διανοίᾳ σου.

Γ'. Ὥσπερ τις φιλόπλουτος, κἂν μυρία συναγαγὼν χρήματα ᾖ, οὔπω διακορὴς, γίνεται μᾶλλον τῆς ἐπιθυμίας· ἢ καθάπερ τις πόματος ἡδυτάτου πρὸς τοῦ κόρου διασπασθεὶς τὴν δίψαν, μᾶλλον ἐξέκαυσεν· οὕτω δὴ καὶ ἡ τοῦ Θεοῦ γεῦσις παντὸς οἶδε κόρου κατακαυχᾶσθαι, ἀλλὰ καὶ ὅσῳ πλουτεῖ τις τουτονὶ τὸν πλοῦτον πένητα ἑαυτὸν εἶναι κατανοεῖ. Οἱ τοιοίδε Χριστιανοὶ οὐκ ἔχουσι παρ' ἑαυτοῖς τιμίαν τὴν ἰδίαν ψυχήν, ἀλλ' ὥς τινες τῶν ἐξουδενωμένων παρὰ Θεῷ διάκεινται δούλους τε πάντων ἀνθρώπων ἑαυτοὺς εἶναι λογίζονται. Ἐπὶ ταύτῃ πολλὰ χαίρει Κύριος καὶ ἐπαναπαύεται τῇ ψυχῇ, διὰ τὴν ἑαυτῆς ταπείνωσιν. Εἰ οὖν καὶ ἢ ἔχει τίς τι μὴ παρὰ τοῦτο οἰηθῇ εἶναί τι ἢ ἔχειν. Ἡ γὰρ οἴησις βδέλυγμα Κυρίῳ· καὶ αὐτὴ ἀπ' ἀρχῆς ἐκβέβληκε τοῦ παραδείσου τὸν ἄνθρωπον, ἀκούσαντα, ὅτι «Ὡς θεοὶ ἔσεσθε»[4], καὶ τῇ ἐλπίδι ταύτῃ τῇ ματαίᾳ ἐπιθαρρήσαντα· κατάμαθε πῶς ὁ Θεός σου καὶ βασιλεύς, ἀλλὰ καὶ Θεοῦ Υἱὸς «ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών»[5], πῶς ἐπτώχευσε, πῶς τοῖς ἀτίμοις συνελογίσθη, πῶς

1. Πρβλ. Α' Κορ. 1,21. 2. Πρβλ. Α' Κορ. 1,18. 3. Α' Κορ. 4,8. 4. Γεν. 3,5. 5. Φιλιπ. 2,7.

πέπονθεν. Εἰ δὲ καὶ ὁ Θεὸς οὗτος, ὁ αἵματι καὶ σαρκὶ συνεστηκὼς ἄνθρωπος, ὁ γῆ καὶ σποδός, οἴμοι, καὶ τὸ παράπαν ἀγαθοῦ μὴ μεταλαβών, ἀλλ' ἀκαθαρσία ὤν, μέγα φρονεῖς καὶ ἀλαζονεύῃ; Σὺ δέ, ἀλλ' εἴπερ εἶ συνετός, καὶ ὑπὲρ αὐτοῦ τούτου μᾶλλον, οὗπερ εἴληφας ἐκ Θεοῦ, οὐκ ἐμόν, λέγε, τοῦτο τὸ χρῆμα· παρ' ἑτέρου τοῦτο ἔχω λαβών· καὶ δόξαν αὐτῷ, πάντως ἀφαιρεῖται τὸ δοθὲν ἀπ' ἐμοῦ. Οὕτω μὲν πᾶν ἀγαθὸν τῷ Κυρίῳ, τὸ δὲ κακὸν τῇ σεαυτοῦ ἐπίγραφε ἀσθενείᾳ.

Δ'. Ὅνπερ φησὶν ὁ Ἀπόστολος, «θησαυρὸν ἐν ὀστρακίνοις ἔχειν τοῖς σκεύεσι»[1], τὴν ἁγιαστικὴν οἴου τοῦ Πνεύματος δύναμιν, ἣν ἔτι τῇ σαρκὶ περιὼν ἄξιος κατέστη λαβεῖν. Καὶ γάρ που πάλιν φησίν ὁ αὐτός· «Ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις»[2]. Ὁ γοῦν εὑρὼν καὶ παρ' ἑαυτῷ σχὼν τὸν ἐπουράνιον τοῦτον τοῦ Πνεύματος θησαυρόν, πᾶσαν δικαιοσύνην ἐντολῶν, πᾶσαν τὴν τῶν ἐντολῶν ἐργασίαν οὐ καθαρῶς μόνον καὶ ἀμωμήτως, ἀλλὰ καὶ πόνων ἐκτὸς καὶ καμάτων ἀνύειν δύναται, ὅπερ ἀπονητὶ πρότερον πολλοῦ **[912]** γε καὶ ἔδει, ποιεῖν καὶ Πνεύματος ἀληθινῶς γεωργῆσαι πρὸ τῆς τοῦ ἀγαθοῦ Πνεύματος μεταλήψεως. Πλὴν ἀλλὰ καὶ βιαζέσθω πᾶς τις ἑαυτὸν ἑκάστοτε δι' ὑπομονῆς τρέχων καὶ πίστεως καὶ θερμῶς τοῦ Χριστοῦ δεέσθω, ὥστε τοῦ θησαυροῦ τοῦδε τοῦ ἐπουρανίου ἐπιτυχεῖν· καὶ τότε πᾶσαν δικαιοσύνην ἐν αὐτῷ τε δι' αὐτοῦ ποιεῖν δύναται καθαρῶς καὶ τελείως, ἀμόχθως τέ φημι καὶ ἀταλαιπώρως.

Ε' Οἱ τὸν θεῖον πλοῦτον τοῦ Πνεύματος ἐν ἑαυτοῖς ἔχοντες ἐπειδάν τισι κοινωνῶσι λόγων πνευματικῶν τοῦ ἰδίου ὥσπερ ἐκβάλλοντες θησαυροῦ τοῖς οἷς μεταδίδωσιν. Ὅσοι δὲ τὸν πλοῦτον ἐν μυχοῖς καρδίας οὐκ ἐθησαύρισαν, ἐξ οὗ θείων ἐνθυμημάτων καὶ μυστηρίων, λόγων τε ὑπερβαινόντων βρύει ἀγαθωσύνη· ἀπανθησάμενοί τινα μόνον ἐξ ἑκατέρας Γραφῆς ἐπ' ἄκρας τῆς γλώσσης φέρουσιν ἢ καὶ ἀνδρῶν πνευματικῶν ἀκουσταὶ γενόμενοι τοῖς τούτων λόγοις ἐπικομπάζουσιν ὡς ἴδια τὰ ἐκείνων προτείνοντες, καὶ τοῖς ἀλλοτρίοις τόκοις ὑποβαλλόμενοι. Οὗτοι μὲν τοῖς ἄλλοις ἄπονον παρέσχον τῶν εἰρημένων ἀπόλαυσιν· αὐτοὶ δὲ μετὰ τὴν διάλεξιν πτωχοῖς εὑρέθησαν ἐοικότες· ἅτε τῶν μὲν λόγων ἑκάστου, καθαπερεὶ πρὸς τὰ ἴδια τῶν ἀφ' ὧν ἐλήφθη ἐπανελθόντος· ἐκείνων δὲ μὴ κεκτημένων ἴδιον θησαυρόν, ἀφ' οὗπερ δυνατῶς εἶχον πρώτους τε αὐτοὺς εὐφραίνειν, καὶ τοὺς ἄλλους κατὰ μεταδίδοσιν ὠφελεῖν. Διὰ τοῦτο ζητητέον πρῶτον παρὰ Θεοῦ πλοῦτον τὸν ἀληθινὸν τοῦτον εἰσοικίσασθαι· τότε ῥᾴδιον ἡμῖν ἔσται καὶ ἑτέρους δύνασθαι ὠφελεῖν, καὶ λόγων πνευματικῶν καὶ μυστηρίων αὐτοῖς μεταδιδόναι. Οὕτω γὰρ ηὐδόκησεν ἡ τοῦ Θεοῦ ἀγαθότης παντὶ τῷ πεπιστευκότι ἐγκατοικῆσαι· καὶ γάρ· «Ὁ ἀγαπῶν»,

1. Πρβλ. Β' Κορ. 4,7. 2. Πρβλ. Α' Κορ. 1,30.

φησίν, «ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου· καὶ ἐγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν»[1]· καὶ ἐν ἄλλοις· «Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν»[2].

Ϛ'. Οἱ τέκνα Θεοῦ γενέσθαι καταξιωθέντες, καὶ τὸν Χριστὸν ἐν ἑαυτοῖς ἐλλάμποντα ἔχοντες, ἐν ποικίλοις καὶ διαφόροις τοῦ Πνεύματος διέπονται τρόποις, καὶ ἐν τῷ ἀφανεῖ τῆς καρδίας ὑπὸ τῆς χάριτος περιθάλπονται. Οὐδὲν δὲ οἷον καί τινας τῶν κατὰ κόσμον φαινομένων ἀπολαύσεων εἰς μέσον παραγαγεῖν πρὸς εἰκασίαν τῶν ἐν τῇ ψυχῇ θείων διαγωγῶν τῆς χάριτος. Ἔστι γὰρ ὅτε γίνονται καθάπερ τινὶ βασιλικῷ δείπνῳ ἐνευφραινόμενοι, καὶ ἀγαλλιῶντες ἄφραστόν τινα καὶ ἄφατον ἀγαλλίασιν· καὶ νῦν μὲν ὡς νύμφη τῷ νυμφίῳ πνευματικῶς συνηδόμενοι· νῦν δὲ ὡς ἀσώματοί τινες ἄγγελοι τοσαύτῃ τοῦ σώματος ἐλαφρίᾳ τε καὶ κουφότητι, ὡς μηδὲ νομίζειν σῶμα περιβεβλῆσθαι. Καὶ ἄλλοτε μὲν ὥσπερ τινὶ πότῳ ἐνευφραινόμενοι καὶ μεθύοντες μέθην ἄφραστον τῶν μυστηρίων τοῦ Πνεύματος· ἄλλοτε δὲ κλαυθμὸς καὶ ὀδυρμὸς αὐτοὺς ἔχει, τῆς τῶν ἀνθρώπων ἕνεκα σωτηρίας ποτνιωμένους· ὑπὸ γὰρ τῆς θείας ἀγάπης **[913]** τοῦ Πνεύματος τῶν ἀνθρώπων πάντων περικαιόμενοι ὅλου τοῦ Ἀδὰμ τὸ πένθος ἀναλαμβάνουσι. Καί ποτε μὲν πρὸς τοσαύτην ἀγάπην μεθ' ἡδονῆς οὐ λόγῳ ῥητῆς τοῦ Πνεύματος ἐξεκαύθησαν, ὡς εἴ γε ἦν δυνατὸν ὅλως, πάντα ἄνθρωπον τοῖς σπλάγχνοις ἐγκολπώσασθαι τοῖς ἰδίοις, κακοῦ διαφορὰν τὸ παράπαν ἀπὸ τοῦ ἀγαθοῦ μὴ ποιούμενοι· ποτὲ δὲ τοσοῦτον ἑαυτοὺς ἐξουδένωσαν, ὡς μηδένα εἶναι τὸν μετ' αὐτοὺς οἴεσθαι, ἀλλὰ πάντων ἐσχάτους ἑαυτοὺς λογίζεσθαι. Καὶ νῦν μὲν ἀνεκλαλήτῳ χαρᾷ τοῦ Πνεύματος κατεπόθησαν· νῦν δὲ καθάπερ τις τῶν ἰσχυρῶν βασιλικὴν λαβὼν πανοπλίαν καὶ πρὸς πόλεμον κατελθὼν τοὺς ἐναντίους κατετροπώσατο, τὸν ἴσον καὶ οὗτοι τρόπον ὅπλοις φραξάμενοι τοῖς τοῦ Πνεύματος πρὸς τοὺς ἀφανεῖς κατῆλθον ἐχθροὺς καὶ τούτους τοῖς ποσὶν ὑπέθεντο τοῖς ἰδίοις· ἄρτι μὲν πολλή τις γαλήνη αὐτοὺς περιβάλλει καὶ ἡσυχία, εἰρήνη τε περιθάλπει, καὶ ἡδονῇ κάτοχοι γίνονται θαυμασίᾳ· ἄρτι δὲ συνέσει καὶ σοφίᾳ θείᾳ καὶ γνώσει Πνεύματος ἀνεξερευνήτῳ· τοιαῦτα πρὸς τῆς τοῦ Χριστοῦ σοφίζονται χάριτος, ἃ μηδεμιᾷ γλώσσῃ δύναμις ἐξειπεῖν. Ἔστι δ' ὅτε καὶ ὡς ἕνα τῶν πάντων αὐτοὺς ἀνθρώπων ὄψει φαινομένους· οὕτως ἡ θεία χάρις πολυτρόπως ἑαυτὴν ἐν τούτοις ἐξαλλάττουσα καὶ ποικίλλουσα παιδοτριβεῖν ὥσπερ καὶ γυμνάζειν βούλεται τὴν ψυχήν, ἵνα τελείαν αὐτὴν καὶ ἄμωμον καὶ καθαρωτάτην τῷ ἐπουρανίῳ παραστήσῃ Πνεύματι.

Ζ'. Τὰ εἰρημένα ταυτὶ τοῦ Πνεύματος ἐνεργήματα μεγάλων μέτρων εἰσί, καὶ τῶν ἐγγυτάτω τῆς τελειότητος. Αὗται γὰρ αἱ ποικίλαι τῆς χάριτος παρακλήσεις διαφόρως μέν, ἀλλ' ἀδιαλείπτως αὐτοῖς ἀπὸ τοῦ Πνεύματος ἐνεργοῦνται, ἐνεργείας ἐνέργειαν Πνεύματος

1. Ἰω. 14,21. 2. Πρβλ. Ἰω. 14,23.

διαδεχομένης. Ὁπότε γὰρ εἰς τὴν τελειότητά τις τοῦ Πνεύματος καταντήσειε, πάντων ἀκριβῶς τῶν παθῶν ἀπακαθαρθείς, καὶ ὅλως τῷ Παρακλήτῳ Πνεύματι διὰ τῆς ἀρρήτου κοινωνίας ἑνωθεὶς ἐπειδὰν καὶ αὐτὴ ἡ ψυχὴ καταξιωθείη πνεῦμα γενέσθαι, ὡς συγκραθεῖσα τῷ Πνεύματι, τότε ὅλον φῶς, ὅλον χαρά, ὅλον ἀνάπαυσις, ὅλον ἀγαλλίασις, ὅλον ἀγάπη, ὅλον σπλάγχνα, ὅλον ἀγαθότης καὶ χρηστότης γίνεται· καὶ οἱονεὶ καταπέποται εἰς τὰς ἀρετὰς τῆς δυνάμεως τοῦ ἀγαθοῦ Πνεύματος, ὡς ἐν ἀβύσσῳ θαλάσσης λίθος ὕδατι πανταχόθεν περισχόμενος· ταύτῃ τοιγαροῦν οἱ τοιοίδε κατὰ πάντα τρόπον, τῷ τοῦ Θεοῦ Πνεύματι συναφθέντες, αὐτῷ τῷ Χριστῷ ἀφωμοίωνται, τὰς ἀρετὰς τοῦ Πνεύματος ἀτρέπτους παρ' ἑαυτοῖς ἔχοντες, καὶ καρποὺς τοιούτους τοῖς πᾶσιν ἐπιδεικνύμενοι. Ἐπεὶ γὰρ ἔνδον ἄμωμοί τε καὶ καθαροὶ διὰ τοῦ Πνεύματος ἀπηρτίσθησαν, ἀμήχανον ἔξω καρποὺς κακίας προσενεγκεῖν, ἀλλὰ πάντοτε διὰ πάντων οἱ καρποὶ τοῦ Πνεύματος ἐν ἑαυτοῖς διαλάμπουσιν· αὕτη ἐστὶν ἡ προκοπὴ τῆς πνευματικῆς τελειότητος, τοῦ πληρώματος τοῦ Χριστοῦ, εἰς ἣν φθάσαι ἡμᾶς ὁ Ἀπόστολος παραινεῖ λέγων· «Ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ Χριστοῦ»[1]. **[916]** Καὶ πάλιν· «Μέχρι καταντήσωμεν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ»[2].

Η'. Ἔστιν ὅτε, φησίν, εἰσέρχεταί τις κλῖναι γόνυ, καὶ τούτῳ ἡ καρδία μεστὴ θείας ἐνεργείας γίνεται, καὶ ἡ ψυχὴ συνευφραίνεται Κυρίῳ, καθάπερ ἤδη δεδήλωταί, νύμφης τρόπον κατὰ τοῦ νυμφίου· Ὁ μέγας τοῦτό φησιν Ἡσαΐας· «Ὃν γὰρ τρόπον εὐφραίνεται νυμφίος ἐπὶ νύμφης, οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί»[3]· ἔστι δ' ὅτε συνέβη μὲν ἀσχολεῖσθαι τὸν τοιοῦτον ὅλης ἡμέρας, κατὰ δὲ μίαν ὥραν εἰς εὐχὴν ἑαυτὸν ἐπιτρέψαντα, ἁρπάζεται παρ' αὐτῆς ὁ ἔσω ἄνθρωπος[4], καὶ κάτοχος ἀπείρῳ βάθει τοῦ αἰῶνος ἐκείνου γίνεται. Ἔχει δὲ αὐτὸν ἀπόρρητος ἡδονή, ὡς ἐκπλήττεσθαι μὲν τὸν νοῦν μετέωρον ὅλον ὄντα καὶ ἡρπαγμένον· λήθην δὲ ταῖς φρεσὶν ἐγγίνεσθαι τοῦ ἐπιγείου τοῦδε φρονήματος, ἅτε μεστωθέντων αὐτῷ τῶν λογισμῶν, ὥσπερ εἴρηται, καὶ εἰς ἀπέραντά τε καὶ ἀκατάληπτα πράγματα αἰχμαλώτων αὐτῷ ἀπαχθέντων, ὡς ἐν ἐκείνῃ ὥρᾳ δι' εὐχῆς τῷ ἀνθρώπῳ γίνεσθαι συναπελθεῖν ἅμα τῇ εὐχῇ καὶ τὴν ψυχήν.

Θ'. Πρὸς δέ γε τὸν ἐρωτῶντα, φησίν, εἰ πάντοτε δυνατὸν τῷ ἀνθρώπῳ τῇ τοιαύτῃ διαρκεῖν καταστάσει, ταῦτα λεκτέον· ὡς ἡ μὲν χάρις οὐκ ἔστιν ὅτε μὴ σύνεστι καὶ ἐρρίζωται, καὶ ὡς φυσικόν τι πεπηγὸς ἐγγίνεται τῷ ἀνθρώπῳ ᾧ σύνεστι· μία δὲ οὖσα αὐτὴ πολυτρόπως, ὡς ἐθέλει, πρὸς τὸ τοῦ ἀνθρώπου συμφέρον, οἰκονομεῖ· ποτὲ μὲν γὰρ πλέον αὐτῷ τὸ πῦρ, ποτὲ δὲ ἀμβλύτερον ἀνακαίει. Καὶ τὸ φῶς, ἔστι μὲν ὅτε μᾶλλον ἐκλάμπει, ἔστι δ' ὅτε καὶ συστέλλεται καὶ ἐπιστυγνάζει κατὰ θείαν πάντως οἰκονομίαν, καίτοιγε τῆς λαμπάδος ἄσβεστα καιο-

---

1. Ἐφ. 3,19. 2. Ἐφ. 4,13. 3. Ἡσ. 62,5. 4. Ρωμ. 7,22.

μένης. Ὅτε δὲ φαιδρυνθῇ πλέον, τότε καθάπερ ἐν μέθῃ πλείονι τῆς τοῦ Θεοῦ ἀγάπης καὶ ὁ ἄνθρωπος ἑορτάζεται· ἔστι δ' ὅτε καὶ αὐτὸ τὸ φῶς τὸ φαῖνον ἐν καρδίᾳ, τῷ ἐνδοτέρῳ δήπου καὶ βαθυτέρῳ διανοίγει φωτί, ὥστε ὅλον τὸν ἄνθρωπον τῇ γλυκύτητι ἐκείνῃ καὶ θεωρίᾳ καταποθέντα μηκέτι ἐν ἑαυτῷ εἶναι, ἀλλ' ὡς μωρόν τε καὶ βλαβερὸν ὑπεῖναι τῷ κόσμῳ, διὰ καινοὺς ἴυγγας ἀγάπης καὶ ἡδονῆς, καὶ τὸ βάθος ὧν ἠξίωται μυστηρίων. Καὶ συμβαίνει πολλάκις κατ' ἐκεῖνον μὲν τὸν καιρὸν τῶν τελείων αὐτὸν ἐπιβῆναι μέτρων, καὶ εἶναι πάσης ἁμαρτίας ἐλεύθερόν τε καὶ ἀνεπίληπτον, μετὰ δὲ ταῦτα συσταλῆναι τρόπον τινὰ τὴν χάριν, καὶ τὸ κάλυμμα τῆς ἐναντίας ἐπιστῆναι δυνάμεως.

Ι'. Οἵου μοι, φησίν, οὕτως τὰ τῆς χάριτος ἔχειν· ὑποκείσθω γάρ σοι πρὸς δωδέκατον βαθμὸν ἀνιέναι τὴν τελειότητα· εἶναι μὲν οὖν ὅτε καὶ τουτὶ τὸ μέτρον ἐφικτὸν γίνεται· πλὴν ἀλλ' ἐνδίδωσι πάλιν ἡ χάρις, καὶ ἕνα ὑποβᾶσα βαθμόν, εἰς τὸ ἑνδέκατον, ὡς εἰπεῖν, ἵσταται. Ἐδείχθη ἐκεῖνα δὴ τὰ θαυμάσια, καὶ ὧν πεῖραν καὶ ἄνθρωπος ἔσχεν ἐκεῖνος· εἰς τὸν ἴσον αὐτῷ τρόπον εἶχε ταῦτα διὰ παντός, οὐκ ἂν δυ**[917]**νατὸν αὐτῷ ἦν τὴν οἰκονομίαν καὶ τὸ βάρος ὑπιέναι τοῦ λόγου οὔτε μὴν ἀκούειν τι καὶ λέγειν ἢ καὶ περί του, κἂν τὸ βραχύτατον, μεριμνᾶν, ὅτι μὴ κεῖσθαι μόνον μιᾶς γωνίας ἐπειλημμένον, καὶ μετέωρον, καὶ μεμεθυσμένον· ταύτῃ τοι καὶ τὸ τέλειον αὐτῷ μέτρον οὐ παρεσχέθη· ἵνα καὶ τῇ ἀδελφῶν προνοίᾳ, καὶ τῇ τοῦ λόγου διακονίᾳ καιρὸν ἔχῃ σχολάζειν.

ΙΑ'. Ἀκούοντες, φησί, τοῦ λόγου τῆς βασιλείας, καὶ πρὸς δάκρυα καταγόμενοι, μὴ τοῖς ἡμετέροις τούτοις ἐναπομείνωμεν δάκρυσι, μηδὲ τῇ ἡμῶν ἀκοῇ ὡς καλῶς ἀκούσαντες, μηδὲ τοῖς ὀφθαλμοῖς ὡς καλῶς ἰδόντες, ἀρκούντως ἔχειν ἑαυτοῖς λογισώμεθα· καὶ γάρ εἰσιν ἕτερα ὦτα καὶ ἕτεροι ὀφθαλμοί, καὶ κλαυθμοὶ ἕτεροι, ὡς δὴ καὶ διάνοια καὶ ψυχὴ ἑτέρα, ὅπερ ἔστιν αὐτὸ θεϊκὸν Πνεῦμα καὶ ἐπουράνιον, τὸ ἀκοῦόν τε καὶ κλαῖον, εὐχόμενόν τε καὶ γινῶσκον, καὶ τὸ τοῦ Θεοῦ θέλημα ἐν ἀληθείᾳ ποιοῦν· ἐπεὶ καὶ τοῖς ἀποστόλοις ὁ Κύριος τὴν μεγίστην ἐπαγγελλόμενος τοῦ Πνεύματος δωρεάν· Ὑπάγω, ἔλεγεν, «ὁ δὲ Παράκλητος τὸ Πνεῦμα τὸ Ἅγιον, ὃ πέμψει Πατὴρ ἐν τῷ ὀνόματί μου ἐκεῖνος ὑμᾶς διδάξει πάντα»[1]. Καὶ πάλιν· «Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· ὅταν δὲ ἔλθῃ ἐκεῖνος τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν»[2]. Ἐκεῖνος οὖν προσεύξεται καὶ ἐκεῖνος κλαύσεται. Τὸ γάρ· Τί προσευξόμεθα, φησίν, ὁ θεῖος Ἀπόστολος, καθ' ὃ δεῖ, οὐκ οἴδαμεν· ἀλλ' αὐτὸ «Πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις»[3]· αὐτῷ γὰρ τῷ Πνεύματι μόνῳ τὸ τοῦ Θεοῦ θέλημα δῆλόν ἐστι. «Τὰ γὰρ τοῦ Θεοῦ», φησίν, «οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ»[4]. Ἐπεὶ καί,

---

1. Ἰω. 14,26. 2. Ἰω. 16,12. 3. Πρβλ. Ρωμ. 8,26. 4. Πρβλ. Α' Κορ. 2,11.

κατὰ τὴν ἐπαγγελίαν, τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς τοῦ Παρακλήτου ἐπιφοιτήσαντος, καὶ τῆς δυνάμεως τοῦ ἀγαθοῦ Πνεύματος ταῖς ψυχαῖς τῶν ἀποστόλων σκηνωσάσης, τὸ μὲν τῆς κακίας κάλυμμα εἰσάπαν αὐτῶν ἀφῃρέθη, τὰ πάθη δὲ κατηργήθη, καὶ τὰ τῆς καρδίας αὐτοῖς ἀπεκαλύφθησαν ὄμματα. Καὶ τότε λοιπὸν σοφίας πλησθέντες, καὶ τέλειοι καταστάντες ὑπὸ τοῦ Πνεύματος, δι' ἐκείνου μὲν καὶ τὸ τοῦ Θεοῦ θέλημα ποιεῖν ἔγνωσαν, δι' ἐκείνου δὲ καὶ πρὸς πᾶσαν ἀλήθειαν ἐχειραγωγήθησαν ἡγεμονεύσαντός τε καὶ βασιλεύσαντος αὐτοῖς τῶν ψυχῶν. Ὅταν οὖν καὶ ἡμῖν ἐπακούωσι τοῦ λόγου τοῦ Θεοῦ κλαίειν ἐπέρχηται, δεηθῶμεν Χριστοῦ, πίστει ἀνεπιδοιάστῳ ἐλεύσεσθαι πρὸς ἡμᾶς, ἐλπίζοντες ἀληθῶς ἀκοῦον καὶ προσευχόμενον Πνεῦμα κατὰ τὸ αὐτοῦ θέλημα.

ΙΒʹ. Τὸ πρᾶγμα οὕτως ἔχειν οἴου, φησίν· ἐπίκειταί τις δύναμις ἐπικαλύπτουσα τὸν ἐλαφρὸν νοῦν, ὡς ἀήρ τις λεπτός· καίτοι δὲ τῆς λαμπάδος ἀεί ποτε καιομένης καὶ φαινούσης, καθάπερ εἴρηται· ἀλλὰ τῷ φωτὶ ἐκείνῳ ὡς κάλυμμά τι ἐπίκειται· ταύτῃ τοι οὐδὲ ἔξαρνός ἐστιν ὁ τοιοῦτος μὴ εἶναι τέλειος, μηδὲ τὸ ὅλον ἐλεύθερος ἐκ τῆς ἁμαρτίας· ἀλλ' οἷον εἰπεῖν ἐλεύθερός τε καὶ οὐκ ἐλεύθερος· τοῦτό τε οὐκ ἀθεεὶ πάντως· ἀλλὰ κατ' οἰκονομίαν γίνεται θείαν· καί ποτε μὲν διαλύεται καὶ θραύεται ἐκεῖνο τὸ μεσότοι**[920]**χον τοῦ φραγμοῦ[1], ποτὲ δὲ τὸ σύμπαν οὐ διαλύεται, οὐδὲ διὰ παντὸς ἐπίσης τὰ τοιαῦτα τῆς εὐχῆς· ἀλλὰ ἔστι μὲν ὅτε πλέον ἡ χάρις ἀνάπτεται, καὶ παρακαλεῖ καὶ διαναπαύει· ἔστι δὲ ὅτε στυγνοτέρα καὶ ὑφειμένη γίνεται, καθὼς αὐτὴ ἡ χάρις πρὸς τὸ συμφέρον τῷ ἀνθρώπῳ οἰκονομεῖ. Ὅμως εἰσῆλθον εἰς τὸ τέλειον μέτρον ἔν τισι καιροῖς, καὶ ἐγευσάμην καὶ πεῖραν ἔσχον ἐκείνου τοῦ αἰῶνος. Οὔπω δὲ οὐδένα εἶδον Χριστιανὸν τέλειον ἢ καθάπαξ ἐλεύθερον· ἀλλὰ καὶ διαναπαύεταί τις ἐν τῇ χάριτι, καὶ μυστηρίων καὶ ἀποκαλύψεων κοινωνὸς γίνεται, καὶ εἰς ἡδύτητα πολλὴν τῆς χάριτος εἴσεισι· καὶ ἡ ἁμαρτία πάλιν αὐτῷ σύνεστιν. Οἱ δὲ τοιοῦτοι διὰ τὴν ὑπερβάλλουσαν χάριν, καὶ τὸ ἐλλάμπον αὐτοῖς φῶς, κατά γε ἀπειρίαν φημί, τέλειοί τε καὶ ἐλεύθεροι ἔδοξαν εἶναι· ἐγὼ δέ, ὡς εἴρηται, οὔπω οὐδένα εἶδον ἀκριβῶς ἐλεύθερον· ἐπειδὴ κἀμοὶ μερικῶς καιροῖς ἔν τισιν ἐξεγένετο εἰς ἐκεῖνο τὸ μέτρον ᾧ λέλεκται εἰσελθεῖν, καὶ οἶδα καταμαθὼν ὁποῖός τις ὁ τέλειος ἄνθρωπός ἐστιν.

ΙΓʹ. Ἐπειδὰν ἀκοῦσαί σοι γένοιτο περὶ κοινωνίας νυμφίου καὶ νύμφης, καὶ χορῶν, καὶ ἑορτῶν, μηδὲν ὑλικὸν μηδὲ πρόσγειον ἐννόησον. Καὶ γὰρ εἰς ὑπόδειγμα μόνον συγκαταβατικῶς ταῦτα παραλαμβάνεται. Ἐπεὶ ἐκεῖνα ἄρρητά τε ἐστι καὶ πνευματικά, καὶ ὀφθαλμοῖς τοῖς σαρκικοῖς ἄψαυστα· ψυχῇ δὲ ἁγίᾳ καὶ πιστῇ πρὸς κατάληψιν ἔρχεται, αὕτη τε ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος[2], καὶ οἱ ἐπουράνιοι θησαυροί, οἱ χοροί τε καὶ ἑορταὶ τῶν ἁγίων ἀγγέλων τῷ πείρᾳ λαβόντι

---

1. Πρβλ. Ἐφ. 2,14. 2. Βʹ Κορ. 13,13.

μόνῳ καταφανῆ γίνονται, ἀμυήτῳ δὲ οὐδὲ ἐννοῆσαι δυνατὸν τὸ παράπαν. Εὐλαβῶς οὖν περὶ αὐτῶν ἄκουε, μέχρις ἂν καὶ σοὶ γένοιτο πιστεύοντι καταξιωθῆναι τῶν τοιούτων τυχεῖν· καὶ τότε εἴσῃ αὐτῇ πείρᾳ τῶν ὀφθαλμῶν τῆς ψυχῆς οἵων ἀγαθῶν ψυχαί τε Χριστιανῶν κἀνταῦθα κοινωνεῖν δύνανται. Ἐν γὰρ τῇ ἀναστάσει καὶ αὐτῷ τῷ σώματι τῶν τοιούτων παρέσται τυχεῖν, βλέπειν τε αὐτὰ καὶ οἱονεὶ κρατεῖν, ὁπόταν καὶ αὐτὸ γένηται πνεῦμα.

ΙΔ΄. Τὰ ἴδια τῆς ψυχῆς κάλλη, καὶ οἱ ἀγαθοὶ καρποί, ἤτοι εὐχή, ἀγάπη, πίστις τε καὶ ἀγρυπνία καὶ νηστεία, καὶ τἄλλα τῶν ἀρετῶν ἐπιτηδεύματα, ἐπειδὰν μιγείη, καὶ κοινωνήσοι τῆς τοῦ Πνεύματος κοινωνίας, τότε καὶ αὐτὰ καθαπερεὶ θυμίαμα πυρὶ βληθέν, πλουσίαν ἀποδίδωσι τὴν εὐωδίαν, ἀλλὰ καὶ ἡμῖν γίνεται ῥᾴδιον ἀκολούθως τῷ θελήματι πολιτεύεσθαι τοῦ Θεοῦ. Ὡς ἄνευ Πνεύματος τοῦ Ἁγίου, καθάπερ ἤδη πρότερον εἴρηται, μηδενὶ δυνατὸν ὂν συνιέναι τὸ τοῦ Θεοῦ θέλημα. Ὥσπερ γὰρ ἀνδρὶ πρὸς γάμον συνοῦσα γυνή, πρότερον μὲν ἢ συναφθῆναι, γνώμῃ τῇ ἰδίᾳ στοιχεῖ, καὶ θελήματι τοῖς ἑαυτῆς κέχρηται, ἐπειδὰν δὲ συνέλθῃ καθ' ἕν, ὑπ' ἐκείνῳ ἡγεμόνι τὸ σύνολον ζῇ, τοῦ πρὸς ἑαυτὴν ὁρᾶν ἀφειμένη· τὸν αὐτὸν δὴ τρόπον καὶ ψυχὴ ἔχει μὲν ἴδιόν τι θέλημα, καὶ ἰδίους νόμους, καὶ ἔργα ἴδια· ἐπειδὰν **[921]** δὲ γένηται ἀξία τῷ ἐπουρανίῳ ἀνδρὶ Χριστῷ συνελθεῖν, ὑποτάσσεται τῷ νόμῳ τοῦ ἀνδρός, οὐκ ἔτι τῷ ταύτης θελήματι, ἀλλὰ τῷ ταύτης νυμφίῳ ἑπομένη Χριστοῦ.

ΙΕ΄. Τὸ τοῦ γάμου ἔνδυμα τὴν τοῦ ἁγίου Πνεύματος χάριν ἡγοῦ· τὴν ὁ μὴ ἐνδῦναι γεγονὼς ἄξιος, τοῦ ἐπουρανίου γάμου καὶ τοῦ δείπνου τοῦ πνευματικοῦ κοινωνὸς οὐκ ἔσται. Θῶμεν σπουδὴν τοῦ πνευματικοῦ καὶ θείου οἴνου, καὶ μεθυσθῆναι μέθην νηφάλιον· ἵν' ὥσπερ οἱ οἴνου διακορεῖς λαλίστεροι γίνονται, οὕτω καὶ ἡμεῖς, τοῦ πνευματικοῦ τούτου διάπλεοι γεγονότες οἴνου, μυστηρίων θείων λαλήσωμεν διηγήματα. «Καὶ τὸ ποτήριόν σου γάρ», φησὶ Δαυΐδ, «μεθύσκον με, ὡσεὶ κράτιστον!»[1].

ΙϚ΄. Αὕτη ἐστὶν ἡ πτωχὴ τῷ Πνεύματι[2] ψυχή, ἥτις ἐπιγινώσκει μὲν τὰ ἑαυτῆς τραύματα, ἐπιγινώσκει δὲ τὸ περιέχον αὐτὴν τῶν παθῶν σκότος, καὶ τὴν ἀπὸ Κυρίου διὰ παντὸς ἐπιζητεῖ λύτρωσιν· ἣ φέρει μὲν πόνους, ἐπ' οὐδενὶ δὲ τῶν ἐπὶ γῆς ἀγαθῶν χαίρει, ἀλλὰ τῷ καλῷ μόνῳ ἰατρῷ, καὶ τῇ αὐτοῦ πέποιθε θεραπείᾳ. Πῶς οὖν ἡ τετραυματισμένη αὕτη ψυχὴ καλὴ καὶ εὐπρόσωπος ἔσται, καὶ πρὸς συμβίωσιν ἁρμόζουσα τῷ Χριστῷ; Πῶς ἄλλως ἢ κατὰ τὴν ἀρχαίαν αὐτῆς κτίσιν, καὶ τὴν σαφῆ τῶν οἰκείων τραυμάτων καὶ τῆς πτωχείας ἐπίγνωσιν; Εἰ γὰρ οἷς ἔχει τραύμασί τε καὶ μώλωψι τῶν παθῶν μὴ συνήδεται, μηδὲ συνηγορεῖ τοῖς σφάλμασιν, οὐ λογίζεται αὐτῇ τὴν ἀμορφίαν ὁ Κύριος, ἀλλ' ἐλθὼν ἴᾶται καὶ θεραπεύει, καὶ ἀπαθὲς αὐτῇ καὶ ἄφθο-

1. Ψαλ. 22,5. 2. Πρβλ. Ματθ. 5,3.

ρόν τι κάλλος ἀποκαθίστησι· μόνον αὐτὴ προαιρέσει μὴ κοινωνείτω τοῖς πραττομένοις, καθάπερ εἴρηται, μηδὲ τοῖς ἐνεργουμένοις συνευδοκείτω πάθεσιν, ἀλλ' ὅλῃ δυνάμει πρὸς Κύριον ἐκβοάτω, ἵνα διὰ τοῦ ἀγαθοῦ Πνεύματος αὐτοῦ τῆς ἐλευθερίας πάντως ἀξιωθῇ τῶν παθῶν. Αὕτη μὲν οὖν ἡ ψυχὴ μακαρία· οὐαὶ δὲ τῇ μὴ συναίσθησιν δεχομένῃ τραυμάτων, μηδὲ ἔχειν τι κακίας διὰ πολλὴν καὶ ἄμετρον οἰομένῃ κακίαν· ταύτην γὰρ οὐδὲ ὁ ἀγαθὸς ἐπισκέπτεται ἰατρός, οὐδὲ θεραπεύει, ὅτι μηδὲ μέλει αὐτῇ τῶν τραυμάτων, ἅτε καλῶς ἔχειν καὶ ὑγιῶς ἡγουμένῃ· «Οὐ γὰρ χρείαν ἔχουσι», φησίν, «οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες»[1].

ΙΖʹ. Μακάριοι τῷ ὄντι καὶ ζηλωτοὶ τοῦ βίου καὶ τῆς ὑπερφυοῦς ἀπολαύσεως, ὅσοι διὰ θερμῆς καὶ φιλαρέτου διαγωγῆς τῶν ἐπουρανίων τοῦ Πνεύματος μυστηρίων πείρᾳ καὶ αἰσθήσει τὴν γνῶσιν εἰλήφασι, καὶ τὸ πολίτευμα ἐν οὐρανοῖς ἔχουσιν. Οὗτοι καὶ συμπάντων κρείττους ἀνθρώπων εἰσί· καὶ φανερὰ ἡ ἀπόδειξις. Τίνι γὰρ τῶν δυνατῶν ἢ σοφῶν ἢ φρονίμων ἀνελθεῖν εἰς τὸν οὐρανὸν ὑπῆρξεν ἐπιστρεφομένῳ περὶ τὴν γῆν, ἐκεῖ τε ἐργάσασθαι ἔργα πνευματικά, καὶ τὰ κάλλη τοῦ Πνεύματος κατοπτεῦσαι; Νυνὶ δὲ πένης τις τὸ φαινόμενον, πένης ἄκρως καὶ ἐξουδε**[924]**νωμένος, καὶ οὐδὲ τοῖς ἐγγειτόνων μικροῦ γνώριμος, προσπίπτων ἐπὶ πρόσωπον αὐτοῦ τῷ Κυρίῳ, ἄνεισιν εἰς τὸν οὐρανὸν ὑπὸ Πνεύματος ὁδηγούμενος, καὶ ἐν πληροφορίᾳ τῆς ἑαυτοῦ ψυχῆς τῶν ἐκεῖ θαυμασίων κατατρυφᾷ, ἐκεῖ τε ἐργάζεται, ἐκεῖ τὸ πολίτευμα ἔχει, κατὰ τὸν θεῖον Ἀπόστολον· «Ἡμῶν γὰρ τὸ πολίτευμα», φησίν, «ἐν οὐρανοῖς ὑπάρχει»[2]· καὶ πάλιν· «Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπων οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν»[3]. Εἶτα ἐπάγει· «Ἡμῖν δὲ ἀπεκάλυψε διὰ τοῦ Πνεύματος αὐτοῦ»[4]. Οὗτοί εἰσιν οἱ ἐν ἀληθείᾳ σοφοί, οἱ δυνατοὶ οὗτοι καὶ εὐγενεῖς καὶ φρόνιμοι.

ΙΗʹ. Καὶ χωρίς, φησί, τῶν οὐρανίων ἐκείνων ἀπὸ τῶν παρόντων κρίνων τοὺς ἁγίους, οὐκ ἐπιδοιάσεις πάντων ὑψηλοτέρους εἰπών. Κρινέσθω δὲ οὕτως· Ναβουχοδονόσορ ὁ Βαβυλῶνος ἄρξας, ὁπότε τὰ ἔθνη αὐτῷ πάντα εἰς προσκύνησιν ἧς ἔτυχε κατασκευάσας εἰκόνος ἠθροίζετο· τῷ δὲ Θεῷ τοῦτο πανσόφως ᾠκονομεῖτο, ἵνα καὶ ἡ τῶν παίδων ἀρετὴ πᾶσι γνώριμος καταστῇ, καὶ μάθωσι πάντες, ὅτι Θεὸς ἀληθὴς εἷς, ὃς τοὺς οὐρανοὺς κατοικεῖ· τρεῖς παῖδες, καὶ αὐτοὶ αἰχμάλωτοι καὶ τὴν ἐλευθερίαν ἀφῃρημένοι ἐπαρρησιάσαντο πρὸς αὐτόν, καὶ πάντων πολλῷ δέει προσκυνούντων, καὶ μηδ' ὅλως εἰ μὴ πείθεσθαι τολμώντων, ἀλλὰ σχεδὸν ἀφώνων ἴσα καὶ ταῖς κτίσεσιν ἑλκομένων, αὐτοὶ τοσοῦτον ἀπέχοντες τοῦ τὰ ὅμοια τοῖς ἄλλοις παθεῖν, ὡς μηδ' εὐσεβοῦντας ἀγνοεῖσθαι βούλεσθαι, μηδ' ὑπομένειν λαθεῖν, ἀλλ' εἰς

---

1. Ματθ. 9,12. Λουκ. 5,31. 2. Φιλιπ. 3,20. 3. Αʹ Κορ. 2,9. 4. Ἔνθ. ἀν.

ἀκοὴν πάντων λέγειν· «Τοὺς θεούς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστηκας, οὐ προσκυνοῦμεν»[1]· τούτους εἰς τιμωρίας λόγον καὶ ἡ φοβερὰ ἐκείνη παραλαβοῦσα κάμινος ἦν, οὐδὲ τὴν ἑαυτῆς ἐνέργειαν ὑπεδείξατο, ὥσπερ δὲ καὶ αὐτὴ διευλαβηθεῖσα τούτους, ἀπαθεῖς κακῶν διεφύλαξε, καὶ πάντες καὶ βασιλεὺς αὐτὸς τὸν ἀληθῆ δι' ἐκείνων Θεὸν ἐπέγνωσαν. Ἐκείνους οὐχ οἱ ἐν γῇ μόνον, ἀλλὰ καὶ ἐν οὐρανοῖς χοροὶ κατεπλάγησαν· καὶ γὰρ εἰς τὰς τῶν ἁγίων ἀνδραγαθείας οὐδὲ τοὺς ἐν οὐρανοῖς ἀπεῖναι, ἀλλὰ συμφοιτᾶν κἀκείνοις, ὁ θεῖος Ἀπόστολος ὑποφαίνει· «Θέατρον γάρ», φησίν, «ἐγεννήθημεν καὶ ἀγγέλοις καὶ ἀνθρώποις»[2]. Ἔχεις τοιαῦτα καὶ ἐπὶ Ἠλίαν ὁρᾶν· ὅς, εἷς ἄνθρωπος ὤν, πρὸς πλείστους ἴσχυσε διὰ τῆς τοῦ οὐρανίου πυρὸς καταγωγῆς· ἀλλὰ καὶ Μωϋσῆς ὅλης Αἰγύπτου καὶ Φαραὼ τοῦ τυράννου περιεγένετο. Τοῦτο καὶ ἐπὶ Λώτ, τοῦτο καὶ ἐπὶ Νῶε καὶ ἐπὶ πολλῶν ἴδοις ἑτέρων· οἵτινες τῷ φαινομένῳ πολλὴν εὐτέλειαν ὑπερχόμενοι, πολλῶν ἐκράτουν ἐπισήμων καὶ δυνατῶν.

ΙΘ'. Ἑκάστῳ τῶν φαινομένων, ἣν μὴ καὶ ἑτέρου τις ξένη φύσις πρὸς βοήθειαν ἐπιγένοιτο, τὸ ὅσον καθ' ἑαυτὸ ἀνέργαστόν ἐστι καὶ ἀκόσμητον. Καὶ γὰρ ἡ τοῦ Θεοῦ ἄφραστος σοφία μυστήρια καὶ τύπους διὰ τῶν ὁρωμένων δείκνυσιν, ὅτιπερ ἡ ἀνθρωπίνη φύσις, **[925]** καθ' ἑαυτὴν οὖσα, τὴν ἐντελῆ τῶν ἀρετῶν διακόσμησιν καὶ τὴν πνευματικὴν εὐπρέπειαν τῆς ἁγιωσύνης ἐκτός, εἰ μὴ καὶ τῆς θείας ἀπολαύσοι χειρός, ἀδύνατός ἐστιν ἐπιδείξασθαι. Οἷον ἡ γῆ, καθ' ἑαυτῆς μένουσα, εἰ μὴ μετάσχοι τῆς διὰ τῶν γηπόνων ἐπιμελείας, εἶτα καὶ τὴν ἐκ τῶν ὄμβρων καὶ τοῦ ἡλίου καταδέξηται συνεργίαν, ἀνεπιτήδειός ἐστι καὶ ἥκιστα διαρκὴς πρὸς καρπογονίαν. Καὶ οἶκος δὲ πᾶς τοῦ ἡλιακοῦ τοῦδε δεῖται φωτός, ὅπερ οὐκ ἔστι τῆς αὐτῆς ἐκείνῳ φύσεως· ἐπεὶ σκότους ἂν εἴη πεπληρωμένος καὶ ἄχρηστος· καὶ ἕτερα δὲ τούτοις ὁμοίως ἔχοντα ὄψει. Τὸν αὐτὸν οὖν τρόπον καὶ ἡ ἀνθρωπίνη φύσις ἀδυνάτως, καθ' ἑαυτὴν σχοῦσα, τοὺς καρποὺς τῶν ἀρετῶν τελείους ἀποδιδόναι, δεῖται τοῦ πνευματικοῦ γηπόνου τῶν ἡμετέρων ψυχῶν, τοῦτ' ἔστι τοῦ Πνεύματος τοῦ Χριστοῦ· ὅπερ καὶ αὐτὸ ξένον τῆς ἡμετέρας ἀτεχνῶς φύσεως· κτίσμα γὰρ ἡμεῖς, τόδε ἄκτιστον· ἵνα καὶ τῇ ἰδίᾳ τέχνῃ γεωργῆσαν τῶν πιστῶν φημι τὰς καρδίας, τὰς ὅλῳ θελήματι ἑαυτὰς τῷ πνευματικῷ γεωργῷ παραδούσας, τελείους τοὺς καρποὺς τοῦ Πνεύματος ἀποδοῦναι παρασκευάσῃ, λάμψῃ τε τὸ ἑαυτοῦ φῶς ἐν τῇ ἐσκοτισμένῃ τοῖς πάθεσιν τῆς ψυχῆς ἡμῶν οἰκίᾳ.

Κ'. Διπλοῦς ἐστι τοῖς Χριστιανοῖς ὁ πόλεμος, καὶ διπλῆ ἡ πάλη· πρός τε τὰ ὁρώμενα τῷ ὀφθαλμῷ τούτῳ· ὑπερεθίζει γὰρ ταῦτα καὶ διαγαργαλίζει καὶ προκαλεῖ τὴν ψυχὴν προσπάσχειν αὐτοῖς καὶ συνήδεσθαι· εἶτα καὶ πρὸς τὰς τοῦ δεινοῦ κοσμοκράτορος ἀρχὰς καὶ ἐξουσίας.

1. Δαν. (Θδτ.) 3,18. 2. Α' Κορ. 4,9.

ΚΑ'. Ἡ δόξα Μωσέως, ἣν ἐπὶ τοῦ προσώπου εἶχε[1], τύπος τῆς ἀληθοῦς δόξης τοῦ παναγίου Πνεύματος ἦν· ὃν γὰρ τρόπον ἐκεῖ πᾶς ὅστις ἀτενίσαι ἀδύνατος[2]. Οὕτω καὶ νῦν ταύτην τὴν δόξαν, τὴν ψυχὴν Χριστιανὴν ἐπιλάμπουσαν, τὸ τῶν παθῶν σκότος οὐχ ὑπομένει· ἀλλ' ὑπὸ τῆς αὐγῆς ταύτης ἀποδιωκόμενον φεύγεται.

ΚΒ'. Τῷ φιλαλήθει καὶ φιλοθέῳ καὶ τῆς ἐπουρανίου γλυκύτητος γευσαμένῳ, ἔμφυτόν τε καὶ κεκραμένην ἐν τῇ ψυχῇ κεκτημένῳ τὴν χάριν, καὶ ὅλως ἑαυτὸν τοῖς θελήμασι τῆς χάριτος ἐπιτρέψαντι, πάντα τοῦ αἰῶνος τοῦδε διὰ μίσους ἐστί· κρείττων γὰρ οὗτος τῶν τοῦ κόσμου κατέστη πάντων· κἂν χρυσὸν εἴπῃς, κἂν ἄργυρον, κἂν τιμὰς καὶ δόξας, κἂν μακαρισμοὺς καὶ ἐπαίνους· ὑπ' οὐδενὸς ἁλῶναι τῶν τοιούτων δύναται· καθότι πλούτου ἄλλου καὶ τιμῆς ἄλλης, ἑτέρας δὲ δόξης εἰς πεῖραν ἀφῖκται, καὶ ἡδονῇ ἀφθάρτῳ τρέφεται τὴν ψυχήν, καὶ αἴσθησιν ἔχει καὶ πληροφορίαν πᾶσαν διὰ τῆς κοινωνίας τοῦ Πνεύματος.

ΚΓ'. Οὗτος, ὁπόση τῷ λογικῷ ποιμένι διαφορὰ πρὸς τὰ ἄλογα θρέμματα, τοσοῦτον ἐν συνέσει τε καὶ γνώσει καὶ διακρίσει, τῶν ἀνθρώπων διαφέρων ἐστί· καὶ γὰρ ἄλλου Πνεύματος, καὶ ἄλλου νοός, ἄλλης τε συνέσεως καὶ σοφίας παρὰ τὴν τοῦ κόσμου τούτου μετέχει σοφίαν· «Σοφίαν γάρ», φησί, «λαλοῦμεν ἐν τοῖς τελείοις· σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμέ- [928]νων· ἀλλὰ λαλοῦμεν σοφίαν Θεοῦ, ἐν μυστηρίῳ»[3]. Διὰ ταῦτα καὶ πάντων τῶν ἀνθρώπων τὸ τοῦ κόσμου πνεῦμα ἐχόντων, καθάπερ εἴρηται, εἴτε φρονίμων εἴτε σοφῶν, ὁ τοιόσδε τοῖς ὅλοις διενήνοχε· καὶ «πάντας μὲν ἀνθρώπους ἀνακρίνει»[4], κατὰ τὸ γεγραμμένον. Ὁ τοιοῦτος γινώσκει τε ἕκαστον πόθεν τε λέγει, καὶ ποῦ ἕστηκε, ἐν ποίοις ἐστίν· αὐτὸν δὲ οὐδενὶ τῶν ἐχόντων τὸ τοῦ κόσμου πνεῦμα διαγινώσκειν τε καὶ ἀνακρίνειν δύναμις· ὅτι μὴ ἐκείνῳ ᾧ τὸ ὅμοιόν ἐστι τῆς θεότητος πνεῦμα, κατὰ τὸν θεῖον Ἀπόστολον· «Πνευματικοῖς πνευματικὰ συγκρίνοντες· ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ· μωρία γάρ ἐστι τούτῳ· ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα, αὐτὸς ὑπ' οὐδενὸς ἀνακρίνεται»[5].

ΚΔ'. Τοῦ παναγίου δέ φησι τούτου Πνεύματος ἀμήχανον ἄλλως τυχεῖν, εἰ μὴ πάντων τις τῶν τοῦ αἰῶνος τούτου ξένος γενόμενος, πρὸς τὴν ζήτησιν τῆς τοῦ Χριστοῦ ἀγάπης ἑαυτὸν ἀποτάξειεν, ἵνα πασῶν τῶν κατὰ τὴν ὕλην μεριμνῶν ἀνεθεὶς ὁ νοῦς, περὶ τὸν ἕνα τοῦτον σκοπὸν ἀπασχολῆται μόνον· καὶ οὕτω καταξιωθείη μετὰ Χριστοῦ εἰς ἓν πνεῦμα γενέσθαι, ὥς φησιν ὁ Ἀπόστολος· «Ὁ κολλώμενος τῷ Κυρίῳ, ἕσται εἰς ἓν πνεῦμα»[6]. Ψυχῇ δὲ τῇ ὅλως τινὶ τῶν τοῦ αἰῶνος τούτου συνδεδεμένῃ καὶ πρὸς αὐτὸν ἐχούσῃ, οἷον πλούτῳ ἢ δόξῃ, ἢ

1. Πρβλ. Ἐξ. 34,30. 2. Πρβλ. Β' Κορ. 3,7. 3. Α' Κορ. 2,6. 4. Πρβλ. Α' Κορ. 2,15. 5. Α' Κορ. 2,13-15. 6. Α' Κορ. 6,17.

φιλίᾳ τῇ κατὰ κόσμον, οὐκ ἔσται δυνατὸν φυγεῖν καὶ διαπεράσαι τὸ σκότος τῶν πονηρῶν δυνάμεων.

ΚΕ'. Αἱ φιλαλήθεις ψυχαὶ καὶ φιλόθεοι οὐδὲ τὴν βραχεῖαν ὕφεσιν τοῦ πρὸς τὸν Κύριον ἔρωτος ὑπομένουσιν· ἀλλ' ὅλαι δι' ὅλου τῷ σταυρῷ τούτου πρόσηλωμέναι, τὴν τῆς πνευματικῆς προκοπῆς αἴσθησιν ἐν ἑαυταῖς γινομένην, ἐπιγινώσκουσι. Τετρωμέναι γοῦν τούτῳ τῷ πόθῳ, καί, ὡς εἰπεῖν, ἔκπεινοι οὖσαι περὶ τὴν δικαιοσύνην τῶν ἀρετῶν, καὶ τὴν τοῦ ἀγαθοῦ Πνεύματος ἔλλαμψιν, κἂν μυστηρίων ἄξιαι θείων, κἂν εὐφροσύνης ἐπουρανίου καὶ χάριτος μέτοχοι γένωνται, οὐ πεποίθασι περὶ αὐταῖς, οὐδὲ εἶναί τι οἴονται· ἀλλ' ὅσῳ χαρισμάτων ἀξιοῦνται πνευματικῶν, τοσούτῳ μᾶλλον ἀπλήστως ἔχουσαι τῶν οὐρανίων φιλοπονώτερον ἐκζητοῦσι· καὶ ὅσῳ πνευματικῆς αἰσθάνονται προκοπῆς, τοσούτῳ δὴ καὶ λιχνότεραι πρὸς τὴν μετάληψιν τούτων γίνονται, καὶ πνευματικῶς πλουτοῦσαι, τό γε παρ' ἑαυταῖς, πενομέναις ἐοίκασι, κατὰ τὴν θείαν Γραφήν· «Οἱ τρώγοντες γάρ με», φησίν, «ἔτι πεινάσουσι, καὶ οἱ πίνοντές με ἔτι διψήσουσιν»[1].

ΚϚ'. Αἱ τοιαῦται ψυχαὶ καὶ τῆς τῶν παθῶν ἐλευθερίας παντάπασιν ἀξιοῦνται, καὶ τὴν τοῦ θείου Πνεύματος ἔλλαμψίν τε καὶ κοινωνίαν ἐν πληρώματι τῆς χάριτος τελείως κομίζονται. Ὅσαι δὲ ὀκνηραί τε καὶ ἀφερέπονοι, καὶ μὴ ζητοῦσαι τὸν τῆς καρδίας **[929]** ἁγιασμόν, ἐντεῦθεν ὡς ἐν σαρκὶ ἔτι τυγχάνουσιν, οὐκ ἐκ μέρους ἀλλ' ὁλοκλήρως δι' ὑπομονῆς δέξασθαι καὶ μακροθυμίας· μηδὲ κοινωνῆσαι τῷ Πνεύματι τῷ παρακλήτῳ κατὰ πᾶσαν αἴσθησιν καὶ πληροφορίαν ἠλπίκασι, καὶ δι' ἐκείνου τῶν παθῶν τῆς κακίας ἀπαλλαγῆναι αὗται, κἂν χάριτος θείας ἀξιωθεῖεν· ἀλλ' ὑπὸ τῆς κακίας κλεπτόμεναι πάσης φροντίδος ἑαυτὰς ἀνῆκαν· ἅτε λαβοῦσαι τὴν χάριν, καὶ τῆς ἐξ αὐτῆς τυγχάνουσαι παρακλήσεως, καὶ πνευματικῆς γλυκύτητος ἀπολαύουσαι. Ταύτῃ καὶ ῥᾴδιαί εἰσιν οἰηθῆναι, μὴ συντριβόμεναι τὴν καρδίαν μηδὲ τῷ φρονήματι ταπεινούμεναι μηδὲ ἔκδιψοι οὖσαι, καὶ πρὸς τὸ τέλειον μέτρον τῆς ἀπαθείας κατατεινόμεναι· ἐναπομείνασαι δὲ τῇ ὀλίγῃ ταύτῃ τῆς χάριτος παρακλήσει, καὶ εἰς ἔπαρσιν, οὐκ εἰς ταπείνωσιν προκόψασαι, μᾶλλον καὶ οὗπερ ἠξιώθησαν χαρίσματος, ἔστιν ὅτε ἀπογυμνοῦνται. Ψυχὴ γὰρ ὡς ἀληθῶς φιλόθεος, ὡς ὁ λόγος ἔφθη δηλώσας, κἂν μυρίας μετέλθῃ δικαιοσύνας, κἂν ἄκραις ἀγρυπνίαις ἐκτρίψῃ τὸ σῶμα, κἂν χαρισμάτων τοῦ Πνεύματος διαφόρων, ἀποκαλύψεών τε καὶ μυστηρίων ἀξιωθείη, οὕτως ἔχει μετρίως ὡς μήπω τῆς κατὰ Θεὸν ἀγωγῆς ἠργμένη, μηδὲ κτησαμένη τι τῶν δεξιωτέρων, ἐρωτικῶς καὶ ἀπλήστως πρὸς τὴν κατὰ Χριστὸν ἀγάπην διακειμένη.

ΚΖ'. Εἰς τὰ μέτρα δὲ ἐφικέσθαι ταῦτα, οὔτε ἀθρόως, οὔτε ῥᾳδίως ἐφικτὸν οὐδενί· ἀλλὰ πολλῶν πόνων καὶ ἀγώνων ἡγησαμένων, χρόνων τε καὶ σπουδῆς, κατὰ δοκιμασίας καὶ πειρασμῶν ποικίλων, ἄχρι

---

1. Σ. Σειρ. 24,21.

καὶ τοῦ τελείου, φημί, τῆς ἀπαθείας μέτρου. Οὕτω γὰρ πρὸς πάντα πόνον καὶ κόπον ἐξετασθείς, καὶ ὅλους πειρασμοὺς τοὺς ὑπὸ τῆς κακίας ἐπαγομένους εὐψύχως ὑπενεγκών, τότε καὶ τῶν μεγάλων τιμῶν καὶ χαρισμάτων τοῦ Πνεύματος, καὶ τοῦ θείου πλούτου καταξιοῦται· εἶτα καὶ «κληρονόμος» τῆς οὐρανίου γίνεται «βασιλείας»[1].

ΚΗ'. Ἡ ψυχὴ δὲ οὐκ ἔχουσα μὲν τὴν εἰρημένην τῆς πολιτείας ἀκρίβειαν· μήπω δὲ τοῦ ἁγιασμοῦ τοῦ ἐν τῇ καρδίᾳ τὴν αἴσθησιν δεξαμένη, πενθείτω καὶ ζητείτω παρὰ τοῦ Κυρίου θερμῶς, ἵνα τοῦ ἀγαθοῦ τούτου καὶ τῆς ἐνεργείας τῆς ἐν νῷ δι' ἀρρήτων θεωριῶν γινομένης τοῦ Πνεύματος ἐπιτύχῃ. Ὥσπερ δὲ κατὰ τὸν ἐκκλησιαστικὸν νόμον, οἱ σωματικοῖς ἁλόντες ἁμαρτήμασιν, ἀφορίζονται μὲν παρὰ τοῦ ἱερέως τὸ πρότερον· εἶτα τὴν κατὰ λόγον μετάνοιαν ἐπιδεδειγμένοι, καὶ τῆς κοινωνίας μεταποιοῦνται· ὅσοι δὲ ἀπτώτως καὶ καθαρῶς βεβιώκασι, προκόπτουσί τε πρὸς ἱερωσύνην, καὶ ἀπὸ τοῦ ἐξωτέρου τόπου τὴν ἔσω τοῦ θυσιαστηρίου μετάστασίν τε καὶ τάξιν ἀπολαμβάνουσιν, ἵνα λειτουργοὶ καὶ πάρεδροι τῷ Κυρίῳ διατελῶσιν· οὕτω δὴ σκοπῶμεν καὶ περὶ τῆς μυστικῆς τοῦ Πνεύματος κοινωνίας, περὶ ἧς τῷ Ἀποστόλῳ εἴρηται· «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος»[2]. Ὄψει σῳζομένην ἀκολουθίαν· ἐνοικεῖ μὲν γὰρ ἡ θεία Τριὰς **[932]** ἐν τῇ καθαρῶς ἐχούσῃ ψυχῇ, τῆς θείας χρηστότητος συνεφαπτομένης· ἐνοικεῖ δὲ οὐ καθ' ὅ ἐστιν· ἀχώρητος γὰρ καὶ αὐτῇ πάσῃ τῇ κτίσει· ἀλλὰ καθ' ὅσον γοῦν ἐπιτηδείως ἔχει δεκτικῶς ὁ ἄνθρωπος· ἐπειδὰν δέ τι παρατραπῇ τῆς τῷ Θεῷ κατὰ γνώμην διαγωγῆς, καὶ τὸ θεῖον Πνεῦμα λυπήσειεν ἐκβάλλεται καὶ ἀφορίζεται τῆς πνευματικῆς εὐφροσύνης ὁ νοῦς· τῆς μὲν θείας χάριτος καὶ τῆς ἀγάπης, καὶ πάσης τῆς ἀγαθῆς τοῦ Πνεύματος ἐνεργείας συστελλομένης· ἐκείνου δὲ θλίψεσί τε καὶ πειρασμοῖς καὶ πονηροῖς πνεύμασι παραδιδομένου· καὶ μέχρις ἂν πάλιν ὀρθοποδίσειεν ἡ ψυχὴ πρὸς τὴν τοῦ Πνεύματος εὐαρέστησιν· εἴτε διὰ πάσης ἐξομολογήσεώς τε καὶ ταπεινώσεως τὴν μετάνοιαν ἐπιδειξαμένη, τότε καὶ αὖθις τῆς ἐπισκοπῆς ἀξιοῦται τῆς χάριτος, καὶ τὴν οὐράνιον εὐφροσύνην πλέον ἢ κατὰ πρῶτον ἀπολαμβάνει. Εἰ δὲ πρὸς μηδὲν τὸ Πνεῦμα λυπήσειεν, ἀλλ' εἴη ζῶσά τε εὐαρέστως, καὶ λογισμοῖς μὲν πᾶσι πονηροῖς ἀντιταττομένη, τῷ Κυρίῳ δὲ κολλωμένη διὰ παντός, ἡ τοιαύτη δικαίως ἄρα καὶ ἀκολούθως προκόπτει ψυχή, καὶ δωρεῶν ἀφάτων ἀξιοῦται, «ἀπὸ δόξης εἰς δόξαν»[3] καὶ ἀπὸ ἀναπαύσεως εἰς τελειοτέραν ἀνάπαυσιν μετατίθεται. Εἶτα καὶ εἰς τὸ τέλειον τοῦ Χριστιανισμοῦ μέτρον ἀφικομένη, τοῖς τελείοις ἐργάταις, καὶ τοῖς ἀμώμοις τοῦ Χριστοῦ λειτουργοῖς κατὰ τὴν αἰώνιον αὐτοῦ συνταγήσεται βασιλείαν.

ΚΘ'. Τὰ φαινόμενα ταῦτα τύπους οἶου μου καὶ σκιὰς τῶν κρυ-

1. Πρβλ. Ἰακ. 2,5. 2. Β' Κορ. 13,13. 3. Β' Κορ. 3,18.

φίων εἶναι· τὸν ναὸν τὸν ὁρώμενον τοῦ τῆς καρδίας ναοῦ, τὸν ἱερέα, τοῦ ἀληθινοῦ ἱερέως τῆς τοῦ Χριστοῦ χάριτος· καὶ ἐφεξῆς οὕτως· Ὥσπερ οὖν κατὰ τήνδε τὴν ὁρατὴν Ἐκκλησίαν, ἂν μὴ πρότερον αἱ ἀναγνώσεις, αἱ ψαλμῳδίαι τε καὶ τίς ἐστιν ἀκολουθία τοῦ ἐκκλησιαστικοῦ βαθμοῦ, προχωρήσειεν, αὐτὸ τὸ θεῖον μυστήριον τοῦ σώματός τε καὶ αἵματος τοῦ Χριστοῦ τὸν ἱερέα ἐπιτελεῖν οὐκ ἀκόλουθον. Εἶτα κἂν πᾶς μὲν ὁ ἐκκλησιαστικὸς κανὼν ἐπιτεθείη, ἡ μυστικὴ δὲ τῆς προσφορᾶς ὑπὸ τοῦ ἱερέως εὐχαριστία, καὶ ἡ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ μὴ γένηται, οὔτε ὁ ἐκκλησιαστικὸς ἐτελεσιουργήθη θεσμός, καὶ ἐλλιπής ἐστιν ἡ λατρεία τοῦ μυστηρίου· οὕτω μοι καὶ τὰ τοῦ Χριστιανοῦ νόει· ἂν γὰρ νηστείαν μὲν καὶ ἀγρυπνίαν καὶ ψαλμῳδίαν, ὅλην τε ἄσκησιν καὶ ἀρετὴν πᾶσαν κατορθωκὼς εἴη· ἡ μυστικὴ δὲ τοῦ Πνεύματος ἐνέργεια τῷ θυσιαστηρίῳ τῆς αὐτοῦ καρδίας ὑπὸ τῆς χάριτος κατ' αἴσθησιν πᾶσαν καὶ πνευματικὴν ἀνάπαυσιν μὴ ἐπιτελεῖται, ἀτελὴς ἡ τοιάδε πᾶσα τῆς ἀσκήσεως ἀκολουθία καὶ σχεδὸν ἀργή, οὐκ ἔχουσα τὴν τοῦ Πνεύματος ἀγαλλίασιν μυστικῶς ἐν τῇ καρδίᾳ ἐνεργουμένην.

Λ'. Καλὸν ἡ νηστεία, καλὸν ἡ ἀγρυπνία, καλὸν ὁμοίως ἡ ἄσκησις, καὶ ἡ ἐπὶ ξένης διαγωγή· καὶ προοίμια ταῦτα πολιτείας θεοφιλοῦς· ἀλόγιστον δὲ ἀτεχνῶς τὸ ἁπλῶς τοῖς τοιούτοις ἐπιθαρρεῖν. Ἔστι γὰρ ὅτε καὶ χάριτός τινος ἐν μετοχῇ καθιστάμεθα· καὶ ἡ κακία ἔνδον ὑποκαθημένη, καθάπερ ἐν τοῖς [933] ἄνω λέλεκται, σοφίζεται καὶ ὑποχωρεῖ, ἑκοῦσα, οὐ πράττει τὰ ἑαυτῆς· ἀλλὰ ποιεῖ νομίσαι τὸν ἄνθρωπον, διακεκαθάρθαι τὸν νοῦν· καὶ τὸ λοιπὸν ἐξάγει πρὸς οἴησιν τελειότητος. Εἶτα ληστρικῶν ἐπιτίθεται καὶ τῶν κατωτάτων ἄχρι καταφέρει τῆς γῆς. Οἱ γὰρ ἄνθρωπον πολλάκις εἴκοσιν ἔτη γενόμενοι λῃσταί τινες ἢ στρατιῶται τὸ ἐπιτήδευμα, μηχανάς τε κατὰ τῶν πολεμίων ἐπίστανται, ὑποκάθηνταί τε καὶ ἐνέδρας ἐπινοοῦσι, καὶ τὰ τῶν ἐχθρῶν λαμβάνουσιν ὦτα, καὶ κτείνουσιν ἀνελπίστως περιβαλόντες. Πόσῳ γε μᾶλλον ἡ κακία τοσαύτας χιλιάδας ἐτῶν γεγενημένη, καὶ τοῦτο ἔργον ἑαυτῆς τεθειμένη, τὸ σπουδαιότατον τὸ ἀπολεῖν ψυχάς, ἐνέδρας, εἶδε τοιαύτας ἐν ἀποκρύφῳ τῆς καρδίας ἐπινοεῖν, καὶ κατὰ καιροὺς ἀτρεμεῖν ἐπίτηδες, καὶ μὴ ἐνεργεῖν· ὥστε τὴν ψυχὴν ἑλκῦσαι πρὸς οἴησιν τελειότητος; Ὁ μέντοι θεμέλιος τοῦ Χριστιανισμοῦ, κἂν πάσας τις μετέλθῃ δικαιοσύνας, μὴ ἐπαναπαύεσθαι τούτων, μηδὲ ἐπιθαρρεῖν, μηδὲ μέγα τι πεποιηκέναι λογίζεσθαι· κἂν μέτοχος χάριτος καταστῇ μὴ νομίσαι κατειληφέναι μηδὲ κατακόρως ἔχειν· ἀλλὰ πεινᾶν τότε καὶ διψᾶν, δὲ πενθεῖν καὶ κλαίειν, καὶ συντετριμμένην ὅλως τὴν καρδίαν ἔχειν.

ΛΑ'. Νόει μοι τὴν πνευματικὴν κατάστασιν οὕτως ἔχειν. Ὑπόθου τινὰ εἶναι βασιλικὸν οἶκον· τούτῳ δὲ αὐλὰς ὑπεῖναι διαφόρους, καὶ πρόθυρά τινα καὶ οἰκίας ἄλλας ἐξωτέρας· καὶ οὕτω πάλιν κατὰ τὸ ἀκόλουθον ἐνδοτέρας, ἐν αἷς τὴν πορφύραν καὶ τοὺς θησαυροὺς εἰκὸς

ἀποκεῖσθαι. Εἶτα καὶ τὴν τούτων αὖθις ἐσωτέραν, ὅπου τὴν βασιλικὴν εἶναι διαγωγὴν ἐπιτήδειον. Ὥσπερ οὖν εἴ τις τὰς ἐξωτέρας αὐλάς τε καὶ μονὰς ἀπαντήσας, εἰ δόξει τοὺς ἔνδον οἴκους κατειληφέναι, πεπλάνηται· οὕτω δὴ καὶ κατὰ τὸ πνευματικὸν ἀκολούθως. Οἱ πρὸς γαστέρα καὶ ὕπνον διαμαχόμενοι, ψαλμοῖς τε καὶ εὐχαῖς διηνεκῶς προσκείμενοι, μὴ νομιζέτωσαν ἤδη τοῦ τέλους καὶ τῆς καταπαύσεως ἐπιβῆναι. Πόθεν; Ἔτι γὰρ αὐτοῖς περὶ τὰ πρόθυρα καὶ τὰς αὐλὰς ἡ ἀναστροφή· οὐχ ἵνα τὴν πορφύραν καὶ τοὺς θησαυροὺς ὑποκεῖσθαι τοὺς βασιλικοὺς ὑπάρχει· κἂν χάριτός τινος πνευματικῆς ἠξιώθησαν· μηδὲ τοῦτο πάλιν αὐτοὺς ἀπατάτω, τοῦ τέλους ἐπιτυχεῖν· ἐρευνᾶν οὖν προσῆκεν, εἰ εὗρεν ἐν τῷ ὀστρακίνῳ τούτῳ σκεύει τὸν θησαυρόν· εἰ ἐνεδύσατο τοῦ Πνεύματος τὴν πορφύραν· εἰ τὸν βασιλέα εἶδε καὶ ἀνεπαύσατο. Καὶ γὰρ οἴου μοι πάλιν τὴν μὲν ψυχὴν βάθος τι ἔχειν καὶ μέλη πολλά, τὴν δὲ ἁμαρτίαν ὑπεισελθοῦσαν τὰ μέλη πάντα, καὶ τὰ νοήματα τῆς καρδίας καταλαβεῖν· εἶτα ἐπιζητήσαντος τοῦ Πνεύματος τὴν χάριν, ἐλθεῖν, καὶ δύο τυχὸν τῆς ψυχῆς μέρη περιλαβεῖν· τὸν οὖν ἀπείρως ἔχοντα, πρὸς τῆς χάριτος ταύτης παρακαλούμενον δόκησις ἔχει, πάντα τὰ μέλη τῆς ψυχῆς κατειλῆφθαι, καὶ τὴν ἁμαρτίαν ὅλως ἐκριζῶσαι, μὴ εἰδότα, ὅτι τὸ πλεῖστον μέρος αὐτῆς ἔτι κατάσχετον ὑπ' ἐκείνης ἐστίν. Ἐνὸν γάρ, ὡς πολλάκις δεδήλωται, καὶ τὴν χάριν ἀδιαλείπτως ἐνεργεῖν, ὃν τρόπον ὀφθαλμὸν ἐν τῷ σώματι, καὶ συνεῖναι τὴν κακίαν ὑποκλέπτουσαν **[936]** τὴν διάνοιαν. Ὁ τοίνυν μὴ διακρίνειν εἰδώς, ὡς μέγα τι κατειληφὼς ἤδη, μέγα τε περὶ ἑαυτοῦ οἴεται, καὶ ὡς τὴν ἐσχάτην κάθαρσιν συνεσχηκὼς τετύφωται· ἔχειν δὲ τὴν ἀλήθειαν συνηγοροῦσαν αὐτῷ, πολλοῦ γε καὶ δεῖ. Ὡς γὰρ ὁ λόγος φθάσας ἐδήλωσε, τέχνη τῷ Σατανᾷ καὶ αὕτη· κατά τινας χρόνους ἑκόντα παραχωρεῖν καὶ τὰ εἰωθότα μὴ ἐνεργεῖν, κατὰ σκοπόν, τοῦ οἴησιν τελειότητος τοῖς ἀσκουμένοις ὑποβαλεῖν· ἀλλὰ μὴ ὁ φυτεύων ἀμπελῶνα παρὰ πόδας λαμβάνῃ καὶ τὸν καρπὸν ἢ ὁ σπείρων τὰ σπέρματα ἐν τῇ γῇ καὶ τὴν συγκομιδὴν εὐθὺς ἐποιήσατο. Τί δέ; Τὸ ἀρτιγενὲς παιδίον ἥψατο παραχρῆμα τῆς τελειότητος; Ἀπόβλεψον εἰς τὸν Ἰησοῦν· ἐκ ποίας δόξης Υἱὸς Θεοῦ καὶ Θεὸς ὢν ὁ Χριστός, εἰς οἷα πάθη, καὶ ἀτιμίαν, καὶ σταυρὸν κατέβη· καὶ πάλιν ὅπως διὰ ταύτην αὐτοῦ τὴν ταπείνωσιν ὑπερήρθη, καὶ ἐν δεξιᾷ τοῦ Πατρὸς ἐκάθισεν. Ὁ δέ γε πονηρὸς ὄφις ἐκ πρώτης τῷ Ἀδὰμ ὑποσπείρας θεότητος ἐπιθυμίαν, εἰς οἵαν αὐτὸν κατήγαγεν ἀτιμίαν διὰ ταύτης δὴ τῆς οἰήσεως. Ταῦτα τοίνυν αὐτὸς ἐννοῶν ἀσφάλιζε σεαυτὸν ὅση δύναμις, καὶ σπούδαζε ταπεινοῦν ἀεὶ τὴν καρδίαν καὶ συντετριμμένην ἔχειν.

ΠΕΡΙ ΕΛΕΥΘΕΡΙΑΣ ΝΟΟΣ ΛΟΓΟΣ

Α΄. Ὅταν ἀκούσῃς, ὅτι κατελθὼν ὁ Χριστὸς εἰς ᾄδου, τὰς κατόχους ἐκεῖ ψυχὰς ἀνερρύσατο, μὴ μακρὰν εἶναι ταῦτα καὶ τῶν νῦν τελουμένων νόμιζε. Οἴου μοι γὰρ μνημεῖον εἶναι τὴν καρδίαν· κἀκεῖ τοὺς λογισμοὺς καὶ τὸν νοῦν κατωρύχθαι βαρεῖ σκότει κατειλημμένους. Ἔρχεται τοιγαροῦν ὁ Κύριος εἰς τὰς ἐν ᾄδου ἐπιβοουμένας αὐτὸν ψυχάς, εἰς τὸ βάθος δηλαδὴ τῆς καρδίας, κἀκεῖ τῷ θανάτῳ ἐγκελευόμενος· Ἀνάπεμπε, λέγει, τὰς ἐγκ[εκ]λεισμένας ψυχάς, τὰς ἐμὲ τὸν ῥύσασθαι δυνάμενον ἐκζητούσας. Εἶτα τὸν βαρὺν λίθον διάρας τὸν τῇ ψυχῇ ἐπικείμενον, τόν τε τάφον ἀνοίγει, καὶ τὸν ἐν ἀληθείᾳ νεκρὸν ἀνιστᾷ, καὶ τῆς **[937]** ἀφεγγοῦς φυλακῆς τὴν ἐγκεκλεισμένην ψυχὴν ἀπαλλάττει.

Β΄. Συμβαίνει, φησί, πολλάκις διαλέγεσθαί σοι καθ' ὑποβολὴν ἐν καρδίᾳ τὸν Σατανᾶν, καὶ «σύνες ὅσα εἴργασαι πονηρὰ» λέγειν· ἀναπέπλησταί σοι ἀνομιῶν ἡ ψυχή, βεβάρησαι πολλαῖς καὶ χαλεπωτάταις ἁμαρτίαις. Μὴ λανθανέτω γοῦν σε τοῦτο ποιῶν, καὶ προσχήματι ταπεινώσεως εἰς ἀπόγνωσιν συνωθῶν. Ἀφ' οὗ γὰρ διὰ τῆς παραβάσεως εἰσέφρησεν ἡ κακία, πάροδον ἔσχε διαλέγεσθαι καθ' ἑκάστην τρόπον τινὰ τῇ ψυχῇ ὡς ἄνθρωπον ἀνθρώπῳ, καὶ ὑποτιθέναι τὰ ἄτοπα. Ἀπόκριναι τοιγαροῦν αὐτῷ σύ. Ἀλλ' ἔχω τὰς τοῦ Θεοῦ διαβεβαιώσεις ἐγγράφους· «Οὐ βούλομαι», λέγοντος, «τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι διὰ μετανοίας καὶ ζῆν αὐτόν»[1]. Τί γὰρ ἐβούλετο αὐτῷ ἡ κάθοδος, εἴ γε μὴ τοὺς ἁμαρτωλοὺς σώσει, καὶ τοὺς ἐν σκότει φωτίσει, καὶ ζωοποιήσει τοὺς τεθανατωμένους;

Γ΄. Ὥσπερ ἡ ἐναντία δύναμις, οὕτω δὴ καὶ ἡ θεία χάρις προτρεπτική, οὐκ ἀναγκαστικὴ δείκνυται οὖσα, ἵν' ὄντως ἡμῖν τὸ ἐλεύθερόν τε καὶ αὐτεξούσιον περισῴζοιτο. Ταύτῃ τοι καὶ ἐφ' οἷς ὁ ἄνθρωπος ἐργάσηται κακοῖς πρὸς τοὺς Σατανᾶ ὑπαγόμενος, οὐχ ὁ Σατανᾶς μᾶλλον, ἀλλ' αὐτὸς ὁ ἄνθρωπος τὴν τιμωρίαν εἰσπράττεται, ὡς μὴ βίᾳ συνελαθείς, ἀλλ' ἰδίῳ θελήματι πεισθεὶς τῇ κακίᾳ. Παραπλησίως δὲ κἀν τῷ ἀγαθῷ· οὐκ ἐπιγράφει τὸ γεγονὸς ἑαυτῇ, ἀλλὰ τῷ ἀνθρώπῳ ἡ χάρις καὶ διὰ τοῦτο δόξαν αὐτῷ περιτίθησιν, ὅτι αὐτὸς ἑαυτῷ τοῦ ἀγαθοῦ γέγονεν αἴτιος. Οὐδὲ γὰρ ἀναγκαστικῇ δυνάμει, ὡς εἴρηται, συνδεσμοῦσα αὐτοῦ τὸ θέλημα, ποιεῖ ἄτρεπτον ἡ χάρις· ἀλλὰ καίτοι συνοῦσα, τῷ αὐτεξουσίῳ παραχωρεῖ, ἵνα δῆλον εἴη τὸ τοῦ αὐτοῦ θέλημα, ὅπως ἔχει πρὸς ἀρετὴν ἢ κακίαν. Κεῖται γὰρ οὐ τῇ φύσει νόμος, ἀλλὰ τῷ αὐτεξουσίῳ τῆς προαιρέσεως, τραπῆναι δυναμένῳ πρὸς τὸ ἀγαθὸν καὶ κακόν.

---

1. Ἰεζ. 33,11.

Δ΄. Φυλάττειν δεῖ τὴν ψυχήν, καὶ ἀνομίλητον συντηρεῖν βεβήλων καὶ πονηρῶν λογισμῶν. Ὥσπερ γὰρ τὸ σῶμα σώματι συνελθὸν ἑτέρῳ, πρὸς ἀκαθαρσίαν μιαίνεται· οὕτω δὴ καὶ ψυχὴ φθείρεται πονηροῖς συνδοιάζουσα καὶ μιαροῖς λογισμοῖς, συνᾴδουσά τε αὐτοῖς καὶ συντιθεμένη· οὐχὶ τοῖς τῆς πονηρίας μόνον, ἀλλὰ καὶ ἑκάστης κακίας· οἷον, ἀπιστίας, δόλου, κενοδοξίας, ὀργῆς, καὶ φθόνου, καὶ ἔριδος. Καὶ τοῦτό ἐστι τὸ καθαίρειν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος[1]. Εἶναι γὰρ οἶου καὶ φθορὰν καὶ πορνείαν ἐν τῷ ἀφανεῖ τῆς ψυχῆς, διὰ λογισμῶν ἀτόπων ἐνεργουμένην· καὶ ὥσπερ τὸν φθείροντα τὸν ναὸν τοῦ Θεοῦ, κατὰ τὸν μέγαν Ἀπόστολον, φθερεῖ τοῦτον ὁ Θεός[2], ὅπερ τὸ σῶμά ἐστιν· οὕτω δὴ καὶ ὁ φθείρων ψυχήν τε καὶ νοῦν, τῷ συντίθεσθαι τοῖς ἀτόποις, τιμωρίας ἐστὶν ὑπεύθυνος. Φυλάττειν τοιγαροῦν προσήκει καθάπερ τὸ σῶμα ὁρατοῦ ἁμαρτήματος, οὕτω καὶ τὴν ψυχὴν λογισμῶν ἀτόπων, ὅτι νύμφη Χριστοῦ ἐστιν. «Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ»[3]· **[940]** καί· «Πάσῃ φυλακῇ τήρει τὴν καρδίαν, τῆς Γραφῆς ἄκουε λεγούσης· ἐκ γὰρ τούτων ἔξοδοι ζωῆς»[4]· καὶ «σκολιοὺς δὲ λογισμοὺς χωρίζειν ἀπὸ Θεοῦ»[5], καὶ πάλιν τῆς θείας διδασκούσης Γραφῆς μάνθανε.

Ε΄. Λόγον ἀπαιτείτω τὴν ἑαυτοῦ ψυχὴν ἕκαστος ἀνακρίνων καὶ βασανίζων, τίσι πρόσκειται· καὶ εἰ μὴ συμφωνοῦσαν συμβαίνει τοῖς τοῦ Θεοῦ νόμοις τὴν καρδίαν ὁρᾶν, πάσῃ δυνάμει καθάπερ τὸ σῶμα, οὕτω δὴ καὶ τὸν νοῦν διατηρεῖν ἄφθορον σπουδαζέτω, καὶ τοῖς πονηροῖς ἀσύνθετον λογισμοῖς. Εἴ γε δὴ βούλοιτο κατὰ τὴν ὑπόσχεσιν τὴν καθαρὰν ἐσοικίσασθαι· ἐνοικῆσαι γὰρ καὶ ἐμπεριπατῆσαι ταῖς καθαραῖς πάντως καὶ φιλοκάλοις ψυχαῖς ἐπήγγελται.

Ϛ΄. Ὥσπερ ὁ τῆς ἰδίας γῆς ἐπιμελέστατος γεωργὸς ἀνανεοῖ ταύτην πρότερον, καὶ τὰς ἀκάνθας περιαιρεῖ, εἶθ' οὕτω καταβάλλει τὰ σπέρματα· οὕτω καὶ τὸν παρὰ Θεοῦ προσδοκῶντα τῆς χάριτος σπόρον λαβεῖν, καθαίρειν πρότερον χρὴ τῆς ἑαυτοῦ καρδίας τὴν γῆν, ἵν' ὁ σπόρος πεσὼν τοῦ Πνεύματος ἐντελεῖς καὶ πολλαπλασίους ἀποδῷ τοὺς καρπούς· ὡς εἰ μὴ τοῦτο γένοιτο πρότερον, καὶ καθάρῃ τις ἑαυτὸν «ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος»[6], σάρξ ἐστιν καὶ ἔτι αἷμα, καὶ μακρὰν ἀφέστηκε τῆς ζωῆς.

Ζ΄. Πανταχόθεν τὰς τοῦ ἐχθροῦ μαγγανείας, τοὺς δόλους τε καὶ τὰς κακουργίας, ὀξύτατα περισκοπεῖν δεῖ. Καὶ γὰρ ὡς τὸ Πνεῦμα τὸ Ἅγιον διὰ Παύλου τὰ πάντα γενέσθαι φησίν, ἵνα τοὺς πάντας κερδήσῃ[7]· οὕτω δὴ καὶ τῇ κακίᾳ γίνεσθαι πάντα διὰ σπουδῆς, ὡς τοὺς πάντας παραπέμψῃ τῇ ἀπωλείᾳ· ἀμέλει τοῖς εὐχομένοις ὡς συνευχόμενος ὑποκρίνεται κατὰ σκοπὸν τοῦ προφάσει εὐχῆς ἐμβαλόντα πρὸς οἴησιν

1. Πρβλ. Β' Κορ. 7,1. 2. Πρβλ. Α' Κορ. 3,17. 3. Β' Κορ. 11,2. 4. Παρμ. 4,23. 5. Σ. Σολ. 1,3. 6. Β' Κορ. 7,1. 7. Πρβλ. Α' Κορ. 9,22.

ἀπατῆσαι· τοῖς νηστεύουσι συννηστεύειν, αὐτοὺς οἰήσει φενακίσαι βουλόμενος· τοῖς ἔχουσι γνῶσιν Γραφῶν ἐπιτηδεύει τὰ ὅμοια, προσχήματι γνώσεως ἐπιποθῶν αὐτοὺς παρακρούσασθαι· τοῖς ἀποκαλύψεων φωτὸς καταξιωθεῖσι, παραπλησίως ἔχειν δοκεῖ. «Μετασχηματίζεται γάρ», φησίν, «ὁ Σατανᾶς, εἰς ἄγγελον φωτός»[1], ἵνα τῇ δοκήσει τοῦ καταλλήλου φωτὸς ἀπατήσας, εἰς ἑαυτὸν ἐπαγάγεται· καὶ ἁπλῶς οὕτω πρὸς πάντα ποικίλλεται καὶ τοῖς πᾶσιν, ἵνα τῷ ὁμοίῳ χειρούμενος εὐλογοφανεῖ προφάσει προξενῇ τὴν ἀπώλειαν· «Λογισμούς», φησί, «καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ»[2]. Ὅρα μέχρι καὶ τίνων ὁ ἀλαζὼν ἐκτείνει τὸ τόλμημα, τῷ βούλεσθαι καὶ τοὺς ἤδη τὸ θεῖον κατ' ἐπίγνωσιν ἀληθείας ἔχοντας κατενεγκεῖν. Ὥστε πάσῃ φυλακῇ τηρεῖν τὴν ἑαυτοῦ καρδίαν χρή, πολλήν τε παρὰ Θεοῦ τὴν σύνεσιν αἰτεῖν, ἵνα δῷ ἡμῖν τὰς τῆς κακίας τέχνας φωρᾶν. Ἐργάζεσθαι δὲ καὶ ἐκπονεῖν τὸν νοῦν ἐν συνέσει καὶ τοὺς λογισμοὺς προσήκει διηνεκῶς, καὶ πρὸς τοῦ Θεοῦ θέλημα καταρτίζειν αὐτούς· οὐκ ἔστι τούτου μεῖζον ἔργον ἢ τιμιώτερον. «Ἐξομολόγησις» γάρ, φησί, «καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ»[3].

[941] Η'. Τῇ φιλοθέῳ ψυχῇ, κἂν πάντα τὰ ἀγαθὰ πράξειεν, οὐδὲν ἑαυτῇ, ἀλλὰ τῷ Θεῷ ἕκαστα ἐπιγράφειν ἔθος. Ταύτῃ τοι καὶ ὁ Θεὸς πάλιν τῇ ὑγιεῖ ταύτης καὶ ὀρθῇ συνέσει καὶ γνώσει προσχών, τοὐναντίον ἐκείνῃ πάντα λογίζεται· καὶ ὡς αὐτῆς καμούσης καὶ παρ' ἑαυτῆς τὸ ὅλον ἐργασαμένης, τὰς ἀντιδόσεις ἐπιμετρεῖ· καίτοι δόξαν αὐτῷ πρὸς κρίσιν ἡμῖν ἐλθεῖν, οὐδὲν πρὸς ἀλήθειαν τῷ ἀνθρώπῳ δίκαιον εὑρεθήσεται· ἐπεὶ καὶ τὰ χρήματα, καὶ τὰ δοκοῦντα πάντα ταυτὶ ἀγαθά, δι' ὧν καὶ εὐποιεῖν ἕκαστος δύναται, ἐκείνου εἰσί, γῆ καὶ πάντα τὰ ἐν αὐτῇ· αὐτὸ τὸ σῶμα, καὶ αὐτὴ ἡ ψυχή· οὐ μὴν ἀλλὰ καὶ αὐτὸ τὸ εἶναι, ἄνθρωπος κατὰ χάριν ἔχει. Τί τοίνυν αὐτῷ λείπεται ἴδιον, ἐφ' ᾧ τὸ οἰηθῆναι ἢ δικαιωθῆναι κατὰ λόγον ἕξει; Πλὴν ἀλλὰ ταύτην ὁ Θεὸς μεγίστην ἐξ ἀνθρώπων δέχεται χάριν, καὶ τοῦτο τῶν προσφερομένων ἐκείνῳ τὸ χαριέστατον, τὸ τὴν ψυχὴν καλῶς ἐπιγνοῦσαν ὅπως ἔχει τὰ ὄντα, πάντα ὅσαπερ ἂν ποιῇ ἀγαθὰ καὶ ὅσα κάμνει διὰ Θεόν, ὅσα τε συνίησι καὶ γινώσκει, αὐτῷ λογίζεσθαι, καὶ αὐτῷ τὸ σύμπαν ἀνατιθέναι.

Θ'. Ὥσπερ Ἰσραὴλ ἕως μὲν εὐαρέστως εἶχε πρὸς τὸν Δεσπότην, καίτοιγε οὐδέποτε μὲν ὡς ἐχρῆν· πλὴν ἀλλ' οὐχ ἕως ἐδόκει ὑγιῆ τινα ποσῶς πρὸς αὐτὸν ἔχειν τὴν πίστιν, στύλος πυρὸς καὶ νεφέλη αὐτοῦ προηγεῖτο[4], θάλασσα δὲ αὐτῷ ὑπεχώρει[5], καὶ μυρίων ἄλλων ἀπέλαυε θαυμασίων· ὁπότε δὲ τῆς πρὸς Θεὸν εὐνοίας ἀφίστατο, τότε καὶ τοῖς ἐχθροῖς παρεδίδοτο, καὶ δουλείαις πικραῖς κατειργάζετο. Οὕτω μοι νόει καὶ ἐπὶ τῆς ψυχῆς· ἢ διὰ τῆς χάριτος τὸν Θεὸν ἐπέγνω, καὶ ἀπὸ ῥύπων μὲν ἐκαθάρθη πολλῶν τὸ πρότερον, εἶτα καὶ χαρίτων ἁγία γέγονε,

1. Β' Κορ. 11,14. 2. Β' Κορ. 10,5. 3. Ψαλ. 110,3. 4. Πρβλ. Ἐξ. 13,21. 5. Πρβλ. Ἐξ. 14,21.

τὴν προσήκουσαν δὲ οὐ φυλάξασα τῷ οὐρανίῳ ἀνδρὶ διὰ τέλους εὔνοιαν, ἐξέπεσε τῆς ζωῆς ἧς μέτοχος ἐγεγόνει. Δυνατὸν γὰρ τῷ ἀντικειμένῳ καὶ τῶν εἰς τὰ τοιαῦτα φθασάντων κατεπαίρεσθαι μέτρα. Ὥστε ἀγωνιστέον ὁπόση δύναμις, καὶ μετὰ φόβου καὶ τρόμου τῆς ἑαυτῶν ζωῆς ἐπιμελητέον, μάλιστα τοῖς ὅσοι τοῦ Πνεύματος τοῦ Χριστοῦ γεγόνασι μέτοχοι, τοῦτο μηδὲ μικρὸν ἢ μέγα δι' ὀλιγωρίαν ποιεῖν, καὶ δι' αὐτὸ τοῦτο τοῦ Κυρίου Πνεῦμα λυπεῖν. Ὥσπερ γὰρ «Χαρὰ γίνεται ἐν τῷ οὐρανῷ», καθά φησιν ἡ Ἀλήθεια, «ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι»[1]· οὕτω καὶ λύπη πάλιν ἐπὶ μιᾷ ψυχῇ τῆς αἰωνίου ζωῆς ἐκπιπτούσῃ.

Ι'. Ὅταν ψυχὴ τῆς χάριτος καταξιωθῇ, τότε δὴ καὶ χρήσιμα ταύτῃ μάλιστα γνῶσις, σύνεσις, καὶ διάκρισις· ἅπερ γοῦν καὶ αὐτὰ Θεὸς δίδωσιν ἐκείνης αἰτούσης, ὥστε εὐαρέστως αὐτὴν διακονῆσαι τῷ Πνεύματι, ὃ καὶ κατηξιώθη, λαβεῖν, μὴ κλεπτομένην ὑπὸ κακίας, μὴ σφαλλομένην δι' ἀγνωσίαν, μὴ τῷ ἀμελεῖν καὶ ἀφόβως ζῆν παρατρεπομένην, καὶ παρὰ τὸ Δεσποτικόν τι διαπραττομένην θέλημα.

[944] ΙΑ'. Ὥσπερ ἡ ἐνέργεια τῶν παθῶν, ὅπερ ἐστὶ τὸ ἐγκόσμιον πνεῦμα τῆς πλάνης, τοῦ σκότους τῆς ἁμαρτίας, ἀνθρώπῳ τοιούτῳ ἂν ἐνοικήσειεν, ὃς διάπλεώς ἐστι φρονήματος σαρκικοῦ· οὕτω πάλιν ἡ ἐνέργειά τε καὶ δύναμις τοῦ φωτεινοῦ Πνεύματος ἀνθρώπῳ τῷ ἁγιασθέντι ἐγκατοικεῖ, καὶ τὸν εἰπόντα· «Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ»[2]; Καὶ αὖθις· «Ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός»[3]· καί· «Ὅσοι δὲ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε»[4]· καὶ ὁ Κύριος· «Ἐλευσόμεθα ἐγώ τε καὶ ὁ Πατήρ μου, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν»[5]. Ταῦτα οὐκ ἀδήλως οὐδ' ἀνεργήτως, ἀλλ' ἐν δυνάμει καὶ ἀληθείᾳ τοῖς καταξιουμένοις ἐγγίνεται. Ὁ μὲν γὰρ νόμος τὸ πρότερον λόγῳ ἀνυποστάτῳ ἐπέστρεφε τοὺς ἀνθρώπους, βαρὺν αὐτοῖς καὶ δυσφόρητον ἐπιτιθεὶς τὸν ζυγόν, καὶ μηδεμίαν εἰδὼς ὀρέγειν βοήθειαν, τοῦτο δὲ παρὰ τὸ μὴ δυνατῶς ἔχειν τὴν τοῦ Πνεύματος δύναμιν παρέχειν. «Τὸ γὰρ ἀδύνατον», φησί, «τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός»[6], καὶ ἑξῆς. Ἀπὸ δὲ τῆς Χριστοῦ παρουσίας, ἡ θύρα τῆς χάριτος τοῖς ἐν ἀληθείᾳ πιστεύσασι διηνοίχθη, δύναμίς τε Θεοῦ καὶ ἐνέργεια Πνεύματος αὐτοῖς χορηγεῖται.

ΙΒ'. Χριστοῦ, τῆς πρώτης καὶ φυσικῆς ἀγαθότητος, τὴν δωρεὰν τοῦ Πνεύματος τοῖς θείοις διαπέμψαντος μαθηταῖς, ἐκεῖθεν ἅπασι τοῖς πιστεύουσιν ἡ θεία δύναμις ἐκείνη ἐπισκιάζουσα, καὶ ταῖς ἐκείνων ἐγκατοικοῦσα ψυχαῖς, ἰᾶτο μὲν τῶν παθῶν τῆς ἁμαρτίας, τοῦ σκότους δὲ καὶ τῆς νεκρώσεως αὐτοὺς ἀπήλλαττε· καὶ γὰρ μέχρι τότε τετραυμάτιστό τε καὶ πεφυλάκιστο ἡ ψυχὴ καὶ τῷ ζόφῳ τῆς ἁμαρτίας κάτοχος ἦν. Ἀμέλει καὶ νῦν ψυχὴ μήπω σύνοικον ἔχειν ἀξιωθεῖσα τὸν Κύριον,

---

1. Λουκ. 15,10. 2. Β' Κορ. 13,3. 3. Γαλ. 2,20. 4. Γαλ. 3,27. 5. Ἰω. 14,23. 6. Ρωμ. 8,3.

μηδὲ τὴν τοῦ ἀγαθοῦ Πνεύματος δύναμιν ἐνεργητικῶς αὐτῇ καὶ κατὰ πᾶσαν δύναμιν καὶ πληροφορίαν ἐπισκηνώσασαν, ἐν τῷ σκότει ἐστίν· οἷς δὲ τοῦ θείου Πνεύματος ἐπεφοίτησε χάρις, καὶ τοῖς βαθυτάτοις τοῦ νοὸς αὐτῶν ἐγκατῴκησε, τούτοις δὴ καὶ ὁ Κύριος ὡς ψυχὴ γίνεται· «Ὁ γὰρ κολλώμενος τῷ Κυρίῳ», ὁ θεῖός φησιν Ἀπόστολος, «εἰς ἓν πνεῦμα ἔσται»[1]· καὶ αὐτὸς δὲ ὁ Κύριος· «Ὥσπερ ἐγὼ καὶ σὺ ἕν ἐσμεν, ἵνα καὶ οὗτοι ἐν ἡμῖν ἓν ὦσιν»[2]. Ὢ ἀγαθότητος καὶ εὐδοκίας ἧς ἔτυχεν ἡ οὕτω πρὸς τῆς κακίας ταπεινωθεῖσα τῶν ἀνθρώπων φύσις! Πλὴν ἀλλ' ἐπεὶ καὶ τῇ μοχθηρίᾳ τῶν παθῶν ἡ ψυχὴ συνοῦσα ἓν ὥσπερ μετ' αὐτῆς ἦν, κἂν ἴδιον εἶχε θέλημα, ἀλλὰ τὸ δοκοῦν αὐτῇ ποιεῖν οὐκ ἐδύνατο. Ὃ καὶ Παῦλός φησιν· «Οὐ γὰρ ὃ θέλω τοῦτο ποιῶ»[3]. Πόσῳ γε μᾶλλον τῆς τοῦ Θεοῦ δυνάμεως τῇ ἁγιασθείσῃ καὶ ἀξίᾳ τούτου γεγενημένῃ ψυχῇ συνελθούσης, εἰς ἓν αὐτῷ ἔσται τὸ τούτου θέλημα; Γίνεται γὰρ ἡ ψυχὴ τότε πρὸς ἀλήθειαν ὡς ψυχὴ τοῦ Κυρίου· τῷ ἑκοντὶ καὶ κατὰ γνώμην ὑπὸ τῆς τοῦ ἀγαθοῦ Πνεύματος δυνάμεως βασιλεύεσθαι, καὶ θελήματι ἰδίῳ μηκέτι αὐτὴν πορεύεσθαι· **[945]** «Τίς γάρ», φησίν, «ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ»[4]; τοῦτ' ἔστι τῆς ἑνωθείσης ψυχῆς τῷ Πνεύματι Ἁγίῳ.

ΙΓ'. Τῷ βουλομένῳ μιμητῇ οὖν γενέσθαι Χριστοῦ, ἵνα καὶ αὐτῷ γένοιτο Υἱῷ Θεοῦ προσαγορευθῆναι, γεννηθέντι ἐκ Πνεύματος, πρὸ τῶν ἄλλων προσήκει τὰς ἀπαντώσας θλίψεις, ἤτοι σωματικὰς νόσους, ἢ τὰς ἐξ ἀνθρώπων ὕβρεις, καὶ τὰ ὀνείδη, πρὸ δὲ καὶ τὰς ἐκ τῶν ἀοράτων ἐπιβουλὰς εὐψύχως καὶ καρτερικῶς ὑποφέρειν. Κατ' οἰκονομίαν γὰρ Θεοῦ τὸ δοκίμιον ταῖς ψυχαῖς τῶν διαφόρων παραχωρεῖται θλίψεων, ἵνα φανεραὶ γένοιντο πάντες αἱ γνησίως ἀγαπῶσαι τὸν Κύριον. Σημεῖον δὲ τοῖς ἐκ παντὸς αἰῶνος πατριάρχαις τε καὶ προφήταις καὶ ἀποστόλοις καὶ μάρτυσι, διὰ τῆς στενοπόρου τῶν πειρασμῶν καὶ τῶν θλίψεων διελθεῖν ὑπῆρξε, καὶ οὕτως εὐαρεστῆσαι Θεῷ· «Τέκνον γάρ», φησὶν ἡ Γραφή, «ἐὰν προσέρχῃ δουλεύειν Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν, εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον»[5]· καὶ ἀλλαχοῦ δέ· «Τὰ ἐπιφερόμενά σοι ὡς ἀγαθὰ πρόσδεξαι, εἰδὼς ὅτι ἄτερ Θεοῦ οὐδὲν γίνεται»[6]. Τῆς ὑπομονῆς τοίνυν καὶ τῆς ἐλπίδος πρὸ παντὸς ἄλλου ψυχῇ τῇ εὐαρεστῆσαι Θεῷ βουλομένῃ ἀντιληπτέον· μία γὰρ καὶ αὐτὴ τῆς κακίας τέχνη, ἀκηδίαν ἡμῖν ἐμβάλλειν ἐν καιρῷ θλίψεως, ἵνα τῆς πρὸς τὸν Κύριον ἀποστήσῃ ἐλπίδος. Οὐδέποτε δὲ Θεὸς ἐπιτρέπει ἐπ' ἐκείνου ἐλπίζουσαν καταπονηθῆναι τοῖς πειρασμοῖς, ὥστε καὶ ἐξαπορηθῆναι «Πιστὸς γάρ», ὁ Ἀπόστολός φησιν, «ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε· ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ὑπενεγκεῖν»[7]. Καὶ ὁ πονηρὸς δὲ οὐχ ὅσον ἐκείνῳ θέλησις λυπεῖ τὴν ψυχήν, ἀλλ' ὅσον αὐτῷ

---

1. Πρβλ. Α' Κορ. 6,17. 2. Ἰω. 17,21-22. 3. Πρβλ. Ρωμ. 7,15. 4. Ρωμ. 8,35. 5. Σ. Σειρ. 2,1-2. 6. Διδαχὴ 3,10. 7. Α' Κορ. 10,13.

ἐφεῖται παρὰ τοῦ Θεοῦ. Εἰ γὰρ ἀνθρώποις οὐκ ἄδηλον, πόσον ἂν ἡμιόνῳ βάρος, πόσον δὲ ὄνῳ, πόσον δὲ καμήλῳ ἀγώγιμον εἴη· ἀλλὰ τὸν φορητὸν ἐπιτίθησι· καὶ τῷ κεραμεῖ δὲ δῆλον πόσον τῷ πυρὶ χρὴ τὰ σκεύη παραδοῦναι χρόνον, ἵνα μήτε πλέον ἐμμείναντα διαρραγῇ, μήτε πάλιν πρὸ τῆς ἀρκούσης πυρώσεως ἐκβληθέντα ἄχρηστα ᾖ· εἰ τοσαύτη περὶ τὸν ἄνθρωπον σύνεσις, οὐχὶ πολλῷ πλέον καὶ ἀπείρως πλέον, ἡ τοῦ Θεοῦ σύνεσις οἶδε πόσον ἑκάστη ψυχῇ τὸν πειρασμὸν δέον ἐπενεχθῆναι, ἵνα δόκιμος γένοιτο καὶ ἐπιτηδεία πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν.

ΙΔ΄. Ὥσπερ τὸ τῆς κανάβεως χρῆμα εἰ μὴ ἐπὶ πολὺ τυπτόμενον διαμείνῃ, οὐκ ἂν γένοιτο χρήσιμον εἰς λεπτοτάτων νημάτων ἐργασίαν, ἀλλ' ὅσῳπερ ἂν τύπτοιτο καὶ ὅσον ξαίνοιτο, τοσοῦτον καθαρώτερόν τε καὶ εὐχρηστότερον γίνεται. Καὶ ὃν τρόπον τὸ νεόπλαστον σκεῦος μὴ πυρὶ βληθέν, χρῆσθαι τοῖς ἀνθρώποις ἀνεπιτήδειον· καὶ ὡς τὸ νήπιον ἔτι πρὸς τὰ τοῦ κόσμου ἔργα ἀδόκιμον· οὔτε γὰρ οἰκοδομεῖν, οὐ φυτεύειν, οὐ σπόρον κατατιθέναι δύναται, οὐχ ἕτερόν τι τῶν τοῦ κόσμου ἔργων ἀνύειν· οὕτω καὶ ψυχαὶ πολλάκις κἂν θείας μετέσχον χάριτος καὶ **[948]** εἶεν ἐμπληροφορούμεναι τῇ γλυκύτητι καὶ τῇ Πνεύματος ἀναπαύσει, διὰ τὴν αὐτῶν νηπιότητα τῇ τοῦ Κυρίου χρηστότητι, ἀλλ' οὖν μήπω δοκιμασθεῖσαι, μηδ' ὑπὸ τῶν πονηρῶν πνευμάτων διαφόροις ἐξετασθεῖσαι θλίψεσιν, ἔτι τῆς νηπιότητος ἔχονται, καί, ἵν' οὕτως εἴπω, οὐδέπω πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν ἐπιτηδείως ἔχουσιν· «Εἰ γὰρ χωρίς ἐστε», φησὶν ὁ θεῖος Ἀπόστολος, «παιδείας ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί»[1]· ὥστε καὶ οἱ πειρασμοὶ καὶ αἱ θλίψεις κατὰ τὸ λυσιτελὲς ἐπάγονται τῷ ἀνθρώπῳ, δοκιμωτέραν οὕτω καὶ στερροτέραν ἐργαζόμεναι τὴν ψυχήν. Καὶ εἴπερ εἰς τέλος ὑπομένοι μετ' ἐλπίδος τῆς πρὸς τὸν Κύριον, ἀμήχανον ἀποτυχεῖν αὐτὴν τῆς ἐπαγγελίας τοῦ Πνεύματος καὶ τῆς ἀπολυτρώσεως τῶν κακίας παθῶν.

ΙΕ΄. Ὥσπερ πολλαῖς βασάνοις διωμιληκότες οἱ μάρτυρες, καὶ θανάτου μέχρι τὰ τῆς καρτερίας ἐπιδειξάμενοι, στεφάνων οὕτω τῆς δόξης γεγόνασιν ἄξιοι· καὶ ὅσῳ πλείοσι καὶ χαλεπωτέροις τοῖς ἐπιπόνοις ἐχρήσαντο, πλείονα καὶ τὴν δόξαν καὶ τὴν πρὸς Θεὸν ἐκτήσαντο παρρησίαν· τὸν αὐτὸν δὴ τρόπον καὶ ψυχαὶ δ αφόροις παραδοθεῖσαι θλίψεσιν ἢ τῷ φαινομένῳ ταῖς ἐξ ἀνθρώπων ἐπερχομέναις ἢ τῷ νοουμένῳ λογισμοῖς ἀτόποις ἐγγινομένοις ἢ νόσοις σωματικαῖς ἀποτικτομέναις, εἰ μέχρι τέλους τὴν ὑπομονὴν διενέγκωσι, τῶν αὐτῶν τοῖς μάρτυσι στεφάνων, καὶ τῆς αὐτῆς ἐπιτεύξονται παρρησίας· ἐπεὶ καὶ τὸ μαρτύριον τῶν θλίψεων, ὅπερ ἐκεῖνοι δι' ἀνθρώπων, οὗτοι διὰ τῶν πονηρίας πνευμάτων ἐκείνοις ἐνεργησάντων ὑπομεμενηκότες εἰσί, καὶ ὅσῳ πλείους καὶ οὗτοι τοῦ ἀντικειμένου θλίψεις ὑπήνεγκαν,

1. Ἑβρ. 12,8.

τοσούτῳ καὶ πλείονα τὴν δόξαν οὐκ εἰς τὸ μέλλον μόνον ἐκ Θεοῦ κομιοῦνται· ἀλλὰ κἀνταῦθα τῆς τοῦ ἀγαθοῦ Πνεύματος ἀξιωθήσονται παρακλήσεως.

ΙϚʹ. Ἐπεὶ τοιαύτη ὡμολόγηται ἡ πρὸς τὴν ζωὴν φέρουσα στενή τε καὶ τεθλιμμένη, καὶ διὰ τοῦτο καὶ ὀλίγους ἔχει τοὺς ταύτην διερχομένους, πᾶσαν τοῦ πονηροῦ πεῖραν διὰ τὴν ἐν οὐρανίοις ἀποκειμένην, ἐλπίδα στερρῶς ὑπομενετέον· ὅσας γὰρ ἂν καὶ ὑπενέγκοιμεν θλίψεις, τί ἀντάξιον ἢ πρὸς τὴν μέλλουσαν ἐπαγγελίαν ἢ πρὸς τὴν ἐντεῦθεν ἐγγινομένην ταῖς ψυχαῖς ὑπὸ τοῦ ἀγαθοῦ Πνεύματος παράκλησιν, ἢ πρὸς τὴν ἀπολύτρωσιν τοῦ σκότους τῶν παθῶν τῆς κακίας ἢ πρὸς τὸ τῶν χρεῶν πλῆθος τῶν ἡμετέρων ἁμαρτιῶν, ἐσοίσομεν; «Οὐ γὰρ ἄξια», φησί, «τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς»[1]. Πάντα γάρ, ὡς εἴρηται, καρτερητέον διὰ τὸν Κύριον, δεῖ, οἷα γενναίους στρατιώτας τοῦ βασιλέως ἡμῶν ὑπεραποθνήσκοντας. Διὰ τί γάρ, ὅτε τῷ κόσμῳ καὶ τοῖς βιοτικοῖς προσείχομεν πράγμασιν, οὐ λυπηροῖς τοιούτοις περιεπίπτομεν, ἀλλὰ νῦν ἐπεὶ προσήλθομεν δουλεῦσαι Θεῷ, τοὺς πολυτρόπους τούτους πειρα- **[949]** σμοὺς ὑπομένομεν; Ὁρᾷς ὅτι διὰ τὸν Χριστὸν αἱ θλίψεις, φθονοῦντος ἡμῖν τοῦ ἀντικειμένου τῆς τῶν ἐλπιζομένων ἀνταποδόσεως, χαύνωσίν τε καὶ ῥαθυμίαν ἐνθέσθαι ταῖς ἡμετέραις βουλομένου ψυχαῖς, ἵνα μὴ εὐαρέστως ζήσαντες τούτων ἀξιωθῶμεν. Πᾶσαι αἱ καθ' ἡμῶν ἐκείνου μηχαναὶ λύονται τῇ τοῦ Χριστοῦ συμμαχίᾳ· καὶ τὸν ὑπερασπιστὴν ἡμῶν καὶ ὑπέρμαχον ἐκεῖνον, ἐνθυμηθῶμεν, ὅτι καὶ αὐτὸς τὸν αἰῶνα τοῦτον οὕτω διώδευσεν, ὀνειδιζόμενος, διωκόμενος, ἐμπαιζόμενος, τέλος καὶ ἀτίμῳ θανάτῳ διὰ σταυροῦ τελειούμενος.

ΙΖʹ. Εἴπερ βουλοίμεθα θλῖψιν ἅπασιν καὶ τοὺς πειρασμοὺς ὑπομένειν ῥᾳδίως, ὁ διὰ Χριστὸν θάνατος ἐπιθυμητὸς ἡμῖν ἔστω, καὶ πρὸ ὀμμάτων διὰ παντός. Τοιοῦτον γὰρ ἡμῖν καὶ ἐπίταγμα, τὸν σταυρὸν αἴροντας αὐτῷ ἀκολουθεῖν· ὅπερ ἐστίν, εὐτρεπεῖς εἶναι καὶ ἑτοίμους πρὸς τὸ ἀποθανεῖν. Ἂν οὕτω δια[τε]θειμένοι ὦμεν, πᾶσαν, ὡς εἴρηται, θλῖψιν ἀφανῆ τε καὶ δήλην κατὰ πολὺ τὸ ῥᾷον ὑπομενοῦμεν. Ὁ γὰρ καὶ ἀποθανεῖν ὑπὲρ Χριστοῦ δι' ἐπιθυμίας ἔχων, σχολῇ γ' ἂν πρὸς τὰ ἐπίπονα καὶ λυπηρὰ δυσχεράναι. Παρὰ τοῦτο γὰρ καὶ βαρείας εἶναι τὰς θλίψεις ἡγούμεθα, παρὰ τὸ μὴ τὸν ὑπὲρ Χριστὸν θάνατον καταθύμιον ἔχειν, μηδὲ πάντοτε Χριστῷ τὴν διάνοιαν ἀναρτᾶν. Ὁ δὲ ἐκεῖνον κληρονομῆσαι ἐπιθυμῶν, καὶ τὰ αὐτοῦ πάθη ζηλοῦν, ὁμοίως ἐπιθυμείτω. Ὥστε οἱ τὸν Κύριον ἀγαπᾶν λέγοντες ἐν τούτῳ φανεροὶ γίνονται, ἐν τῷ πᾶσαν θλῖψιν ἐπερχομένην οὐ γενναίως μόνον, ἀλλὰ καὶ προθύμως διὰ τὴν εἰς αὐτὸν φέρειν ἐλπίδα.

ΙΗʹ. Χρὴ πρότερον τὸν τῷ Χριστῷ προσεληλυθότα, καὶ πρὸς βίαν πρὸς τὸ ἀγαθὸν ἕλκειν ἑαυτόν, οὐκ ἐθελούσης ἡμῶν τῆς καρδίας· «Βιά-

1. Ρωμ. 8,18.

ζεται γάρ», φησὶν ὁ ἀψευδὴς Κύριος, «ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν»[1]· ἀγωνίζεσθαι πάλιν αὐτὸν εἰσελθεῖν διὰ τῆς στενῆς θύρας. Χρὴ τοίνυν, ὡς εἴρηται, καὶ κατὰ τὸ ἀβούλητον ἑαυτοὺς πρὸς τὴν ἀρετὴν συνωθεῖν, πρὸς ἀγάπην μὴ ἔχοντας ἀγάπην, πρὸς πραότητα ταύτης ὄντας ἐν ἀπορίᾳ, πρὸς τὸ συμπαθὲς καὶ φιλάνθρωπον τὴν καρδίαν ἔχειν, πρὸς τὸ ἀνέχεσθαι ἀτιμίας καὶ παροράσεως, καὶ τοῖς ἐξουθενημένοις ἐγκαρτερεῖν· οὕτω ταύτην ἐσχηκότας τὴν ἕξιν πρὸς εὐχήν, μήπω Πνεύματος εὐχὴν κεκτημένους. Ἂν οὕτως ἀγωνιζομένους ὁ Θεὸς ἴδῃ, καὶ ἀναγκαίως ἑαυτούς, ἀντιπραττούσης ὥσπερ ἡμῶν τῆς καρδίας πρὸς τὸ ἀγαθὸν ἕλκοντας, δίδωσιν εὐχὴν ἀληθινήν, δίδωσι σπλάγχνα οἰκτιρμῶν[2], ὑπομονήν, μακροθυμίαν, καὶ ἁπαξαπλῶς πληροῖ πάντων ἡμᾶς τῶν καρπῶν τοῦ Πνεύματος. Εἴ δέ τις καὶ τῶν ἄλλων ἀρετῶν ἐπιδεὴς ὤν, πρὸς μὲν εὐχὴν μόνην εἰ τύχοι καὶ παραβιάζοιτο ἑαυτόν, ὥστε σχεῖν εὐχῆς χάρισμα, πρὸς δέ γε πραότητα, πρὸς ταπεινοφροσύνην τε καὶ ἀγάπην, καὶ πᾶν τὸ εὐγενὲς φῦλον τῶν ἀρετῶν. Ἔτι καὶ πρὸς τὸ βέβαιον εἶναι τὴν πίστιν καὶ τὴν πεποί[952]θησιν εἰς τὸν Χριστόν, ὀλιγώρως ἔχει καὶ ἀμερίμνως· τῷ τοιούτῳ ἐνίοτε μὲν εὐχὴ δίδοται χάριτος ἐκ μέρους ἐν εὐφροσύνῃ καὶ ἀναπαύσει, κατ' ἐκείνου ζήτησιν παρὰ τοῦ ἀγαθοῦ Πνεύματος· ἔρημος δὲ τῶν ἄλλων πάντων μένει καλῶν, τῶν μὴ πρὸς τὴν ἐκείνων κτῆσιν ἀποβιάσασθαι ἑαυτόν, ὥσπερ εἴρηται, μηδὲ δεηθῆναι Χριστόν. Χρὴ γὰρ μὴ πρὸς τὰ εἰρημένα μόνον ἑαυτὸν καὶ ἄκοντα συνωθεῖν, καὶ παρὰ Θεοῦ αἰτεῖν τοῦ λαβεῖν, ἀλλὰ καὶ πρὸς τὸ τὰ μὴ χρήσιμα τῶν ῥημάτων καὶ ὅλως ἀργά, μηδὲ γλώττης ἄξια κρίνειν· διαμελετᾶν δὲ ἀεὶ καὶ στόματι καὶ καρδίᾳ τὰ τοῦ Θεοῦ λόγια· ἔτι πρὸς τὸ μὴ θυμοῦσθαι μηδὲ κραυγῇ χρῆσθαι· «Πᾶσα γάρ», φησί, «πικρία καὶ ὀργὴ καὶ κραυγὴ ἀρθήτω ἀφ' ὑμῶν»[3]. Πρὸς τὸ μὴ καταλαλεῖν τινος, μὴ κρίνειν, μὴ φυσιοῦσθαι, ἵν' οὕτως ἰδὼν ὁ Κύριος ἑαυτόν, ὡς εἴρηται, ἄρχοντα καὶ πρὸς βίαν συνέλκοντα, παράσχῃ πάντως τὸ ἀπονητὶ καὶ ῥᾳδίως ποιεῖν ἃ πρότερον οὐδὲ μετὰ βίας, διὰ τὴν σύνοικον πονηρίαν, ἐνεργεῖν ἐνῆν· καὶ τότε γίνεται αὐτῷ πάντα ταῦτα τὰ τῆς ἀρετῆς ἐπιτηδεύματα ὥσπερ φύσις· ἐπεὶ καὶ τὸ λοιπὸν ὁ Κύριος κατὰ τὴν ἐπαγγελίαν ἐλθὼν καὶ γενόμενος ἐν αὐτῷ, αὐτὸς ὁμοίως ἐν τῷ Κυρίῳ, αὐτὸς ἐν ἐκείνῳ μετὰ πολλῆς εὐπετείας τὰς ἐντολὰς ἐκπληροῖ.

ΙΘ'. Ὁ εἰς εὐχὴν ἀποβιασάμενος ἑαυτόν, ὡς ὁ λόγος φθάσας ἐδήλωσε, πρὸς ταῦτα δὲ πρὸς ταπεινοφροσύνην, πρὸς ἀγάπην, πρὸς πραότητα καὶ τὸν τῶν ἄλλων ἀρετῶν ὁρμαθὸν μὴ ἐκπονῶν ἑαυτὸν μηδὲ βιαζόμενος, τοιούτῳ πέρατι καταντᾷ· ἐνίοτε γὰρ αὐτῷ δεομένῳ καὶ θεία χάρις ἐπιφοιτᾷ· ἐπεὶ καὶ ἀγαθὸς ὢν ὁ Θεὸς ὀρέγει τοῖς αἰτοῦσι φιλανθρωπότερον τὰ αἰτήματα. Μὴ συνεθίσας δὲ ἑαυτόν, μηδὲ ἐντριβῆ καὶ γεγυμνασμένον πρὸς τὰς ἀρετάς, ἃς ἔφημεν, καταστήσας

1. Ματθ. 11,12. 2. Πρβλ. Κολ. 3,12. 3. Πρβλ. Ἐφ. 4,31.

ἢ ἐκπίπτει τῆς χάριτος ἧς ἔλαβε, καὶ ὑψηλοφρονήσας πίπτει ἢ ἐν αὐτῇ ταύτῃ οὐκ ἐπιδίδωσιν, οὐδὲ αὔξει. Ὡς γὰρ φάναι, τὸ κατοικητήριόν τε καὶ ἀνάπαυσις τοῦ ἀγαθοῦ Πνεύματος, ἡ ταπεινοφροσύνη ἐστίν, ἡ ἀγάπη τε καὶ πραότης, καὶ ἀκολούθως αἱ ἅγιαι τοῦ Χριστοῦ ἐντολαί. Ὁ τοίνυν βουλόμενος διὰ πασῶν τούτων εἰς αὔξησιν, καὶ τελείωσιν προελθεῖν, τὴν πρώτην βιαζέσθω ἑαυτόν, ὥσπερ εἴρηται, καὶ φιλονεικοῦσαν ἑαυτοῦ τὴν καρδίαν καὶ ἀντερίζουσαν ἐνδοτικὴν καὶ πειθήνιον τῷ Θεῷ ποιεῖν σπουδαζέτω. Τῷ γὰρ οὕτω βιασαμένῳ πρότερον, καὶ τὸ ἀντιτεῖνον τῆς ψυχῆς ὅλον οἱονεὶ χειρόηθες καταστήσαντι ἔθει τῷ χρηστῷ, κατήκοον ἐκείνῳ ποιησαμένῳ, καὶ μεθ' οὕτως ἐχούσης ψυχῆς, αἰτοῦντι καὶ δεομένῳ, αὔξει καὶ θάλλει ἐν αὐτῷ τὸ δοθὲν ὑπὸ τοῦ Πνεύματος τῆς εὐχῆς χάρισμα τῷ μετρίῳ τοῦ φρονήματος ἐπαναπαυόμενον· ὃ πρὸς τῇ ἀγάπῃ, καὶ τῇ ἀγαπητικῇ πραότητι ἐπεζήτησε· καὶ τότε χαρίζεται αὐτῷ ταῦτα τὸ Πνεῦμα, καὶ διδάσκει ταπεινοφροσύνην τε ἀληθῆ καὶ **[953]** ἀγάπην ἀψευδῆ καὶ πραότητα, ἃ καὶ προβιασάμενος ἐπεζήτησε. Οὕτως οὖν αὐξήσας καὶ τελειωθεὶς κατὰ Κύριον τῆς βασιλείας ἄξιος ἀποδείκνυται. Ὁ γὰρ ταπεινὸς οὐδέποτε πίπτει· ποῦ γὰρ καὶ πεσεῖται ὁ ὑποκάτω πάντων τό γε ἑαυτοῦ ὤν; Ὥστε μεγάλη γε τοὐναντίον ὕψωσις καὶ ἀσφαλὲς ἀξίωμα ἡ ταπεινοφροσύνη.

Κ'. Οἱ πρὸς ἀλήθειαν τὸν Θεὸν ἀγαπήσαντες οὔτε διὰ τὴν βασιλείαν αὐτῷ δουλεύειν προείρηνται, καθάπερ ἐμπορίας χάριν καὶ κέρδους· οὔτε μὴν διὰ τὴν ἀποκειμένην τοῖς ἁμαρτωλοῖς κόλασιν· ἀλλ' ἅτε Θεὸν μόνον αὐτὸν καὶ δημιουργὸν ἴδιον ἠγαπηκότες, καὶ ἀκολουθίᾳ τάξεως ἐπιγνόντες, ὅτι Δεσπότῃ καὶ Κτίστῃ δούλους εὐαρεστεῖν ὀφειλόμενον· οἳ καὶ πολλῇ τῇ συνέσει πρὸς τὰ παραπίπτοντα χρῶνται. Πολλὰ γὰρ τὰ ἐμπόδια τῆς πρὸς Θεὸν τυγχάνει εὐαρεστήσεως· ἐπεὶ μηδὲ πενία μόνον καὶ ἀδοξία, ἀλλὰ καὶ πλοῦτος καὶ τιμὴ ὁμοίως πειρασμοὶ καθίστανται τῇ ψυχῇ· ἐν μέρει δέ πως καὶ ἡ παράκλησις αὐτὴ καὶ ἡ ἄνεσις ἐκείνη ἡ ὑπὸ τῆς χάριτος καταλαμβάνουσα τὴν ψυχήν, εἰ μὴ αἴσθηται ταύτης ἡ καταξιωθεῖσα, καὶ πολλῷ τῷ μετρίῳ καὶ συνετῷ χρήσηται, πολὺ τὸ εὔκολον ἔχει πρὸς τὸ πειρατήριον αὐτῇ μᾶλλον καὶ κώλυμα καταστῆναι· ἅτε κακίας προφάσει τῆσδε τῆς χάριτος ὑπολύειν αὐτῇ τὸν τόνον, χαύνωσίν τε καὶ ὀλιγωρίαν ἐνιέναι μηχανωμένης. Διὸ καὶ αὐτὴ ἡ χάρις εὐλαβοῦς δεῖται πρὸς μετάληψιν καὶ εὐσυνέτου ψυχῆς· ὥστε καὶ τιμῆσαι ταύτην, καὶ ἀξίους τοὺς καρποὺς ἐπιδείξασθαι. Κινδυνεύει τοίνυν οὐ τὰς θλίψεις μόνον, ἀλλὰ καὶ τὰς ἀνέσεις πειρατήριον γίνεσθαι τῇ ψυχῇ· καὶ δι' ἀμφοτέρων γὰρ αἱ ψυχαὶ τῷ κτίσαντι δοκιμάζονται, ἵνα δῆλοι σαφῶς γένωνται τίνες οἱ μὴ κέρδους αἰτίαν θέμενοι τὴν πρὸς ἐκεῖνον ἀγάπην· ἀλλ' αὐτὸν μόνον τὸν πολλῆς τῷ ὄντι καὶ φιλίας καὶ τιμῆς ἄξιον. Ὥσπερ δὲ τῷ ἀμελεῖ, καὶ περὶ τὴν πίστιν ἐνδεεῖ, καὶ τῷ φρονήματι νηπιάζοντι, ἐμπόδιον πρὸς τὴν αἰωνίαν ζωὴν ταῦτα γίνεται· ἤτοι τὰ λυπηρὰ καὶ ἐπίπονα, νόσοι, πενίαι καὶ ἀδοξίαι· τἀναντία, πλοῦτος, δόξα, καὶ οἱ ἐξ ἀνθρώπων

μακαρισμοί, πρὸς δὲ καὶ ὁ ἐν τῷ ἀφανεῖ πλήττων τοῦ πονηροῦ πόλεμος· οὕτω πάλιν ἀντιστρέφων εὑρήσεις, ὅτι τῷ πιστῷ καὶ συνετῷ καὶ γενναίῳ συνεργὰ μᾶλλον πρὸς τὴν τοῦ Θεοῦ καθίσταται βασιλείαν· «Τοῖς γὰρ τὸν Θεὸν ἀγαπῶσι», κατὰ τὸν θεῖον Ἀπόστολον, «πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν»[1]. Δείκνυται οὖν ἐντεῦθεν, ὅτι τὰ ἐν τῷ κόσμῳ πάντα ἐμπόδιον εἶναι νομιζόμενα διαρρήξας, καὶ νικήσας, καὶ ὑπερβὰς ὁ ἀληθῶς φιλόθεος τοῦ θείου μόνου περιέχεται φίλτρου· «Σχοινία γὰρ ἁμαρτωλῶν περιεπλάκησάν μοι», ὁ θεῖός φησι Προφήτης, «καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην»[2].

[956] ΚΑ΄. Ὁ θεῖος ἀπόστολος Παῦλος ἀκριβέστερόν τε καὶ τηλαυγέστερον τὸ ἐντελὲς τοῦ Χριστιανισμοῦ μυστήριον ἑκάστῃ πιστευούσῃ ψυχῇ δεδήλωκε, δι' ἐνεργείας θείας εἰς πεῖραν ἰέναι· ὅπερ ἐστίν, ἡ ἐπουρανίου φωτὸς ἐν ἀποκαλύψει καὶ δυνάμει τοῦ Πνεύματος ἔλλαμψις· ἵνα μή τις τὸν διὰ γνώσεως νοημάτων φωτισμὸν τοῦ Πνεύματος μόνον εἶναι νομίσας, κινδυνεύσῃ δι' ἄγνοιάν τε καὶ ῥᾳθυμίαν τοῦ τελείου τῆς χάριτος ἀποτυχεῖν μυστηρίου. Διὰ τοῦτο καὶ τὸ ὑπόδειγμα τῆς τῷ προσώπῳ Μωσέως περικειμένης τοῦ Πνεύματος δόξης εἰς παράστασιν ὡμολογημένην τῆς γνώσεως ἤνεγκεν· φησὶ γοῦν· «Εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν ἐντετυπωμένη ἐν λίθοις ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ δύνασθαι τοὺς υἱοὺς Ἰσραὴλ ἀτενίσαι εἰς πρόσωπον Μωσέως διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην· πόσῳ μᾶλλον ἡ διακονία τοῦ Πνεύματος ἔσται ἐν δόξῃ! Εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως δόξα, πολλῷ μᾶλλον περισσεύσει ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ· καὶ γὰρ οὐ δεδόξασται τὸ δεδοξασμένον, ἐν τούτῳ μέρει ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. Εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ»[3]. Καταργούμενον εἴρηκε διὰ τὸ θνητῷ σώματι Μωϋσέως περικεῖσθαι τὴν τοῦ φωτὸς δόξαν. Ἐπάγει· «Ἔχοντες οὖν ἐλπίδα πολλῇ παρρησίᾳ χρώμεθα»[4]. Καὶ προβὰς μικρὸν ἔδειξε τὴν ἀθάνατον ἐκείνην τοῦ Πνεύματος ἐν ἀποκαλύψει δόξαν, νῦν ἐν τῷ ἀθανάτῳ τοῦ ἔσω ἀνθρώπου τοῖς ἀξίοις ἀθανάτως τε καὶ ἀκαταργήτως ἐλλάμπεσθαι. Φησὶ γοῦν· «Ἡμεῖς δὲ πάντες, τοῦτ' ἔστιν, οἱ κατὰ τελείαν πίστιν ἐκ τοῦ Πνεύματος γενηθέντες, ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου ἐνοπτριζόμεθα, εἰς αὐτὴν εἰκόνα μεταμορφούμενοι ἀπὸ δόξας εἰς δόξαν καθάπερ ἀπὸ Κυρίου Πνεύματος. Ἀνακεκαλυμμένῳ προσώπῳ»[5], τῷ τῆς ψυχῆς δηλαδή· καὶ ἡνίκα δὲ ἐπιστρέψῃ τις πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα. «Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστι»[6]. Φανερῶς οὖν διὰ τούτων ἀπέδειξε, κάλυμμα σκότους ἐπιβεβηκέσθαι τῇ ψυχῇ, ὅπερ ἀπὸ τῆς τοῦ Ἀδὰμ παραβάσεως χώραν ἔσχε εἰς τὴν ἀνθρωπότητα παραδοῦναι. Νυνὶ δὲ ὑπὸ τῆς τοῦ Πνεύματος ἐλλάμψεως περιαιρεῖσθαι

1. Ρωμ. 8,28. 2. Ψαλ. 118,61. 3. Β' Κορ. 3,7-11. 4. Πρβλ. Β' Κορ. 3,12. 5. Πρβλ. Β' Κορ. 3,18 6. Β' Κορ. 3,17.

τοῦτο τῶν πιστῶν καὶ ἀξίων τῷ ὄντι ψυχῶν· δι' ἣν αἰτίαν καὶ ἡ ἔλευσις ἡ τοῦ Χριστοῦ γεγένηται· εἰς γὰρ τοιαῦτα μέτρα ἁγιότητος φθάσαι τοὺς ἐπ' ἀληθείας πιστεύοντας ηὐδόκησεν ὁ Θεός.

ΚΒ΄. Ἡ τοιαύτη, φησί, τοῦ Πνεύματος ἔλλαμψις, οὐχ οἷον νοημάτων μόνον ἀποκάλυψίς ἐστι καὶ φωτισμὸς χάριτος, ὥσπερ εἴρηται, ἀλλ' ὑποστατικοῦ φωτὸς ἐν ταῖς ψυχαῖς βεβαία καὶ διηνεκὴς ἔλλαμψις. Τὸ γάρ· «Εἰπὼν ἐκ σκότους τὸ φῶς λάμψαι, ὃ ἔλαμψεν ἐν καρδίαις ἡμῶν πρὸς φωτισμὸν τῆς **[957]** γνώσεως τῆς δόξης τοῦ Χριστοῦ»[1]. Καὶ τό· «Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον»[2]. τοῦτ' ἔστιν· ἵνα μὴ λυομένη τῆς σαρκὸς ἡ ψυχὴ ἀποσκοτῆται τῷ τοῦ θανάτου τῆς κακίας καλύμματι· πρὸς δὲ καὶ τό· «Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου ἔτι, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου»[3]. Καὶ τό· «Ἐξαπόστειλον φῶς σου καὶ τὴν ἀλήθειάν σου, αὐτά με ὁδηγήσουσι καὶ ἄξουσιν εἰς ὄρος ἅγιόν σου, καὶ εἰς τὰ σκηνώματά σου»[4]· ἀλλὰ μὴν καὶ τό· «Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου»[5] καὶ τὰ λοιπά, τὴν αὐτὴν ἀκολουθίαν τοῦ σκοποῦ παρίστησιν.

ΚΓ΄. Καὶ τῷ μακαρίῳ δὲ Παύλῳ φησὶ τὸ ἐλλάμψαν ἐν τῇ ὁδῷ φῶς[6], δι' οὗ καὶ εἰς τρίτον οὐρανὸν ἤρται[7], καὶ μυστήριον ἀλαλήτων ἀκουστὴς γίνεται οὐ νοημάτων τις καὶ γνώσεως φωτισμὸς ἦν, ἀλλὰ δυνάμεως τοῦ ἀγαθοῦ Πνεύματος καθ' ὑπόστασιν ἐν τῇ ψυχῇ ἔλλαμψις, οὗ τὴν ὑπερβολὴν τῆς λαμπρότητος οἱ τῆς σαρκὸς ὀφθαλμοὶ μὴ διενεγκόντες ἀπετυφλώθησαν, δι' οὗ πᾶσά τε γνῶσις ἀποκαλύπτεται, καὶ πρὸς ἀλήθειαν Θεὸς τῇ ἀξίᾳ καὶ φιλουμένῃ ψυχῇ γνωρίζεται.

ΚΔ΄. Πᾶσα ψυχὴ διὰ σπουδῆς καὶ πίστεως τέλεον ἐνδύσασθαι τὸν Χριστὸν ἐντεῦθεν κατὰ δύναμίν τε καὶ πληροφορίαν χάριτος καταξιωθεῖσα, καὶ τῷ ἐπουρανίῳ τῆς ἀφθάρτου εἰκόνος φωτὶ ἑνωθεῖσα, καὶ νῦν μὲν μυστηρίων οὐρανίων γνῶσιν ἐν ὑποστάσει μυεῖται πάντων· ἐν δέ γε τῇ μεγάλῃ τῆς ἀναστάσεως ἡμέρᾳ τῇ αὐτῇ ἐπουρανίῳ τῆς δόξης εἰκόνι καὶ τὸ σῶμα ταύτης ἐνδοξασθὲν καὶ ὑπὸ Πνεύματος κατὰ τὸ γεγραμμένον εἰς οὐρανοὺς ἁρπαγὲν[8] καὶ σύμμορφον γενέσθαι τῷ σώματι τῆς δόξης αὐτοῦ καταξιωθὲν[9] καὶ τὴν βασιλείαν αἰώνιόν τε καὶ ἀδιάδοχον καὶ τῷ Χριστῷ σύγκληρον ἕξει.

ΚΕ΄. Ὁπόσον τις ἰδίᾳ σπουδῇ καὶ πίστει Πνεύματος Ἁγίου δόξης κεκοινώνηκεν οὐρανίου, ἔργοις τε ἀγαθοῖς τὴν ψυχὴν διεκόσμησε, τοσοῦτον ἐκείνης τῆς ἡμέρας ἄξιον αὐτοῦ γενήσεται καὶ τὸ σῶμα συνδοξασθῆναι. Ὃ γάρ τις ἔνδον ἀπεθησαύρισε νῦν, τοῦτο πρόεισιν ἔξω τότε· καθάπερ ὁ εἴσω τῶν ξύλων ἐν χειμῶνι καρπός, ἔξω κατὰ τὸν ἔαρος καιρὸν γίνεται· ὥσπερ δὴ καὶ πρότερον ἐδηλώθη. Τῶν μὲν οὖν ἁγίων ἡ θεοειδὴς τοῦ Πνεύματος εἰκὼν ἀπὸ τοῦ νῦν ἔνδον ὥσπερ

---

1. Β' Κορ. 4,6. 2. Ψαλ. 12,4. 3. Ψαλ. 118,18. 4. Πρβλ. Ψαλ. 42,3. 5. Ψαλ. 4,7. 6. Πρβλ. Πράξ. 9,3. 7. Πρβλ. Β' Κορ. 12,2. 8. Πρβλ. Α' Θεσ. 4,17. 9. Πρβλ. Φιλιπ. 3,21.

ἐντυπωθεῖσα, καὶ τὸ σῶμα θεοειδὲς ἔξω καὶ οὐράνιον ἀπεργάσεται· τῶν βεβήλων δὲ καὶ ἁμαρτωλῶν τὸ τοῦ κοσμικοῦ Πνεύματος κάλυμμα περιβαλὸν τὴν ψυχήν, καὶ τῇ τῶν παθῶν εἰδεχθείᾳ σκοτεινόν, οἴμοι, τὸν νοῦν καὶ ἀσχήμονα καταστῆσαν, σκοτεινὸν ἅμα καὶ τὸ σῶμα, καὶ αἰσχύνης ἔμπλεω πάσης ἔξωθεν ἀποδείξεται.

ΚϚʹ. Ὥσπερ κατὰ τὴν παράβασιν τοῦ Ἀδὰμ θάνατον αὐτοῦ καταψηφισαμένης τῆς τοῦ Θεοῦ ἀγαθότητος, τοῦτο πρῶτον μὲν ὑπέστη κατὰ ψυχήν, τῶν νοερῶν αὐτῆς αἰσθητηρίων τῇ στερήσει τῆς ἐπουρα**[960]**νίου καὶ πνευματικῆς ἀπολαύσεως ἀπεσβηκότων αὐτῷ, καὶ νεκρῶν ὥσπερ γεγενημένων· ὕστερον δὲ καὶ ὁ τοῦ σώματος θάνατος μετά γε τριάκοντα ἔτη πρὸς τοῖς ἐννεακοσίοις ἐπεγένετο· οὕτω νῦν διὰ σταυροῦ καὶ θανάτου τοῦ Σωτῆρος τῇ ἀνθρωπότητι καταλλαγεὶς ὁ Θεός, ἀποκαθίστησι τὴν πιστεύσασαν ἐν ἀληθείᾳ ψυχὴν ἔτι ἐν σαρκὶ οὖσαν εἰς τὴν τῶν οὐρανίων φώτων καὶ μυστηρίων ἀπόλαυσιν, καὶ τὰ νοερὰ αὐτῆς αἰσθητήρια τῷ θείῳ πάλιν φωτὶ τῆς χάριτος ὀμματοῖ· ὕστερον δὲ καὶ αὐτῷ τῷ σώματι ἀθάνατόν τε καὶ ἄφθαρτον περιβαλεῖ δόξαν.

ΚΖʹ. Οἱ τοῦ κόσμου τοῦδε μακρὰν γενόμενοι, καὶ σεμνῶς μὲν καὶ φιλαρέτως πολιτευόμενοι· ἔτι δὲ καλύμματι τῶν παθῶν ὑποκείμενοι, ὡς διὰ τῆς τοῦ πρωτοπλάστου παρακοῆς ἔνοχοι κατέστημεν πάντες, τὸ σαρκικόν φημι φρόνημα, ὃ καὶ τῷ Ἀποστόλῳ θάνατος οἰκείως ἐκλήθη[1]· οὗτοι παραπλήσιοί εἰσιν ἀνθρώποις νυκτὸς μὲν βαδίζουσιν, ὑπὸ δὲ τῶν ἄστρων, ἅπερ εἰσὶν αἱ τοῦ Θεοῦ ἐντολαί, καταυγαζομένοις. Οὔπω γὰρ εἰς τέλος τοῦ σκότους ἀπαλλαγεῖσι, καλῶς ἅπαντα κατοπτεύειν αὐτοῖς ἀδύνατον. Οἷς καὶ προσῆκόν ἐστι, πόνῳ καὶ πίστει πολλῇ τῆς ἀρετῆς ἐπιμελουμένοις δεηθῆναι Χριστὸν τὸν ἥλιον δικαιοσύνης ἐπιλάμψαι ταῖς καρδίαις αὐτῶν, ὥστε δυνηθῆναι πάντα πρὸς ἀκρίβειαν ἐπιδεῖν, τήν τε τῶν νοητῶν θηρίων καθ' ἡμῶν ἐπίθεσιν ποικίλην καὶ παντοδαπὴν οὖσαν καὶ τὰ τοῦ ἀφθάρτου κόσμου ἄρρητα τὴν ὄψιν, καὶ τὴν ἡδονὴν ἀπόρρητα κάλλη, ὅν γε δὴ τρόπον καὶ τοῖς ἄκροις τὴν ἀρετήν, καὶ ὧν ἐνεργοῦν ἐν ταῖς καρδίαις νοερὸν φῶς ἔλαμψεν, ἐπίδηλα ταῦτα καὶ καταφανῆ γίνεται· «Τελείων» γάρ, ὡς ὁ μακάριός φησι Παῦλος, «ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένων πρὸς τὴν τοῦ καλοῦ καὶ κακοῦ διάκρισιν»[2]. Ἀλλὰ καὶ ὁ θεῖος Πέτρος φησίν· «Καὶ ὑμεῖς ἔχοντες τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνου φαίνοντι ἐν αὐχμηρῷ τόπῳ ἕως οὗ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν»[3]. Οἱ δὲ πολλοί, οὐδὲν διενηνόχασιν ἐκείνων τῶν ἐν νυκτὶ φωτὸς παντάπασιν ἀπόρων περιπατούντων, καὶ μηδὲ βραχείας ἀπολαυόντων αὐγῆς, ὅπερ ἐστὶ θεῖος λόγος ταῖς ψυχαῖς αὐτῶν ἐπιλάμπειν δυνάμενος, ὡς σχεδὸν μὴ ἀνομοίους εἶναι τυφλοῖς. Οὗτοί εἰσι οἱ ταῖς ὑλικαῖς τὸ

---

1. Πρβλ. Ρωμ. 7,24. 2. Ἑβρ. 5,14. 3. Βʹ Πέτρ. 1,19.

ὅλον περιπλοκαῖς καὶ τοῖς βιοτικοῖς ὄμμασι καταδεδεμένοι, καὶ μήτε θείῳ φόβῳ διακρατούμενοι, μήτε τινὰς τῶν ἀγαθοεργιῶν μετερχόμενοι. Καὶ γὰρ ὅσοι τῶν βιοτικῶν ἀνδρῶν, ὥσπερ λέλεκται, ὑπὸ ἐντολῶν ἁγίων, ὡς ὑπὸ ἄστρων τινῶν διαυγάζονται, πίστει καὶ φόβῳ τῷ τοῦ Θεοῦ προσέχοντες· οὗτοι οὐχὶ καθάπαξ τῷ σκότει περιλαμβάνονται· παρ' ὃ καὶ ἐλπίδα σωτηρίας ἔχειν δύνανται.

ΚΗ'. Ὥσπερ ἐκ διαφόρων ἀφορμῶν τε καὶ ἐπιτηδευμάτων ὁ ἐν τῷ κόσμῳ τοῖς ἀνθρώποις συλλέγεται πλοῦτος· ὁ μὲν ἐξ ἀρχοντικῶν ἀξιωμάτων, ὁ δὲ ἐξ ἐμπορίας, ὁ δὲ ἐκ φιλοπονίας δήπου, καὶ γεωργίας, **[961]** καὶ ἄλλος ἄλλως· τὴν αὐτὴν οἴου μοι καὶ τοῖς πνευματικοῖς εἶναι διάταξιν. Οἱ μὲν γὰρ ἐκ διαφόρων χαρισμάτων, ὡς τὸ τοῦ Ἀποστόλου δηλοῖ· «Ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσαν ἡμῖν διάφορα»[1]. Οἱ δὲ ἐκ διαφόρων τε δικαιωμάτων καὶ ἀρετῶν διὰ μόνον Θεὸν γενομένων, τὸν ἐπουράνιον ἀθροίζουσι πλοῦτον· πλὴν ἀλλ' οὐκ ἄδηλοι καὶ οἱ τὸν χρυσὸν ἀνορύττοντες· οἱ διὰ μακροθυμίας καὶ ὑπομονῆς δηλαδὴ τρέχοντες, καὶ κατὰ μέρος πλουτοῦν τέως τῆς ἀγαθῆς ἐλπίδος ὑπεριδούσης· οὐκ ἄδηλοι δὲ καὶ οἱ καθαπερεὶ μίσθιοι, βλάκες ὄντες καὶ νωχελεῖς· οἱ εὐθέως τὸ ἐμπίπτον ὥσπερ ἐσθίοντες, καὶ μὴ μεθ' ὑπομονῆς τὰ μετὰ χεῖρας ἀνύοντες, ἀεὶ γυμνοί τε καὶ πένητες περιέρχονται. Καὶ γὰρ οὗτοι πρὸς μὲν τὸ λαβεῖν τὴν χάριν ἑτοίμως ἄγαν καὶ θερμῶς ἔχοντες, εὐμετάβλητοι καὶ ἅμα τοῦ ἅψασθαι κορεννύμενοι, ἀψίκοροι δὲ ναρκώδεις περὶ τὸ πονεῖν γνωριζόμενοι, καὶ ἧς ἔτυχον ἀξιωθέντες χάριτος ἀφαιροῦνται. Ἀεί ποτε γὰρ ἡ νωθεία, καὶ ἀμβλεία, καὶ ἠμελημένη προαίρεσις, ἀσύμφωνος ἐν χάριτι, ἔρημος δὲ ἀγαθῶν πράξεων. Ἀδόκιμος δὲ παρὰ Θεῷ καὶ ἄδοξος καὶ νῦν ἔγνωσται, καὶ ἐν ἐκείνῳ τῷ αἰῶνι εὑρεθήσεται.

ΚΘ'. Παραβάντι τῷ ἀνθρώπῳ τὴν ἐντολὴν τοῦ Θεοῦ, καὶ τῆς τοῦ παραδείσου διαγωγῆς ἐκπεσόντι, δυοῖν ὥσπερ ἁλύσεσι δεδέσθαι συνηκολούθησε· μιᾷ μὲν τῶν βιοτικῶν πραγμάτων, καὶ σαρκικῶν ἡδονῶν, πλούτου, δόξης, φιλίας, γυναικός, τέκνων, συγγενείας, πατρίδος κτημάτων, καὶ ἁπλῶς πάντων τῶν φαινομένων, ἀφ' ὧν ὁ τοῦ Θεοῦ λόγος κατ' οἰκείαν ἡμᾶς προαίρεσιν ἀπολύεσθαι κελεύει. Ἑτέρᾳ δὲ ἀδήλῳ, καὶ γὰρ δέδεταί τινι δεσμῷ σκόπου ἡ ψυχὴ πρὸς τῶν τῆς πονηρίας πνευμάτων αὐτῶν, παρ' ὃ μηδὲ δυνατὸν αὐτῇ μήτ' ἀγαπῆσαι Θεόν, μήτε πιστεῦσαι μήτε προσευχῇ χρήσασθαι καθάπερ ἔχει θελήματος. Πάντων γὰρ ἡ ἐναντιότης ἔν τε τοῖς φανεροῖς ἔν τε τοῖς ἀδήλοις ἀπὸ τῆς παραβάσεως τοῦ πρώτου ἀνθρώπου πάντας ἡμᾶς μέτεισι. Ἐπειδὰν οὖν τις ὑπήκοον οὖς τῷ λόγῳ τοῦ Θεοῦ παρασχόμενος, ἀποστῇ μὲν τῶν βιοτικῶν πραγμάτων, ἀποτάξεται δὲ πάσαις ταῖς σαρκικαῖς ἡδοναῖς, τόν τε δὴ τῷ Θεῷ προσεδρεύων, καὶ κατὰ σχολὴν αὐτῷ συγγινόμενος, δύναμιν λαμβάνει πρὸς τὸ μαθεῖν, ὅτι κέκρυ-

1. Ρωμ. 12,6.

πταί τις ἐν ἀδύτοις καρδίας ἄλλη πάλη, καὶ ἄλλος λογισμῶν πόλεμος· καὶ οὕτω παραμένων καὶ τῶν τοῦ Χριστοῦ δεόμενος οἰκτιρμῶν, πίστεως αὐτῷ πολλῆς μετά γε τοῦ ὑπομένειν συνεπομένης· οὐ μὴν ἀλλὰ καὶ τῆς τοῦ Θεοῦ ῥοπῆς συνεφαπτομένης, δύναται τῶν ἔνδον ἀπαλλαγῆναι δεσμῶν τε καὶ φραγμῶν ἐκείνων, καὶ τοῦ σκότους τῶν πνευμάτων τῆς πονηρίας, ἅπερ εἰσὶν αἱ τῶν κεκρυμμένων παθῶν ἐνέργειαι· τοῦτον δὲ τὸν πόλεμον διὰ μὲν χάρι[964]τος Χριστοῦ καὶ δυνάμεως δυνατοὶ γινόμεθα καταργεῖν. Ἀθεεὶ δὲ καὶ δι' ἑαυτοῦ ῥύσασθαί τινα ἑαυτὸν μέχρι τοῦ καὶ τῶν ἐκ τῶν λογισμῶν ἀπηλλάχθαι πάλης, ἀδύνατον· τὸ δὲ ἀντιλέγειν καὶ μὴ συνήδεσθαι, δυνατόν.

Λ'. Εἴ τις τοῖς πράγμασι τοῦ κόσμου τούτου, καὶ τοῖς ποικίλοις ἐνέχοιτο δεσμοῖς, τοῖς τῆς κακίας τε συναπάγοιτο πάθεσι, πολλοῦ γε καὶ δεῖ γινώσκειν, ὡς φθάσαντες ἔφημεν, εἶναί τινα πάλην ἄλλην καὶ πόλεμον ἐν τῷ ἀφανεῖ ἕτερον. Ἀγαπητὸν γὰρ ἵνα λύσας τις ἑαυτὸν πάντων φαινομένων, καὶ τῶν σαρκικῶν ἡδονῶν ἀποστήσας, τῷ Κυρίῳ τε προσεδρεύειν ἀρξάμενος, ἐπιγνῶναι δυνηθῇ, τὴν ἔνδον οἰκουροῦσαν τῶν παθῶν πάλην, καὶ τὸν ἐν ἡμῖν κρυπτὸν πόλεμον. Εἰ γάρ μή, ὡς ἔφημεν, ταῦτα γένηται, οὐ παρ' ὅλης ἡμῶν τῆς ψυχῆς καὶ ὅλος ἐξ ὅλου τις προσεδρεύειν τῷ Θεῷ στέρξειεν, οὐδ' ἐπιγινώσκει τὰ ἀπόρρητα ταῦτα τῆς κακίας πάθη, καὶ τοὺς ἔσω δεσμούς· ἀλλὰ κινδυνεύει τραύματα ἔχων καὶ ἀφανῆ πάθη, περιθάλπων, ὑγιαίνειν οἴεσθαι, καὶ νοεῖν· τῷ δέ γε ἐπιθυμίας καὶ δόξης ὑπεριδόντι, πρῶτον μὲν ἐπιγνῶναι ταῦτα δυνατὸν γίνεται, ἔπειτα δὲ δεηθέντι Χριστοῦ μετὰ πίστεως, καὶ ὅπλα λαβόντι ἐξ οὐρανοῦ τὰ τοῦ Πνεύματος, τὸν θώρακα τῆς δικαιοσύνης, τὴν περικεφαλαίαν τοῦ σωτηρίου, τὸν θυρεὸν τῆς πίστεως καὶ τὴν Πνεύματος μάχαιραν[1] ταῦτα καταπαλαῖσαι.

ΛΑ'. Μυρίαι τῷ ἀντικειμένῳ αἱ μηχαναὶ καθ' ἡμῶν, τῆς εἰς τὸν Χριστὸν ἀγάπης ἀποσπᾶν πειρωμένῳ. Ἢ γὰρ ἔνδον θλίψεις διὰ τῶν τῆς πονηρίας πνευμάτων τῇ ψυχῇ ἐπάγει ἢ λογισμοὺς μιαρούς τε καὶ ἀθεμίτους ταύτης κατασκευάζει, τῶν προτέρων ἁμαρτημάτων τὴν μνήμην ἀνασκαλεύων, ἅτε χαύνωσιν αὐτῇ ἐνθεῖναι βουλόμενος, καὶ λογισμοὺς ἀπογνώσεως ἐμβάλλειν, ὅτι δὲ οὐ δυνατὸν αὐτῇ σωτηρίας τυχεῖν· καὶ ὡς τοὺς λογισμοὺς τούτους παρ' ἑαυτῆς ὅλως τῆς ψυχῆς γεννώσης, καὶ οὐχὶ πνεύματος ἀλλοτρίου κακῶς αὐτοὺς ὑποσπείραντος καὶ βουλομένου λανθάνειν. Ἢ τοίνυν ἐκεῖνα ποιεῖ, ἢ πόνους σωματικοὺς ἐπάγει. Ἢ ὀνειδισμοὺς καὶ θλίψεις τὰς ἐξ ἀνθρώπων ἐπινοεῖ· ἀλλ' ὅσον ὁ πονηρὸς τὰ πεπυρωμένα ταῦτα βέλη καθ' ἡμῶν ἀφίησι, τοσοῦτον ἡμᾶς προσήκει τῆς πρὸς Θεὸν ἐλπίδος μᾶλλον ἐξῆφθαι, ἀκριβῶς εἰδότας, ὅτι τοῦτο αὐτῷ θέλημα· τὸ τὰς ἐρωτικῶς ἐχούσας αὐτοῦ εἰς δοκίμιον δοῦναι ψυχάς, εἰ ἐξ ἀληθείας αὐτὸν ἠγαπήκασι.

ΛΒ'. Χίλια ἔτη τοῦ αἰῶνος τούτου, ἀφθάρτῳ κόσμῳ καὶ αἰῶνι

1. Πρβλ. Ἐφ. 6,14. 17.

παραβαλλόμενα τοιοῦτό τί εἰσιν, ὡς εἴ τις ψάμμον μίαν τῆς ὅλης ψάμμου τῆς θαλάσσης λάβοι. Σκέψαι δέ μοι καὶ τὸν τρόπον τοῦτον· ἔστω γὰρ ἐξεῖναί σοι μόνῳ μὲν γενέσθαι βασιλεῖ πάσης τῆς γῆς· μόνῳ τῶν θησαυρῶν ἁπάντων δεσπόσαι τῆς οἰκουμένης. Θῶμεν δὲ τὴν ἀρχὴν τῆς τῶν ἀνθρώπων εἰς τὸ εἶναι παραγωγῆς ἀρχὴν καί σοι γε[965]νέσθαι τῆς βασιλείας· ὅρον δὲ ταύτης εἶναι τὴν τῶν φαινομένων τούτων καὶ τοῦ κόσμου παντὸς ἀλλοίωσίν τε καὶ μεταποίησιν. Τί οὖν; Αἱρέσεώς σοι δοθείσης, ἤμειψας αὐτὴν τῆς ἀληθινῆς καὶ βεβαίας, καὶ οὐδὲν οὐδόλως ἐχούσης παροδικὸν καὶ λυόμενον; Οὐκ ἂν ἔγωγε φαίην, εἴ σοι τὸ κρίνον εἶχε καὶ καλῶς ἐσκέπτου περὶ τῶν σῶν· «Τί γὰρ κέρδος», φησί, «τῷ ἀνθρώπῳ, εἰ τὸν κόσμον ὅλον κερδήσας, ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ»[1], ἧς οὐδ' εἶναί τι ἀντάλλαγμα μεμαθήκαμεν; Ἐπεὶ καὶ παντὸς τοῦ κόσμου καὶ τῆς κατὰ κόσμον βασιλείας αὐτὴ μόνη καθ' ἑαυτὴν ἡ ψυχὴ τιμιωτέρα πολλῷ, μήτοι γε ἡ τῶν οὐρανῶν βασιλεία· τιμιωτέραν δὲ κατὰ τοῦτο τὴν ψυχὴν εἶναι, φαμέν, καθ' ὃ μὴ ἐπ' οὐδὲν ἄλλο τῶν ὄντων ηὐδόκησεν ὁ Θεὸς τοῦ Πνεύματος τῆς ἰδίας φύσεως ἕνωσιν θέσθαι καὶ κοινωνίαν· οὐκ οὐρανῷ, οὐχ ἡλίῳ, οὐκ ἄστροις, οὐ θαλάττῃ, οὐ γῇ, οὐχ ἑτέρᾳ τινὶ κτίσει τῶν ὁρωμένων, ὅτι μὴ τῷ ἀνθρώπῳ μόνῳ· ᾧ καὶ τῶν κτισμάτων αὐτὸς ἠγάπησε τῶν οἰκείων. Εἰ οὖν τὰ μεγάλα ταυτὶ τοῦ κόσμου, πλοῦτόν φημι τοσόνδε καὶ βασιλείαν τῆς γῆς ἁπάσης ὑφ' ἑνὶ μόνῳ κειμένην, οὐκ ἂν ὀρθῶς κρίναντες τῆς αἰωνίου ἠλλάξαμεν βασιλείας, τί παθόντες οἱ πλείους φαύλων αὐτὴν καὶ τῶν τυχόντων τιμῶνται πραγμάτων· οἷον ἐπιθυμίας τινός, δόξης ὀλίγης, κέρδους μετρίου, καὶ τῶν τοιούτων; Ὅπερ γάρ τις τοῦ αἰῶνος τούτου φιλεῖ, καὶ ᾧ δέδεται, ἐκεῖνο πάντως καὶ τῆς τῶν οὐρανῶν ἀλλάττεται βασιλείας· καὶ τὸ χαλεπώτατον, ὅτι καὶ Θεὸν ἡγεῖται τοῦτο· καθώς που λέλεκται, ὅτι «ᾧ τις ἥττηται, τούτῳ καὶ δεδούλωται»[2]. Χρὴ οὖν ὅλον ὅλῳ δι' ὅλου τῷ Θεῷ προσδραμεῖν, ἀναρτῆσαί τε ἑαυτὸν καὶ σταυρῶσαι ψυχῇ καὶ σώματι διὰ πασῶν πορευόμενον τῶν ἐντολῶν αὐτοῦ τῶν ἁγίων.

ΛΓ΄. Εἶεν· ἄρα δέ σοι καὶ δίκαιόν εἶναι δοκεῖ, τὴν μὲν φθαρτὴν αὐτὴν δόξαν, καὶ τὴν ἐφήμερον βασιλείαν, καὶ ἄλλα ὅσα τοιαῦτα τῶν ἐπικαίρων, πόνων καὶ ἱδρώτων πολλῶν, τοῖς ὀρεγομένοις αὐτῶν περιγίνεσθαι· τὸ δὲ σὺν Χριστῷ ἀπέραντα βασιλεύειν, καὶ τὸ τῶν ἀνεκλαλήτων ἐκείνων ἐπιτυχεῖν ἀγαθῶν, τοῦτο δὲ οὕτως καὶ ῥᾴδιον εἶναι, ὡς πόνων ἐκτὸς καὶ καμάτων κατορθοῦσθαι τῷ βουλομένῳ;

ΛΔ΄. Τίς ἡ οἰκονομία τῆς τοῦ Χριστοῦ παρουσίας ἢ τίς ἡμῶν φύσεως πρὸς ἑαυτὴν ἐπάνοδος καὶ ἀποκατάστασις; Ἀπέδωκε γὰρ τῇ ἀνθρωπίνῃ φύσει τὸ τοῦ πρωτοπλάστου Ἀδὰμ ἀξίωμα, πρὸς δὲ καὶ κληρονομίαν αὐτῷ οὐρανίαν, ὢ θείας καὶ μεγάλης τῷ ὄντι χάριτος τοῦ ἀγαθοῦ Πνεύματος ἐδωρήσατο· ἐξαγαγών τε αὐτὴν ἐκ τῆς φυλα-

1. Ματθ. 16,26. 2. Β΄ Πέτρ. 2,19.

κῆς τοῦ σκότους, δι' ἧς ἐλθόντι καὶ ἐν ᾗ κρούσαντι δυνατὸν ἐντὸς γενέσθαι τῆς βασιλείας· «Αἰτεῖτε» γάρ φησι, «καὶ δοθή[968]σεται ὑμῖν· κρούετε, καὶ ἀνοιγήσεται»[1]. Διὰ ταύτης τῆς θύρας οὐδενὶ τῶν βουλομένων ἄπορον τὴν ἐλευθερίαν τῆς ἑαυτοῦ ψυχῆς ἐφευρεῖν, ἐκείνην τε τοὺς ἰδίους ἀπολαβεῖν λογισμούς, καὶ πλουτῆσαι Χριστὸν σύνοικον, καὶ ὡς νυμφίῳ αὐτῷ κατὰ τὴν κοινωνίαν τοῦ ἀγαθοῦ Πνεύματος χρήσασθαι. Ἴδε ἀγάπην ἄρρητον Δεσπότου πρὸς τὸν ὑπ' αὐτοῦ γενόμενον κατὰ τὴν εἰκόνα τὴν ἑαυτοῦ ἄνθρωπον.

---

1. Ματθ. 7,7.

ΕΥΧΑΙ

Α'. Εὐχὴ τοῦ ἁγίου Μακαρίου.

[445] Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, ὅτι οὐδὲν ἐποίησα ἀγαθὸν ἐνώπιόν σου. Ἀναρῦσαί με ἀπὸ τοῦ Πονηροῦ, καὶ ἀξίωσόν με ἀκατακρίτως ἀνοίγειν τὸ [448] στόμα μου τὸ ἀνάξιον καὶ ἀνυμνεῖν τὸ πανάγιον ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Συγχώρησόν μοι, Κύριε, πᾶν ἄτοπον ὅρμημα τῆς καρδίας μου, «ὁ ἐτάζων καρδίας καὶ νεφρούς»[1]. Σὺ γὰρ γινώσκεις, Δέσποτα τῶν ἁπάντων, ὅτι ἀκούσιά μού εἰσι. Συγχώρησόν μοι ἀναξίως προσερχομένῳ σοι, διότι σὲ ἐπόθησα καὶ ποθῶ. Συγχώρησόν μοι τῷ ἁμαρτωλῷ, τῷ πονηρῷ, τῷ ψεύστῃ, τῷ ἀνυπομονήτῳ, τῷ ὀλιγοψύχῳ, τῷ ἀσυστάτῳ, τῷ ῥαθύμῳ, τῷ ἀμελεῖ τῶν ἁγίων σου ἐντολῶν, τῷ πᾶσαν καὶ παντοίαν ἁμαρτίαν καὶ ἀνομίαν τελέσαντι, πορνείας, μοιχείας, μαλακίας ἐν γῇ, ἐν θαλάσσῃ, καὶ ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Κύριε, ἐνώπιον τῶν ἀλαθήτων σου ὀφθαλμῶν οὐκ ἐπαυσάμην πάντα ἐργάζεσθαι τὰ πονηρὰ καὶ αἰσχρά. Καὶ ἀκμὴν ὁ ἐχθρὸς γαστριμαργίαις καὶ ἡδοναῖς καὶ πονηραῖς ἐπιθυμίαις, δόλοις τε καὶ κενοδοξίαις καὶ βλασφημίαις ἐμπλέκειν με οὐ παύεται. Ἀλλὰ σύ, ὡς μόνος ὢν ἀγαθὸς καὶ ἐλεήμων, βοήθησόν μοι καὶ σῶσόν με ὡς τὸν ἄσωτον, ὡς τὸν τελώνην, ὡς τὴν πόρνην, ὡς τὸν λῃστήν. Ναί, Δέσποτα, φιλάνθρωπε, ὑπεράγαθε, μὴ βδελύξῃ με τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον οἰκέτην σου, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ πάντων σου τῶν ἁγίων.

Β'. Εὐχὴ εἰς τὸν ἅγιον ἄγγελον τὸν ἀπὸ Θεοῦ ταχθέντα σκέπειν καὶ διαφυλάττειν ἡμᾶς.

Ἅγιε ἄγγελε, ὁ ἐφεστὼς τῆς ἀθλίας μου ψυχῆς καὶ ταλαιπώρου μου ζωῆς, μὴ ἐγκαταλίπῃς με τὸν ἁμαρτωλόν, μηδ' ἀποστῇς ἀπ' ἐμοῦ διὰ τὴν ἀκαθαρσίαν μου, μὴ δῷς χώραν τῷ πονηρῷ δαίμονι, κατακυριεῦσαί μου τῇ καταδυναστείᾳ τοῦ θνητοῦ τούτου σώματος. Κράτησον τῆς ἀθλίας καὶ παρειμένης χειρός μου, καὶ ὁδήγησόν με εἰς ὁδὸν σωτηρίας. Ναί, ἅγιε ἄγγελε τοῦ Θεοῦ, ὁ ἐφεστὼς τῆς ἀθλίας μου ψυχῆς καὶ τοῦ σώματος, πάντα μοι συγχώρησον, ὅσα σοι ἔθλιψα πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, καὶ εἴ τι ἥμαρτον τὴν σήμερον ἡμέραν. Σκέπασόν με ἐν τῇ παρούσῃ νυκτὶ καὶ διαφύλαξόν με ἀπὸ πάσης

1. Ψαλ. 7.10.

ἐπηρείας καὶ ἐπιβουλῆς τοῦ ἀντικειμένου, ἵνα μὴ ἔν τινι ἁμαρτήματι παροργίσω τὸν Θεόν. Καὶ πρέσβευε ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον τοῦ ἐπιστηρίξαι με ἐν τῷ φόβῳ αὐτοῦ καὶ ἄξιον ἀναδεῖξαί με δοῦλον τῆς αὐτοῦ ἀγαθότητος. Ἀμήν.

ΑΠΟΦΘΕΓΜΑΤΑ*

Α'

1. Εἰσί τινες τῶν ἀκαθάρτων δαίμονες, οἵτινες ἀεὶ τοῖς ἀναγινώσκουσι προσκαθέζονται καὶ τὸν νοῦν αὐτῶν ἁρπάζειν ἐπιχειροῦσι πολλάκις καὶ ἀπ' αὐτῶν τῶν θείων γραφῶν λαμβάνοντες ἀφορμὰς καὶ εἰς λογισμοὺς πονηροὺς καταλήγοντες· ἔστι δ' ὅτε καὶ παρὰ τὴν συνήθειαν χασμᾶσθαι καταναγκάζοντες, καὶ ὕπνον βαρύτατον ἐπιβάλλοντες πολὺ τοῦ συνήθους ἀλλότριον, ὡς μέν τινες τῶν ἀδελφῶν ἐφαντάσθησαν, κατὰ φυσικὴν ἀντίθεσιν ἄρρητον. Οὕτω δὲ ἐγὼ παρατηρήσας πολλάκις κατέμαθον· ἐφαπτόμενοι τῶν βλεφάρων καὶ ὅλης τῆς κεφαλῆς καὶ ταύτην τῷ οἰκείῳ σώματι καταψύχοντες· ψυχρὰ γὰρ λίαν τὰ τῶν δαιμόνων σώματα, καὶ κρυστάλλῳ **[232]** παρεμφερῆ· ὅθεν καὶ ὡς ὑπὸ σικύας αἰσθανόμεθα τῆς κεφαλῆς ἑλκομένης μετὰ τρισμοῦ. Τοῦτο δὲ ποιοῦσιν, ἵνα τὴν ἐναποκειμένην τῷ κρανίῳ θερμότητα πρὸς ἑαυτοὺς ἐπισπώμενοι ὑπὸ τῆς ὑγρότητος λοιπὸν καὶ ψυχρότητος χαλασθέντα τὰ βλέφαρα περιρρυῇ ταῖς κόραις τῶν ὀφθαλμῶν. Πολλάκις γοῦν ψηλαφήσας κατέλαβον δίκην κρυστάλλου πεπηγότα τὰ βλέφαρα, τὴν δὲ ὄψιν νενεκρωμένην ὅλην καὶ φρίσσουσαν· καίτοι ὁ φυσικὸς ὕπνος θερμαίνειν μὲν τὰ σώματα πέφυκε, καὶ τῶν ὑγιαινόντων τὰς ὄψεις ἀνθηρὰς ἀπεργάζεται· ὡς ἔστι καὶ ἀπ' αὐτῆς τῆς πείρας μαθεῖν· τὰς δὲ παρὰ φύσιν καὶ διατεταμένα χάσμα ποιοῦσι, λεπτύνοντες ἑαυτοὺς καὶ τῶν ἔνδον τοῦ στόματος ἐφαπτόμενοι· ἀλλὰ τοῦτο μὲν ἐγὼ μέχρι τῆς σήμερον οὐκ ἐνόησα, καίτοι πολλάκις αὐτὸ πεπονθώς· τοῦ δὲ ἁγίου Μακαρίου ἤκουσα τοῦτό μοι λελαληκότος καὶ εἰς ἀπόδειξιν φέροντος, τοῦ σφραγίζειν τοὺς χασμωμένους τὸ στόμα, κατὰ ἀρχαίαν παράδοσιν ἄρρητον. Ταῦτα δὲ πάντα πάσχομεν διὰ τὸ μὴ προσέχειν νηφόντως ἡμᾶς τῇ ἀναγνώσει, μηδὲ μεμνῆσθαι, ὅτι λόγια Θεοῦ ζῶντος ἀναγινώσκομεν.

2. Ἠρώτησέ με τὸ σκεῦος τῆς ἐκλογῆς ὁ Αἰγύπτιος γέρων Μακάριος· τί δήποτε μνησικακοῦντες μὲν τοῖς ἀνθρώποις τὴν μνημονευτικὴν δύναμιν τῆς ψυχῆς ἀφανίζομεν, δαίμοσι δὲ μνησικακοῦντες ἀβλαβεῖς διαμένομεν; Κἀμοῦ πρὸς τὴν ἀπόκρισιν ἀπορήσαντος καὶ παρακαλοῦντος τὸν λόγον μαθεῖν· διότι, φησὶν ἐκεῖνος, τὸ μὲν πρότερον παρὰ φύσιν, τὸ δὲ δεύτερον κατὰ φύσιν ἐστὶ τοῦ θυμοῦ.

3. Παρέβαλον κατ' αὐτὴν τὴν σταθερὰν μεσημβρίαν τῷ ἁγίῳ

---

* Κατὰ τὴν ἔκδοσιν J.-P. Migne, Patrologiae Cursus Completus, series Graeca, τόμ. 34, στ. 229-264.

πατρὶ Μακαρίῳ, καὶ λίαν ὑπὸ τῆς δίψης φλεγόμενος ἤτουν ὕδωρ πιεῖν. Ὁ δέ φησιν· ἀρκέσθητι τῇ σκιᾷ· πολλοὶ γὰρ νῦν ὁδοιποροῦντες ἢ πλέοντες καὶ ταύτης ἐστέρηνται. Εἶτα λόγους μου πρὸς αὐτὸν περὶ ἐγκρατείας γυμνάζοντος· θάρσει, φησίν, ὦ τέκνον, ἐν ὅλοις ἔτεσιν εἴκοσιν οὔτε ἄρτου οὔτε ὕδατος οὔτε ὕπνου κόρον εἴληφα· τὸν μὲν γὰρ ἄρτον μου ἤσθιον σταθμῷ, τὸ δὲ ὕδωρ ἔπινον μέτρῳ, τοῖς τοίχοις δὲ ἐμαυτὸν παρακλίνων, μικρόν τι τοῦ ὕπνου μέρος ἀφήρπαζον.

Β'

Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Μακάριον τὸν μέγαν, λέγων περὶ τελειότητος· καὶ ἀποκριθεὶς [233] ὁ γέρων εἶπεν· ἐὰν μὴ κτήσηται ἄνθρωπος ταπείνωσιν μεγάλην τῇ καρδίᾳ αὐτοῦ καὶ τῷ σώματι· καὶ μὴ μετρεῖν ἑαυτὸν ἔν τινι πράγματι· ἀλλὰ μᾶλλον τιθέναι ἑαυτὸν ἐν ταπεινώσει ὑποκάτω τῆς κτίσεως· καὶ τὸ μὴ κρῖναι ὅλως τινα, εἰ μὴ ἑαυτὸν μόνον· καὶ τὸ ὑποφέρειν ὕβριν· καὶ τὸ ἀπορρίπτειν ἀπὸ τῆς καρδίας πᾶσαν κακίαν· καὶ βιάζεσθαι ἑαυτὸν εἶναι μακρόθυμον, χρηστόν, φιλάδελφον, σώφρονα, ἐγκρατῆ· γέγραπται γάρ· «βιαστῶν ἐστι βασιλεία τῶν οὐρανῶν»[1]· καὶ τὸ ὀρθὰ βλέπειν τοῖς ὀφθαλμοῖς καὶ τὸ φυλακὴν ἔχειν τῆς γλώσσης καὶ ἀποστροφὴν πάσης ἀκοῆς ματαίας καὶ ὀλεθρίου· καὶ τὴν τῶν χειρῶν δικαιοσύνην· καὶ τὸ τῆς καρδίας καθαρὸν πρὸς τὸν Θεόν, καὶ τὸ τοῦ σώματος ἄσπιλον· καὶ τὸ ἔχειν τὴν μνήμην τοῦ θανάτου πρὸ ὀφθαλμῶν καθ' ἡμέραν, καὶ ἀποταγὴν τῆς κατὰ πνεῦμα ὀργῆς καὶ κακίας, καὶ ἀποταγὴν τῆς ὕλης, καὶ τῶν κατὰ σάρκα συγγενῶν ἅμα καὶ ἡδονῶν· καὶ ἀποταγὴν τῷ διαβόλῳ καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ· καὶ τὸ ἀδιαλείπτως προσεύχεσθαι· καὶ ἐν παντὶ καιρῷ καὶ τόπῳ καὶ πράγματι καὶ παντὶ ἔργῳ παρεδρεύειν Θεῷ· οὐ δύναται τέλειος εἶναι.

2. Ἀδελφὸς ἠρώτησε γέροντα· ἀββᾶ, πῶς ποιῶ πάντα τὰ πρέποντα ἐν τῷ κελλίῳ μου, καὶ οὐχ εὑρίσκω παράκλησιν ἀπὸ τοῦ Θεοῦ; Λέγει αὐτῷ γέρων· τοῦτό σοι συμβαίνει διὰ τὸ συνδιατρίβειν σε ἀπραγοτέρῳ, καὶ βούλεσθαί σε τὸ θέλημά σου προβῆναι, λέγει ὁ ἀδελφὸς γέροντι· τί οὖν θέλεις ἵνα ποιήσω, πάτερ; λέγει ὁ γέρων, ἄπελθε, κολλήθητι ἀνθρώπῳ φοβουμένῳ τὸν Θεὸν καὶ ταπείνωσον σεαυτὸν αὐτῷ, καὶ ἔκδος τὸ θέλημά σου· καὶ τότε εὑρήσεις παράκλησιν ἀπὸ τοῦ Θεοῦ.

3. Εἶπε γέρων· ὁ εἰσερχόμενος εἰς μυρεψικόν, κἂν μηδὲν ἀγοράσῃ, ἀλλὰ πάντως μεταλαμβάνει τῆς εὐωδίας· οὕτω καὶ ὁ παραβάλλων τοῖς πατράσιν, ἐὰν θελήσῃ ἐργάσασθαι, ὑποδεικνύουσιν αὐτῷ τὴν ὁδὸν τῆς ταπεινώσεως· καὶ τεῖχος αὐτοῦ γίνεται ἐν ταῖς ἐπιδρομαῖς τῶν δαιμόνων.

---

1. Ματθ. 11,12.

4. Εἶπε γέρων· ἐὰν φθάσῃ σοι ἀρρωστία σώματος, μὴ ὀλιγώρει· ἐὰν γὰρ θέλῃ σε ὁ δεσπότης σου κακοῦσθαι τῷ σώματι, σὺ τίς εἶ ὁ δυσχεραίνων; Οὐκ αὐτός σου φροντίζει ἐν πᾶσι; Μὴ παρὲξ αὐτοῦ ζῇς; Ἀνεξικάκει οὖν καὶ παρακάλει αὐτόν, παρασχεῖν σοι συμφέροντα· τοῦτο γάρ ἐστι τὸ θέλημα αὐτοῦ· κάθου μετὰ μακροθυμίας, φάγε ἀγάπην.

5. Εἶπεν ὁ γέρων· φύσει ἐάν ἐστιν ὁ ἄνθρωπος ἀγωνιστής, ἀπαιτεῖ ὁ Θεὸς παρ' αὐτοῦ, ἵνα μὴ ἔχῃ προσπάθειαν ὕλης σωματικῆς ἕως μικρᾶς ῥαφίδος· δύναται γὰρ ἐμποδίσαι αὐτοῦ τὸν λογισμὸν ἐκ τῆς ἀδολεσχίας τοῦ ἱμέρου καὶ τοῦ πένθους.

[236] 6. Εἶπε γέρων· προσευχὴ καὶ λογισμοὶ νήφοντες καὶ σώματος ὑποπιασμός, διὰ πλείονος ἐπιμελείας προσφερόμενα, τὸ κατὰ τῶν παθῶν ἀναδύονται κράτος.

7. Ἠρωτήθη ὁ γέρων· τί ἐστι ξενιτεία; Καὶ εἶπε· [εἰπὲ] οὐκ ἔχω πρᾶγμα· καὶ τοῦτο ποίει ἐν παντὶ καιρῷ καὶ τόπῳ καὶ πράγματι· καὶ αὕτη ἐστὶ ἡ ἀληθὴς ξενιτεία.

8. Εἶπεν ὁ γέρων· ὅτι βίος ἄνευ λόγου πλεῖον ἐνεργεῖν πέφυκεν ἢ λόγος ἄνευ βίου· ὁ μὲν γὰρ σιγῶν ὠφελεῖ· ὁ δὲ καὶ νοῶν ἐνοχλεῖ· εἰ δὲ καὶ λόγος καὶ βίος συνδραμοῦνται εἰς ἕν, φιλοσοφίας ἁπάσης ἀποτελοῦσιν ἄγαλμα.

9. Εἶπε γέρων· μὴ σπεύσῃς κεφαλεῦσαι ἀδελφότητα· ἵνα μὴ ἐπιθήσῃς ἀλλοτρίους φόρτους ἁμαρτημάτων ἐπὶ σῷ τραχήλῳ.

10. Εἶπεν ὁ γέρων· τὸ μετὰ βίας προσεύξασθαι καὶ ὑπομένειν τίκτει τὸ μετὰ χαρᾶς καὶ μετὰ ἀναπαύσεως προσεύξασθαι· καὶ τὸ μὲν μετὰ βίας, τῆς προαιρέσεως, τὸ δὲ μετὰ ἀναπαύσεως, τῆς χάριτος.

Γ'

Περὶ τοῦ ἀββᾶ Μακαρίου τοῦ Αἰγυπτίου.

1. Διηγήσατο περὶ ἑαυτοῦ ὁ ἀββᾶς Μακάριος λέγων· ὅτε ἤμην, νεώτερος καὶ ἐκαθήμην εἰς κελλίον εἰς Αἴγυπτον, ἐκράτησάν με καὶ ἐποίησαν κληρικὸν εἰς τὴν κώμην· καὶ μὴ θέλων καταδέξασθαι, ἔφυγον εἰς ἕτερον τόπον· καὶ ἦλθε πρός με εὐλαβὴς κοσμικὸς καὶ ἐλάμβανε τὸ ἐργόχειρόν μου καὶ διηκόνει μοι· συνέβη δὲ ἀπὸ πειρασμοῦ παρθένον τινὰ εἰς τὴν κώμην ἐκπεσεῖν· καὶ λαβοῦσα κατὰ γαστρὸς ἠρωτᾶτο τίς εἴη ὁ τοῦτο πεποιηκώς; Ἡ δὲ ἔλεγεν· ὁ ἀναχωρητής· καὶ ἐξελθόντες συνέλαβόν με εἰς τὴν κώμην καὶ ἐκρέμασαν ἐν τῷ τραχήλῳ μου ἠσβολωμένας χύτρας καὶ ὠτία κούφων καὶ περι**[237]**επόμπευσάν με ἐν τῇ κώμῃ κατὰ ἄμφοδον, τύπτοντές με καὶ λέγοντες· οὗτος ὁ μοναχὸς ἔφθειρεν ἡμῶν τὴν παρθένον, λάβετε αὐτόν, λάβετε. Καὶ ἔτυψάν με παρὰ μικρὸν τοῦ ἀποθανεῖν. Ἐλθὼν δέ τις τῶν γερόντων εἶπεν· ἕως πότε τύπτετε τὸν ξένον μοναχόν; Ὁ δὲ διακονῶν μοι ἠκολούθει ὀπίσω

μου αἰδούμενος· ἦσαν γὰρ ὑβρίζοντες αὐτὸν πολλὰ καὶ λέγοντες· ἰδοὺ ὁ ἀναχωρητής, ὃν σὺ ἐμαρτύρεις, τί ἐποίησε; Καὶ λέγουσιν οἱ γονεῖς αὐτῆς· οὐκ ἀπολύομεν αὐτόν, ἕως δῷ ἐγγυητὴν τοῦ τρέφειν αὐτήν. Καὶ εἶπον τῷ διακονητῇ μου· καὶ ἐνηγγυήσατό με. Καὶ ἀπελθὼν εἰς τὸ κελλίον μου, ἔδωκα αὐτῷ ὅσα εἶχον σπυρίδια, λέγων· πώλησον καὶ δὸς τῇ γυναικί μου φαγεῖν. Καὶ ἔλεγον τῷ λογισμῷ μου· Μακάριε, ἰδοὺ εὗρες ἑαυτῷ γυναῖκα· χρὴ ἐργάζεσθαι μικρὸν περισσόν, ἵνα τρέφῃς αὐτήν· καὶ εἰργαζόμην νύκτα καὶ ἡμέραν, καὶ ἔπεμπον αὐτῇ. Καὶ ὅτε ἦλθεν ὁ καιρὸς τῇ ἀθλίᾳ τεκεῖν, ἔμεινεν ἐπὶ πολλὰς ἡμέρας βασανιζομένη, καὶ οὐκ ἔτικτε. Καὶ λέγουσιν αὐτῇ· τί ἐστι τοῦτο; Ἡ δὲ εἶπεν· ἐγὼ οἶδα· ὅτι τὸν ἀναχωρητὴν ἐσυκοφάντησα καὶ ψευσαμένη ἠτιασάμην· καὶ οὗτος οὐκ ἔχει πρᾶγμα, ἀλλ' ὁ δεῖνα ὁ νεώτερος. Καὶ ἐλθὼν ὁ διακονῶν μοι χαίρων ἔλεγεν, ὅτι οὐκ ἠδυνήθη τεκεῖν ἡ παρθένος ἐκείνη, ἕως οὗ ὡμολόγησε λέγουσα, ὅτι οὐκ ἔχει πρᾶγμα ὁ ἀναχωρητής, ἀλλ' ἐψευσάμην κατ' αὐτοῦ· καὶ ἰδοὺ πᾶσα ἡ κώμη θέλει ἐλθεῖν ὧδε μετὰ δόξης, καὶ μετανοῆσαί σοι. Ἐγὼ δὲ ἀκούσας ταῦτα, ἵνα μὴ θλίψωσί με οἱ ἄνθρωποι, ἀνέστην καὶ ἔφυγον ὧδε εἰς Σκῆτιν. Αὕτη ἐστὶν ἡ ἀρχὴ τῆς αἰτίας, δι' ἣν ἦλθον ὧδε.

2. Ἦλθέ ποτε Μακάριος ὁ Αἰγύπτιος ἀπὸ Σκήτεως εἰς τὸ ὄρος τῆς Νιτρίας, εἰς τὴν προσφορὰν τοῦ ἀββᾶ Παμβῶ· καὶ λέγουσιν αὐτῷ οἱ γέροντες· εἰπὲ ῥῆμα τοῖς ἀδελφοῖς, πάτερ. Ὁ δὲ εἶπεν· ἐγὼ οὔπω γέγονα μοναχός, ἀλλ' εἶδον μοναχούς· καθημένῳ γάρ μοί ποτε ἐν τῷ κελλίῳ εἰς Σκῆτιν, ὤχλησάν μοι οἱ λογισμοὶ λέγοντες· ἄπελθε εἰς τὴν ἔρημον καὶ ἰδὲ τί βλέπεις ἐκεῖ· ἔμεινα δὲ πολεμῶν τῷ λογισμῷ πέντε ἔτη, λέγων, μήπως ἀπὸ δαιμόνων ἐστίν. Καὶ ὡς ἐπέμενεν ὁ λογισμός, ἀπῆλθον εἰς τὴν ἔρημον· καὶ εὗρον ἐκεῖ λίμνην ὑδάτων καὶ νῆσον ἐν μέσῳ αὐτῆς· καὶ ἦλθον τὰ κτήνη τῆς ἐρήμου πιεῖν ἐξ αὐτῆς· καὶ εἶδον ἐν μέσῳ αὐτῶν δύο ἀνθρώπους γυμνούς· καὶ ἐδειλίασε τὸ σῶμά μου· ἐνόμισα γὰρ ὅτι πνεύματά εἰσιν. Αὐτοὶ δέ με ὡς εἶδον δειλιῶντα, ἐλάλησαν πρός με· μὴ φοβοῦ· καὶ ἡμεῖς ἄνθρωποί ἐσμεν. Καὶ εἶπον αὐτοῖς· πόθεν ἐστὲ καὶ πῶς ἤλθετε εἰς τὴν ἔρημον ταύτην; Καὶ εἶπον· ἀπὸ κοινοβίου ἐσμέν· καὶ γέγονεν ἡμῖν συμφωνία, καὶ ἐξήλθομεν ὧδε· ἰδοὺ τεσσαράκοντα ἔτη. Καὶ ὁ μὲν εἷς Αἰγύπτιος, ὁ δὲ ἕτερος Λιβυκὸς **[240]** ὑπάρχει· καὶ ἐπηρώτησάν με καὶ αὐτοὶ λέγοντες· πῶς ὁ κόσμος; Καὶ εἰ ἔρχεται τὸ ὕδωρ κατὰ καιρὸν αὐτοῦ, καὶ εἰ ἔχει ὁ κόσμος τὴν εὐθηνίαν αὐτοῦ, καὶ εἶπον αὐτοῖς· ναί, κἀγὼ αὐτοὺς ἠρώτησα· πῶς δύναμαι γενέσθαι μοναχός; Καὶ λέγουσί μοι· ἐὰν μὴ ἀποτάξηταί τις πᾶσι τοῖς τοῦ κόσμου, οὐ δύναται γενέσθαι μοναχός· καὶ εἶπον αὐτοῖς· ἐγὼ ἀσθενής εἰμι καὶ οὐ δύναμαι ὡς ὑμεῖς· καὶ εἶπόν μοι καὶ αὐτοί· καὶ ἐὰν οὐ δύνασαι ὡς ἡμεῖς, κάθου εἰς τὸ κελλίον σου, καὶ κλαῦσον τὰς ἁμαρτίας σου· καὶ ἠρώτησα αὐτούς· ὅταν γίνηται χειμών, οὐ ῥιγᾶτε; Καὶ ὅταν γίνηται καῦμα, οὐ καίεται τὰ σώματα ὑμῶν; Οἱ δὲ εἶπον· ὁ Θεὸς ἐποίησεν ἡμῖν τὴν οἰκονομίαν ταύτην· καὶ οὔτε

τῷ χειμῶνι ῥιγῶμεν οὔτε τῷ θέρει τὸ καῦμα ἡμᾶς ἀδικεῖ· διὰ τοῦτο εἶπον ὑμῖν, ὅτι οὔπω γέγονα μοναχός, ἀλλ' εἶδον μοναχούς· συγχωρήσατέ μοι, ἀδελφοί.

3. Ὁ ἀββᾶς Μακάριος ὅτε ᾤκει ἐν τῇ πανερήμῳ· ἦν δὲ μόνος ἐν αὐτῇ ἀναχωρῶν, παρακάτω δὲ ἄλλη ἔρημος ἦν πλειόνων ἀδελφῶν· παρετήρει δὲ ὁ γέρων τὴν ὁδόν, καὶ ὁρᾷ τὸν σατανᾶν, ἀνερχόμενον ἐν σχήματι ἀνθρώπου, παρελθεῖν δι' αὐτοῦ· ἐφαίνετο δὲ ὡς στιχάριον φορῶν λινοῦν τρωγλωτόν· καὶ κατὰ τρυμαλιὰν ἐκρέματο ληκύθιον· καὶ λέγει αὐτῷ ὁ γέρων ὁ μέγας· ποῦ πορεύῃ; Καὶ εἶπεν αὐτῷ· ἀπέρχομαι ὑπομνῆσαι τοὺς ἀδελφούς· ὁ δὲ γέρων εἶπε· καὶ ἵνα τί σοι τὰ ληκύθια ταῦτα; Καὶ εἶπε· γεύματα ἀποφέρω τοῖς ἀδελφοῖς· ὁ δὲ γέρων εἶπε· καὶ ταῦτα ὅλα; Ἀπεκρίθη· ναί· ἐὰν μὴ τὸ ἓν ἀρέσῃ τινί, φέρω ἄλλο· ἐὰν δὲ μηδὲ τοῦτο, διδῶ ἄλλο· πάντως δὲ ἐξ αὐτῶν κἂν ἓν ἀρέσει αὐτῷ. Καὶ ταῦτα εἰπὼν ἀπῆλθεν· ὁ δὲ γέρων ἔμεινε παρατηρούμενος τὰς ὁδοὺς ἕως πάλιν ἐκεῖνος ἐπανῆλθε· καὶ ὡς εἶδεν αὐτὸν ὁ γέρων, λέγει αὐτῷ· σωθείης· ὁ δὲ ἀπεκρίθη· ποῦ ἔνι μοι σωθῆναι; Λέγει αὐτῷ ὁ γέρων· διὰ τί; Ὁ δὲ λέγει· ὅτι πάντες ἄγριοί μοι ἐγένοντο καὶ οὐδείς μου ἀνέχεται. Λέγει αὐτῷ ὁ γέρων· οὐδένα οὖν φίλον ἔχεις ἐκεῖ; Ὁ δὲ ἀπεκρίθη· ναί, ἕνα μοναχὸν ἔχω ἐκεῖ φίλον, καὶ κἂν αὐτός μοι πείθεται· καὶ ὅτε ὁρᾷ με, στρέφεται ὡς ἀνέμη. Λέγει αὐτῷ ὁ γέρων· καὶ τίς καλεῖται ὁ ἀδελφός; Ὁ δὲ λέγει· Θεόπεμπτος. Εἰπὼν δὲ ταῦτα ἀπῆλθεν, καὶ ἀναστὰς ὁ ἀββᾶς Μακάριος ἀπέρχεται ἐπὶ τὴν παρακάτω ἔρημον, καὶ ἀκούσαντες οἱ ἀδελφοί, λαβόντες βαΐα ἐξῆλθον εἰς ἀπάντησιν αὐτοῦ· καὶ λοιπὸν ἕκαστος ηὐτρεπίζετο **[241]** νομίζων, ὅτι παρ' αὐτῷ ἔμελλε καταλύειν ὁ γέρων· ὁ δὲ ἐζήτει, τίς εἴη ὁ καλούμενος Θεόπεμπτος ἐν τῷ ὄρει· καὶ εὑρὼν εἰσῆλθεν εἰς τὸ κελλίον αὐτοῦ· ὁ δὲ Θεόπεμπτος ὑπεδέξατο αὐτὸν χαίρων· ὡς δὲ ἤρξατο ἰδιάζειν αὐτόν, ὁ γέρων λέγει· πῶς τὰ κατὰ σέ, ἀδελφέ; Ὁ δὲ εἶπεν· εὐχαῖς σου, καλῶς· εἶπε δὲ ὁ γέρων· μὴ πολεμοῦσί σε οἱ λογισμοί; Ὁ δὲ εἶπε· τέως καλῶς εἰμι· ᾐδεῖτο γὰρ εἰπεῖν· λέγει αὐτῷ ὁ γέρων· ἰδοὺ πόσα ἔτη ἀσκῶ, καὶ τιμῶμαι παρὰ πάντων, καὶ ἐμοὶ τῷ γέροντι ὀχλεῖ τὸ πνεῦμα τῆς πορνείας. Ἀπεκρίθη λέγων ὁ Θεόπεμπτος· πίστευε, ἀββᾶ, καὶ ἐμοί· ὁ δὲ γέρων προεφασίζετο καὶ ἑτέρους λογισμοὺς πολεμεῖν αὐτῷ, ἕως ποιήσει αὐτὸν ὁμολογῆσαι· εἶτα λέγει αὐτῷ· πῶς νηστεύεις; Ὁ δὲ λέγει αὐτῷ· τὴν ἐνάτην· λέγει αὐτῷ ὁ γέρων· νήστευε ἕως ὀψέ, καὶ ἄσκει· καὶ ἀποστήθιζε τοῦ εὐαγγελίου καὶ τῶν ἄλλων Γραφῶν· καὶ ἐάν σοι ἀναβῇ λογισμός, μηδέποτε προσχῇς κάτω ἀλλὰ πάντοτε ἄνω· καὶ εὐθέως σοι ὁ Κύριος βοηθεῖ· καὶ τυπώσας ὁ γέρων τὸν ἀδελφὸν ἐξῆλθεν εἰς τὴν ἰδίαν ἔρημον· καὶ παρατηρῶν πάλιν ὁρᾷ ἐκεῖνον τὸν δαίμονα καὶ λέγει αὐτῷ· ποῦ πάλιν ἀπέρχῃ; Ὁ δὲ λέγει· ὑπομνῆσαι τοὺς ἀδελφούς, καὶ ἀπῆλθεν· ὡς δὲ πάλιν ἐπανῆλθε, λέγει αὐτῷ ὁ ἅγιος· πῶς οἱ ἀδελφοί; Ὁ δὲ λέγει· κακῶς· ὁ δὲ γέρων λέγει· διά τί; Ὁ δὲ εἶπεν· ἄγριοί εἰσιν ὅλοι· καὶ τὸ μεῖζον κακόν, ὅτι καὶ ὃν εἶχον

φίλον ὑπακούοντά μοι, καὶ αὐτὸς οὐκ οἶδα πόθεν διεστράφη, καὶ οὐδὲ αὐτός μοι πείθεται, ἀλλὰ πάντων ἀγριώτερος ἐγένετο· καὶ ὤμοσα μηκέτι τὰ ἐκεῖ πατῆσαι, εἰ μὴ μετὰ χρόνον· καὶ οὕτως εἰπὼν ἀπῆλθεν ἐάσας τὸν γέροντα· καὶ ὁ ἅγιος εἰσῆλθεν εἰς τὸ κελλίον αὐτοῦ.

4. Παρέβαλεν ὁ ἀββᾶς Μακάριος ὁ μέγας τῷ ἀββᾷ Ἀντωνίῳ εἰς τὸ ὄρος, καὶ κρούσαντος αὐτοῦ τὴν θύραν ἐξῆλθε πρὸς αὐτὸν καὶ εἶπεν αὐτῷ· σύ τίς εἶ; Ὁ δὲ ἔφη· ἐγώ εἰμι Μακάριος· καὶ κλείσας τὴν θύραν εἰσῆλθε καὶ ἀφῆκεν αὐτόν· καὶ ἰδὼν τὴν ὑπομονὴν αὐτοῦ ἤνοιξεν αὐτῷ. Καὶ χαριεντιζόμενος μετ' αὐτοῦ ἔλεγεν· ἀπὸ πολλοῦ χρόνου ἐπεθύμουν σε ἰδεῖν, ἀκούων τὰ περὶ σοῦ· καὶ φιλοξενήσας αὐτὸν ἀνέπαυσεν· ἦν γὰρ ἀπὸ καμάτου πολλοῦ· ὀψίας δὲ γενομένης ἔβρεξεν ἑαυτῷ ὁ ἀββᾶς Ἀντώνιος θαλλία· καὶ λέγει [244] αὐτῷ ὁ ἀββᾶς Μακάριος· κέλευσον, ἵνα κἀγὼ βρέξω ἐμαυτῷ· ὁ δὲ εἶπε· βρέξον. Καὶ ποιήσας δεσμὸν μέγαν ἔβρεξε· καὶ καθήμενοι ἀπὸ ὀψὲ λαλοῦντες περὶ σωτηρίας ψυχῶν ἔπλεκον· καὶ ἡ σειρὰ διὰ τῆς θυρίδος εἰς τὸ σπήλαιον κατέβαινε· καὶ εἰσελθὼν πρωῒ ὁ μακάριος Ἀντώνιος εἶδε τὸ πλῆθος τῆς σειρᾶς τοῦ ἀββᾶ Μακαρίου, καὶ ἔλεγε· πολλὴ δύναμις ἐκ τῶν χειρῶν τούτων ἐξέρχεται.

5. Ἔλεγεν ὁ ἀββᾶς Μακάριος περὶ τῆς ἐρημώσεως τῆς Σκήτεως τοῖς ἀδελφοῖς· ὅταν ἴδητε κελλίον οἰκοδομούμενον ἐγγὺς τοῦ ἕλους, μάθετε ὅτι ἐγγύς ἐστιν ἡ ἐρήμωσις αὐτῆς· ὅταν ἴδητε δένδρα, ἐπὶ θυρῶν ἐστιν· ὅταν δὲ ἴδητε παιδία, ἄρατε τὰ μηλωτάρια ὑμῶν καὶ ἀναχωρήσατε.

6. Ἔλεγε πάλιν, παρηγορῆσαι θέλων τοὺς ἀδελφούς· ἦλθεν ὧδε παιδίον δαιμονιζόμενον μετὰ τῆς μητρὸς αὐτοῦ, καὶ ἔλεγε τῇ μητρὶ αὐτοῦ· ἔγειρε, γραῖα, ἄγωμεν ἔνθεν· ἡ δὲ εἶπεν· οὐ δύναμαι πεζεῦσαι. Καὶ εἶπεν αὐτῇ τὸ παιδίον· ἐγώ σε βαστάζω. Καὶ ἐθαύμασα τὴν πονηρίαν τοῦ δαίμονος, πῶς ἠθέλησεν αὐτοὺς φυγαδεῦσαι.

7. Ἔλεγεν ὁ ἀββᾶς Σισόης· ὅτε ἤμην εἰς Σκῆτιν μετὰ τοῦ Μακαρίου, ἀνέβημεν θερίσαι μετ' αὐτοῦ ἑπτὰ ὀνόματα· καὶ ἰδοὺ μία χήρα καλαμωμένη ἦν ὀπίσω ἡμῶν, καὶ οὐκ ἐπαύετο κλαίουσα· ἐφώνησεν οὖν ὁ γέρων τὸν κύριον τοῦ χωρίου καὶ εἶπεν αὐτῷ· τί ἔχει ἡ γραῦς αὕτη, ὅτι πάντοτε κλαίει; Λέγει αὐτῷ· ὅτι ὁ ἀνὴρ αὐτῆς εἶχε παραθήκην τινός, καὶ ἀπέθανεν ἄφνω, καὶ οὐκ εἶπε ποῦ ἔθηκεν αὐτήν· καὶ θέλει ὁ κύριος τῆς παραθήκης λαβεῖν αὐτὴν καὶ τὰ τέκνα αὐτῆς εἰς δούλους· λέγει αὐτῷ ὁ γέρων· εἰπὲ αὐτῇ, ἵνα ἔλθῃ πρὸς ἡμᾶς, ὅπου ἀναπαυόμεθα τὸ καῦμα· καὶ ἐλθούσης τῆς γυναικὸς εἶπεν αὐτῇ ὁ γέρων· τί πάντα οὕτως κλαίεις; Καὶ εἶπεν· ὁ ἀνήρ μου ἀπέθανε λαβὼν παραθήκην τινός, καὶ οὐκ εἶπεν ἀποθνήσκων, ποῦ ἔθηκεν αὐτήν· καὶ εἶπεν ὁ γέρων πρὸς αὐτήν· δεῦρο, δεῖξόν μοι ποῦ ἔθηκας αὐτόν· καὶ λαβὼν τοὺς ἀδελφοὺς μεθ' ἑαυτοῦ, ἐξῆλθε σὺν αὐτῇ· καὶ ἐλθόντων ἐπὶ τὸν τόπον, εἶπεν αὐτῇ ὁ γέρων· ἀναχώρησον εἰς τὸν οἶκόν σου· καὶ προσευξαμένων αὐτῶν, ἐφώ[245]νησεν ὁ γέρων τὸν νεκρὸν

λέγων· ὁ δεῖνα, ποῦ ἔθηκας τὴν ἀλλοτρίαν παραθήκην; Ὁ δὲ ἀποκριθεὶς εἶπεν· εἰς τὸν οἶκόν μου κέκρυπται ὑπὸ τὸν πόδα τῆς κλίνης· καὶ λέγει αὐτῷ ὁ γέρων· κοιμῶ πάλιν ἕως τῆς ἡμέρας τῆς ἀναστάσεως· ἰδόντες δὲ οἱ ἀδελφοί, ἀπὸ τοῦ φόβου ἔπεσον εἰς τοὺς πόδας αὐτοῦ· καὶ εἶπεν αὐτοῖς ὁ γέρων· οὐ δι' ἐμὲ γέγονε τοῦτο· οὐδὲν γάρ εἰμι· ἀλλὰ διὰ τὴν χήραν καὶ τὰ ὀρφανὰ ὁ Θεὸς ἐποίησε τὸ πρᾶγμα· τοῦτο δέ ἐστι τὸ μέγα, ὅτι ἀναμάρτητον θέλει ὁ Θεὸς τὴν ψυχήν, καὶ εἴ τι ἂν αἰτήσεται, λαμβάνει· ἐλθὼν δὲ ἀνήγγειλε τῇ χήρᾳ ποῦ κεῖται ἡ παραθήκη· ἡ δὲ λαβοῦσα αὐτὴν ἔδωκε τῷ κυρίῳ αὐτῆς, καὶ ἠλευθέρωσε τὰ τέκνα αὐτῆς· καὶ πάντες οἱ ἀκούσαντες ἐδόξασαν τὸν Θεόν.

8. Ἔλεγεν ὁ ἀββᾶς Πέτρος περὶ τοῦ ἁγίου Μακαρίου, ὅτι παραγενόμενός ποτε πρός τινα ἀναχωρητήν, καὶ εὑρὼν αὐτὸν κακούμενον, ἐπυνθάνετο τί βούλοιτο τραφῆναι οὐδενὸς ὄντος ἐν τῷ κελλίῳ αὐτοῦ· καὶ φήσαντος ἐκείνου, πάστιλον, εἰς τὴν Ἀλεξανδρέων πόλιν οὐκ ὤκνησεν ὁ ἀνδρεῖος παραγενέσθαι καὶ δοῦναι τῷ κάμνοντι· καὶ τὸ θαυμαστὸν μηδενὶ κατάδηλον γενόμενον.

9. Εἶπε πάλιν, ὅτι ἐν ἀκακίᾳ τοῦ ἀββᾶ Μακαρίου πολιτευομένου πρὸς πάντας τοὺς ἀδελφούς, ἔφησαν αὐτῷ τινες· διὰ τί οὕτως ἑαυτὸν ποιεῖς; Ὁ δὲ εἶπε· δώδεκα ἔτη ἐδούλευσα τῷ κυρίῳ μου, ἵνα μοι χαρίσηται τὸ χάρισμα τοῦτο, καὶ πάντες μοι συμβουλεύετε ἀποθέσθαι αὐτό;

10. Ἔλεγον περὶ τοῦ ἀββᾶ Μακαρίου, ὅτι εἰ εὐκαίρησε μετὰ ἀδελφῶν, ἐτίθει ἑαυτῷ ὅρον· ὅτι ἐὰν εὑρεθῇ οἶνος, διὰ τοὺς ἀδελφοὺς πίνε, καὶ ἀντὶ ἑνὸς ποτηρίου οἴνου μίαν ἡμέραν μὴ πίῃς ὕδωρ· οἱ οὖν ἀδελφοὶ χάριν ἀναπαύσεως ἐδίδουν αὐτῷ· ὁ δὲ γέρων μετὰ χαρᾶς ἐλάμβανεν, ἵνα ἑαυτὸν βασανίσῃ· ὁ δὲ μαθητής, εἰδὼς τὸ πρᾶγμα, ἔλεγε τοῖς ἀδελφοῖς· διὰ τὸν Κύριον, μὴ δῶτε αὐτῷ· εἰ δὲ μήγε, εἰς τὸ κελλίον μέλλει ἑαυτὸν δαμάζειν· καὶ μαθόντες οἱ ἀδελφοὶ οὐκ ἔτι αὐτῷ παρεῖχον.

11. Παρερχόμενός ποτε ἀπὸ τοῦ ἕλους εἰς τὸ κελλίον ἑαυτοῦ ὁ ἀββᾶς Μακάριος, ἐβάσταζε θαλλία, καὶ ἰδοὺ ὑπήντησεν αὐτῷ ὁ διάβολος κατὰ τὴν ὁδὸν μετὰ δρεπάνου· καὶ ὡς ἠθέλησεν αὐτὸν κροῦσαι, οὐκ ἴσχυσε· καὶ λέγει αὐτῷ· πολλὴ βία ἀπὸ σοῦ, Μακάριε, ὅτι οὐ δύναμαι πρὸς σέ· ἰδοὺ γάρ, εἴ τι ποιεῖς, κἀγὼ ποιῶ· σὺ νηστεύεις· κἀγώ. Ἀγρυπνεῖς· κἀγὼ ὅλως οὐ κοιμῶμαι· ἕν ἐστι μόνον, ἐν ᾧ νικᾷς με. Λέγει αὐτῷ ὁ ἀββᾶς Μακάριος· ποῖον τοῦτο; Ὁ δὲ ἔφη· ἡ ταπείνωσίς σου· καὶ διὰ τοῦτο οὐ δύναμαι πρὸς σέ.

12. Ἠρώτησάν τινες τῶν πατέρων τὸν ἀββᾶν Μακάριον τὸν Αἰγύπτιον, λέγοντες· πῶς ὅτε ἐσθίεις καὶ ὅτε νηστεύεις τὸ σῶμά σου ξηρόν ἐστι; Καὶ λέγει **[248]** αὐτοῖς ὁ γέρων· τὸ ξύλον τὸ στρέφον τὰ καιόμενα φρύγανα δι' ὅλου ἐσθίεται ἐκ τοῦ πυρός· οὕτως ἐὰν καθαρεύσῃ ἄνθρωπος τὸν νοῦν αὐτοῦ ἐν τῷ φόβῳ τοῦ Θεοῦ, αὐτὸς ὁ φόβος τοῦ Θεοῦ κατεσθίει τὸ σῶμα αὐτοῦ.

13. Ἀνέβη ποτὲ ὁ ἀββᾶς ἀπὸ Σκήτεως εἰς Τερενοῦθιν· καὶ εἰσῆλθεν εἰς τὸ ἱερὸν κοιμηθῆναι· ἦσαν δὲ ἐκεῖ σκηνώματα Ἑλλήνων παλαιά. Καὶ λαβὼν ἓν ὑπέθηκε τῇ ἑαυτοῦ κεφαλῇ ὡς ἐμβρίμιον· οἱ οὖν δαίμονες ὁρῶντες αὐτοῦ τὸ θαρσαλέον, ἐφθόνησαν· καὶ θέλοντες αὐτὸν πτοῆσαι, ἐφώνουν ὡς γυναικὸς ὄνομα, λέγοντες· ἡ δεῖνα, δεῦρο μεθ' ἡμῶν εἰς τὸ βαλανεῖον· ὑπήκουσε δὲ ἄλλος δαίμων ὑποκάτωθεν αὐτοῦ ὡς ἐκ τῶν νεκρῶν λέγων· ξένον ἔχω ἐπάνω μου, καὶ οὐ δύναμαι ἐλθεῖν· ὁ δὲ γέρων οὐκ ἐπτοήθη, ἀλλὰ θαρρῶν ἔτυπτε τὸ σκήνωμα λέγων· ἔγειραι, ὕπαγε εἰς τὸ σκότος, εἰ δύνασαι· καὶ τοῦτο ἀκούσαντες οἱ δαίμονες, ἐβόησαν φωνῇ μεγάλῃ λέγοντες· ἐνίκησας ἡμᾶς· καὶ ἔφυγον καταισχυνόμενοι.

14. Ἔλεγον περὶ τοῦ ἀββᾶ Μακαρίου τοῦ Αἰγυπτίου, ὅτι ἀναβαίνων ἀπὸ Σκήτεως, καὶ βαστάζων σπυρίδας, κοπιάσας ἐκαθέσθη· καὶ εὔξατο λέγων· ὁ Θεός, σὺ οἶδας ὅτι οὐκ ἰσχύω· καὶ εὐθέως εὑρέθη ἐπὶ τὸν ποταμόν.

15. Ἦν τις ἔχων υἱὸν παραλυτικὸν ἐν Αἰγύπτῳ· καὶ ἤνεγκεν αὐτὸν εἰς τὸ κελλίον τοῦ ἀββᾶ Μακαρίου καὶ ἀφεὶς αὐτὸν ἐπὶ τὴν θύραν κλαίοντα, ἀνεχώρησε μακράν· παρακύψας οὖν ὁ γέρων εἶδε τὸ παιδίον, καὶ λέγει αὐτῷ· τίς ἤνεγκέ σε ὧδε; Καὶ λέγει· ὁ πατήρ μου ἔρριψέ με ὧδε, καὶ ἀπῆλθε· λέγει αὐτῷ ὁ γέρων· ἀναστὰς κατάλαβε αὐτόν· καὶ εὐθέως ὑγιάνας ἀνέστη, καὶ κατέλαβε τὸν πατέρα αὐτοῦ· καὶ οὕτως ἀπῆλθον εἰς τὸν οἶκον αὐτῶν.

16. Ὁ ἀββᾶς Μακάριος ὁ μέγας ἔλεγε τοῖς ἀδελφοῖς ἐν τῇ Σκήτει, ὡς ἀπέλυε τὴν ἐκκλησίαν· φεύγετε, ἀδελφοί· καὶ εἶπεν αὐτῷ τις τῶν γερόντων· ποῦ ἔχομεν φυγεῖν πλέον τῆς ἐρήμου ταύτης; Ὁ δὲ ἐτίθει τὸν δάκτυλον αὐτοῦ εἰς τὸ στόμα λέγων· τοῦτο φεύγετε· καὶ εἰσήρχετο εἰς τὸ κελλίον ἑαυτοῦ καὶ ἔκλειε τὴν θύραν καὶ ἐκάθητο.

17. Εἶπεν ὁ αὐτὸς ἀββᾶς Μακάριος· ἐάν τινι ἐπιτιμῶν εἰς ὀργὴν κινηθῇς, ἴδιον πάθος πληροῖς· οὐ γὰρ ἵνα ἄλλους σώσῃς, σεαυτὸν ἀπολέσεις.

18. Ὁ αὐτὸς ἀββᾶς Μακάριος ἐν Αἰγύπτῳ ὤν, εὗρεν ἄνθρωπον ἔχοντα κτῆνος καὶ συλοῦντα τὰς χρείας αὐτοῦ· καὶ αὐτὸς ὡς ξένος παραστὰς τῷ συλοῦντι, συνεγέμου τὸ κτῆνος, καὶ μετὰ πολλῆς ἡσυχίας προέπεμπεν αὐτὸν λέγων, ὅτι «οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδὲ ἐξενεγ-[249]κεῖν τι δυνάμεθα»[1]· ὁ Κύριος ἔδωκεν· ὡς αὐτὸς ἠθέλησεν, οὕτως καὶ ἐγένετο· εὐλογητὸς Κύριος ἐπὶ πᾶσιν»[2].

19. Ἠρώτησάν τινες τὸν ἀββᾶν Μακάριον, λέγοντες· πῶς ὀφείλομεν προσεύχεσθαι; Λέγει αὐτοῖς ὁ γέρων· οὐκ ἔστι χρεία βαττολογεῖν, ἀλλ' ἐκτείνειν τὰς χεῖρας καὶ λέγειν· Κύριε, ὡς θέλεις καὶ ὡς οἶδας

1. Α' Τιμ. 6,7. 2. Ἰὼβ 1,21.

ἐλέησον· ἐὰν δὲ ἐπίκειται πόλεμος· Κύριε, βοήθει· καὶ αὐτὸς οἶδε τὰ συμφέροντα, καὶ ποιεῖ μεθ' ἡμῶν ἔλεος.

20. Εἶπεν ὁ ἀββᾶς Μακάριος· εἰ γέγονεν ἐν σοὶ ἡ ἐξουδένωσις ὡς ὁ ἔπαινος, καὶ ἡ πενία ὡς ὁ πλοῦτος, καὶ ἡ ἔνδεια ὡς ἡ δαψίλεια, οὐκ ἀποθνήσκεις· ἀμήχανον γάρ ἐστι τὸν καλῶς πιστεύοντα, καὶ ἐν εὐσεβείᾳ ἐργαζόμενον, ἐμπεσεῖν εἰς ἀκαθαρσίαν παθῶν καὶ δαιμόνων πλάνην.

21. Ἔλεγον, ὅτι ἐσφάλησαν δύο ἀδελφοὶ [εἰς] Σκῆτιν· καὶ ἐχώρισεν αὐτοὺς ὁ ἀββᾶς Μακάριος ὁ πολιτικός· καὶ ἦλθόν τινες, καὶ εἶπον τῷ ἀββᾷ Μακαρίῳ τῷ μεγάλῳ τῷ Αἰγυπτίῳ. Ὁ δὲ εἶπεν· Οὐκ εἰσὶν οἱ ἀδελφοὶ κεχωρισμένοι, ἀλλὰ Μακάριός ἐστι κεχωρισμένος· ἦν γὰρ ἀγαπῶν αὐτόν. Ἤκουσεν ὁ ἀββᾶς Μακάριος, ὅτι ἐχωρίσθη ὑπὸ τοῦ γέροντος, καὶ ἔφυγεν εἰς τὸ ἕλος. Ἐξῆλθεν οὖν ὁ ἀββᾶς Μακάριος ὁ μέγας· καὶ εὑρίσκει αὐτὸν τιτρωσκόμενον ὑπὸ τῶν κωνώπων· καὶ λέγει αὐτῷ· σὺ ἐχώρισας τοὺς ἀδελφούς, καὶ ἰδοὺ εἶχον ἀναχωρῆσαι εἰς τὴν κώμην· ἐγὼ δέ σε ἐχώρισα, καὶ σὺ ὡς καλὴ παρθένος εἰς τὸν ἐσώτερον κοιτῶνα ἔφυγες ὧδε· ἐγὼ καλέσας τοὺς ἀδελφούς, ἔμαθον παρ' αὐτῶν καὶ εἶπον· οὐδὲν τούτων γέγονε· βλέπε οὖν καὶ σύ, ἀδελφέ, μὴ ἀπὸ δαιμόνων ἐχλευάσθης, οὐδὲν γὰρ ἑώρακας· ἀλλὰ βάλε μετάνοιαν ὑπὲρ τοῦ σφάλματός σου. Ὁ δὲ εἶπεν· εἰ θέλεις δός μοι μετάνοιαν· ἰδὼν δὲ ὁ γέρων τὴν ταπείνωσιν αὐτοῦ, ἔλεγεν· ὕπαγε καὶ νήστευσον τρεῖς ἑβδομάδας, κατὰ ἑβδομάδα ἐσθίων· αὕτη γὰρ ἦν ἡ ἐργασία αὐτοῦ πάντοτε, τὰς ἑβδομάδας νηστεύειν.

22. Εἶπεν ὁ ἀββᾶς Μωϋσῆς τῷ ἀββᾷ Μακαρίῳ εἰς Σκῆτιν· θέλω ἡσυχάσαι, καὶ οὐκ ἀφιοῦσί με οἱ ἀδελφοί· καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Μακάριος· θεωρῶ, ὅτι ἡ φύσις σου ἁπαλή ἐστι, καὶ οὐ δύνασαι ἀποστρέψαι ἀδελφόν· ἀλλ' ἐὰν θέλῃς ἡσυχάσαι, ὕπαγε εἰς τὴν ἔρημον ἔσω εἰς τὴν πέτραν, κἀκεῖ ἡσυχάζεις· καὶ τοῦτο ἐποίησε καὶ ἀνεπάη.

23. Ἀδελφὸς παρέβαλε τῷ ἀββᾷ Μακαρίῳ τῷ Αἰγυπτίῳ, καὶ λέγει αὐτῷ· ἀββᾶ, εἰπέ μοι ῥῆμα πῶς σωθῶ· καὶ λέγει ὁ γέρων· ὕπαγε εἰς τὸ μνημεῖον, καὶ ὕβρισον τοὺς νεκρούς· ἀπελθὼν οὖν ὁ ἀδελφὸς ὕβρισε καὶ ἐλίθασε· καὶ ἐλθὼν ἀπήγγειλε τῷ γέροντι καὶ λέγει αὐτῷ· οὐδέν σοι ἐλάλησαν; **[252]** Ὁ δὲ ἔφη· οὐχί. Λέγει αὐτῷ ὁ γέρων· ὕπαγε πάλιν αὔριον, καὶ δόξασον αὐτούς. Ἀπελθὼν οὖν ὁ ἀδελφὸς ἐδόξασεν αὐτοὺς λέγων· ἀπόστολοι, ἅγιοι, καὶ δίκαιοι· καὶ ἦλθε πρὸς τὸν γέροντα, καὶ εἶπεν αὐτῷ· ἐδόξασα· καὶ λέγει αὐτῷ· οὐδέν σοι ἀπεκρίθησαν; Ἔφη ὁ ἀδελφός· οὐχί. Λέγει αὐτῷ ὁ γέρων· οἶδας πόσα ἠτίμασας αὐτούς, καὶ οὐδὲν ἀπεκρίθησαν, καὶ πόσα ἐδόξασας αὐτούς, καὶ οὐδέν σοι ἐλάλησαν. Οὕτως καὶ σύ, ἐὰν θέλῃς σωθῆναι, γενοῦ νεκρός· μήτε τὴν ἀδικίαν τῶν ἀνθρώπων, μήτε τὴν δόξαν αὐτῶν λογίσῃ, ὡς οἱ νεκροί· καὶ δύνασαι σωθῆναι.

24. Παρερχόμενός ποτε ὁ ἀββᾶς Μακάριος μετὰ ἀδελφῶν διὰ τῆς Αἰγύπτου, ἤκουσε παιδίου λέγοντος τῇ μητρὶ αὐτοῦ· ἀμμᾶ, πλούσιός

τις ἀγαπᾷ με, καὶ μισῶ αὐτόν· καὶ πτωχὸς μισεῖ με, καὶ ἀγαπῶ αὐτόν. Καὶ ἀκούσας ὁ ἀββᾶς Μακάριος ἐθαύμασε· καὶ λέγουσιν αὐτῷ οἱ ἀδελφοί· τί ἐστι τὸ ῥῆμα τοῦτο, πάτερ, ὅτι ἐθαύμασας; Καὶ λέγει αὐτοῖς ὁ γέρων· ἀληθῶς ὁ Κύριος ἡμῶν πλούσιός ἐστι καὶ ἀγαπᾷ ἡμᾶς, καὶ οὐ θέλομεν αὐτοῦ ἀκοῦσαι· ὁ δὲ ἐχθρὸς ἡμῶν διάβολος πτωχός ἐστι καὶ μισεῖ ἡμᾶς, καὶ ἀγαπῶμεν αὐτοῦ τὴν ἀκαθαρσίαν.

25. Παρεκάλεσεν ὁ ἀββᾶς Ποιμὴν αὐτὸν μετὰ πολλῶν δακρύων λέγων· εἰπέ μοι ῥῆμα πῶς σωθῶ· ἀποκριθεὶς δὲ ὁ γέρων εἶπεν αὐτῷ· τὸ πρᾶγμα ὃ ζητεῖς, ἀπῆλθε νῦν ἀπὸ τῶν μοναχῶν.

26. Παρέβαλέ ποτε ὁ ἀββᾶς Μακάριος τῷ ἀββᾷ Ἀντωνίῳ· καὶ λαλήσας αὐτῷ ὑπέστρεψεν εἰς Σκῆτιν· καὶ ἦλθον οἱ πατέρες εἰς ἀπάντησιν αὐτοῦ· καὶ ὡς ἐλάλουν, εἶπεν αὐτοῖς ὁ γέρων· ἔφην τῷ ἀββᾷ Ἀντωνίῳ, ὡς οὐκ ἔχομεν προσφορὰν ἐν τῷ τόπῳ ἡμῶν· καὶ ἤρξαντο οἱ πατέρες λαλεῖν περὶ ἄλλων, καὶ οὐκ ἠρώτησαν ἔτι μαθεῖν τὴν ἀπόκρισιν παρὰ τοῦ γέροντος, οὔτε ὁ γέρων αὐτοῖς εἶπε· τοῦτο οὖν ἔλεγέ τις τῶν πατέρων, ὅτι ἐὰν ἴδωσιν οἱ πατέρες ὅτι λανθάνει τοὺς ἀδελφοὺς τὸ ἐρωτῆσαι περὶ πράγματος ὠφελοῦντος αὐτούς, ἀναγκάζουσιν ἑαυτοὺς εἰπεῖν ἀρχὴν τοῦ λόγου· ἐὰν δὲ μὴ ἀναγκασθῶσι παρὰ τῶν ἀδελφῶν, οὐκ ἔτι λαλοῦσι τὸν λόγον· ἵνα μὴ εὑρεθῶσιν ὡς μὴ ἐπερωτώμενοι καὶ λαλοῦντες, καὶ ὡς ἀργολογία εὑρίσκεται.

27. Ἠρώτησεν ὁ ἀββᾶς Ἡσαΐας τὸν ἀββᾶν Μακάριον λέγων· εἰπέ μοι ῥῆμα· καὶ λέγει αὐτῷ ὁ γέρων· φεῦγε τοὺς ἀνθρώπους· ἔλεγεν αὐτῷ ὁ ἀββᾶς Ἡσαΐας· τί ἐστι τὸ φεύγειν τοὺς ἀνθρώπους; Ὁ δὲ γέρων εἶπεν αὐτῷ· τὸ καθίσαι εἰς τὸ κελλίον σου, καὶ κλαῦσαι τὰς ἁμαρτίας σου.

28. Ἔλεγεν ὁ ἀββᾶς Παφνούτιος ὁ μαθητὴς τοῦ ἀββᾶ Μακαρίου, ὅτι παρεκάλεσα τὸν πατέρα μου, λέγων· εἰπέ μοι λόγον· ὁ δὲ ἔφη· μὴ κακοποιήσῃς τινά, μηδὲ κατακρίνῃς τινά· ταῦτα τήρει καὶ σώζῃ.

29. Εἶπεν ὁ ἀββᾶς Μακάριος· μὴ κοιμηθῇς εἰς κελλίον ἀδελφοῦ ἔχοντος κακὴν φήμην.

[253] 30. Παρέβαλόν ποτε τῷ ἀββᾷ Μακαρίῳ ἀδελφοὶ εἰς Σκῆτιν, καὶ οὐχ εὗρον ἐν τῷ κελλίῳ αὐτοῦ οὐδέν, εἰ μὴ ὕδωρ σαπρόν, καὶ λέγουσιν αὐτῷ· ἀββᾶ, δεῦρο ἄνω εἰς τὴν κώμην, καὶ ἀναπαύομέν σε· λέγει αὐτοῖς ὁ γέρων· οἴδατε, ἀδελφοί, τὸ ἀρτοκοπεῖον τοῦ δεῖνος εἰς τὴν κώμην; Καὶ λέγουσιν αὐτῷ· ναί. Λέγει αὐτοῖς ὁ γέρων· κἀγὼ οἶδα αὐτό· οἴδατε καὶ τὸ χωρίον τοῦ δεῖνος ὅπου ὁ ποταμὸς κρούει; Λέγουσιν αὐτῷ· ναί· λέγει αὐτοῖς ὁ γέρων· κἀγὼ οἶδα αὐτό· ὅτε οὖν θέλω, οὐ χρείαν ὑμῶν ἔχω, ἀλλ' ἐμαυτῷ ἀναβάζω.

31. Ἔλεγον περὶ τοῦ ἀββᾶ Μακαρίου, ὅτι εἰ προσήρχετο αὐτῷ ἀδελφὸς ὡς ἁγίῳ γέροντι καὶ μεγάλῳ μετὰ φόβου, οὐδὲν ἐλάλει αὐτῷ· εἰ δὲ ἔλεγεν αὐτῷ τις τῶν ἀδελφῶν ὡς ἐξουθενῶν αὐτόν· ἀββᾶ, ἄρα ὅταν ἦς καμηλίτης καὶ ἔκλεπτες νίτρον καὶ ἐπώλεις αὐτό, οὐκ ἔδερόν σε οἱ τηρηταί; Εἰ ταῦτά τις ἔλεγεν αὐτῷ, ἐλάλει αὐτῷ μετὰ χαρᾶς, εἴ τι αὐτὸν ἠρώτα.

32. Ἔλεγον περὶ τοῦ ἀββᾶ Μακαρίου τοῦ μεγάλου, ὅτι γέγονε, καθώς ἐστι γεγραμμένον, θεὸς ἐπίγειος· ὅτι ὥσπερ ἐστὶν ὁ Θεὸς σκεπάζων τὸν κόσμον, οὕτως γέγονεν ὁ ἀββᾶς Μακάριος σκεπάζων τὰ ἐλαττώματα, ἃ ἔβλεπεν ὡς μὴ βλέπων καὶ ἃ ἤκουεν ὡς μὴ ἀκούων.

33. Διηγήσατο ὁ ἀββᾶς Βιτίμιος, ὅτι ἔλεγεν ὁ ἀββᾶς Μακάριος καθημένου μού ποτε εἰς Σκῆτιν, κατέβησαν δύο νεώτεροι ξενικοὶ ἐκεῖ· καὶ ὁ μὲν εἷς εἶχε γένειον ὁ δὲ ἄλλος ἀρχὴν βάλλων γενείου· καὶ ἦλθον πρός με λέγοντες· ποῦ ἐστιν ἡ κέλλα τοῦ ἀββᾶ Μακαρίου; Κἀγὼ εἶπον· τί θέλετε αὐτόν; Καὶ λέγουσιν· ἀκούοντες τὰ περὶ αὐτοῦ καὶ τῆς Σκήτεως ἤλθομεν ἰδεῖν αὐτόν· λέγω αὐτοῖς· ἐγώ εἰμι· καὶ ἔβαλον μετάνοιαν, λέγοντες· ὧδε θέλομεν μεῖναι. Ἐγὼ δὲ βλέπων αὐτοὺς τρυφεροὺς καὶ ὡς ἀπὸ πλούτου λέγω αὐτοῖς· οὐ δύνασθε καθίσαι ὧδε· καὶ λέγει ὁ μειζότερος· ἐὰν μὴ δυνώμεθα καθίσαι ὧδε, ὑπάγομεν ἀλλαχοῦ· λέγω ἐγὼ τῷ λογισμῷ μου· διὰ τί διώκω αὐτοὺς καὶ σκανδαλίζονται; Ὁ κόπος ποιεῖ αὐτοὺς δι' ἑαυτῶν φυγεῖν· καὶ λέγω αὐτοῖς· δεῦτε, ποιήσατε ἑαυτοῖς κελλίον εἰ δύνασθε· καὶ λέγουσι· δεῖξον ἡμῖν τόπον, καὶ ποιοῦμεν· ἔδωκε δὲ αὐτοῖς ὁ γέρων πέλεκυν καὶ ἀναβολίδιν μεστὸν ψωμίων καὶ ἅλας· ἔδειξε δὲ αὐτοῖς ὁ γέρων καὶ πέτραν σκληρὰν λέγων· λατομήσατε ὧδε καὶ φέρετε αὐτοῖς ξύλα ἐκ τοῦ ἕλους, καὶ στεγάσαντες καθίσατε· ἐνόμιζον δὲ ἐγώ, φησίν, ὅτι μέλλουσι διὰ τὸν κόπον ἀναχωρεῖν. Ἠρώτησαν δέ με, τί ἐργάζωνται ὧδε· λέγω αὐτοῖς· τὴν σειράν· καὶ λαμβάνω βαΐα ἐκ τοῦ ἕλους καὶ δεικνύω αὐτοῖς τὴν ἀρχὴν τῆς σειρᾶς, καὶ πῶς ῥάπτειν δεῖ, καὶ εἶπον· ποιεῖτε σπυρίδας, καὶ παρέχετε τοῖς φύλαξι, καὶ φέρουσιν ὑμῖν ψωμία· λοιπὸν οὖν ἐγὼ ἀνεχώρησα· αὐτοὶ δὲ μεθ' ὑπομονῆς πάντα [256] ἐποίησαν ὅσα εἶπον αὐτοῖς· καὶ οὐ παρέβαλόν μοι ἐπὶ τρία ἔτη· καὶ ἔμεινα πολεμῶν τοῖς λογισμοῖς, λέγων· τίς ἄρα ἐστὶν ἡ ἐργασία αὐτῶν, ὅτι οὐκ ἦλθον ἐρωτῆσαι λογισμόν; Οἱ ἀπὸ μήκοθεν ἔρχονται πρός με· καὶ οὗτοι οἱ ἐγγὺς οὐκ ἦλθον οὔτε δὲ πρὸς ἄλλους ὑπῆγον· εἰ μὴ μόνον εἰς τὴν ἐκκλησίαν σιωπῶντες, λαβεῖν τὴν προσφοράν· καὶ ηὐξάμην τῷ Θεῷ νηστεύσας τὴν ἑβδομάδα, ἵνα δείξῃ μοι τὴν ἐργασίαν αὐτῶν· ἀναστὰς δὲ μετὰ τὴν ἑβδομάδα, ἀπῆλθον πρὸς αὐτοὺς ἰδεῖν, πῶς κάθηνται· καὶ κρούσαντός μου ἀνέῳξαν, καὶ ἠσπάσαντό με σιωπῶντες· καὶ ποιήσας εὐχὴν ἐκάθισα· νεύσας δὲ ὁ μείζων τῷ μικροτέρῳ ἐξελθεῖν, ἐκάθισε πλέκειν[32] τὴν σειρὰν λαλήσας μηδέν· καὶ τῇ ὥρᾳ τῆς ἐνάτης ἔκρουσε, καὶ ἦλθεν ὁ νεώτερος, καὶ ἐποίησε μικρὸν ἕψημα, καὶ παρέθηκε τράπεζαν, νεύσαντος αὐτῷ τοῦ μειζοτέρου· καὶ ἔθηκεν εἰς αὐτὴν τρεῖς παξαμάδας καὶ ἔστη σιωπῶν· ἐγὼ δὲ εἶπον· ἐγείρεσθε, φάγωμεν· καὶ ἀναστάντες ἐφάγομεν· καὶ ἤνεγκε τὸ βαυκάλιον, καὶ ἐπίομεν· ὡς δὲ ἐγένετο ἑσπέρα, λέγουσί μου· ὑπάγεις; Ἐγὼ δὲ εἶπον· οὐχί, ἀλλ' ὧδε κοιμῶμαι· καὶ ἔθηκάν μοι ψιάθιον παρὰ μέρος· καὶ ἑαυτοῖς εἰς τὴν γωνίαν παρὰ μέρος· καὶ ἦραν τὰς ζώνας αὐτῶν καὶ τοὺς ἀναλάβους, καὶ ἔθηκαν ἑαυτοὺς ὁμοῦ εἰς τὸ ψιάθιον ἔμπροσθέν μου. Ὡς δὲ ἔθηκαν

ἑαυτούς, ηὐξάμην τῷ Θεῷ, ἵνα μοι ἀποκαλύψῃ τὴν ἐργασίαν αὐτῶν· καὶ ἠνεῴχθη ἡ στέγη, καὶ ἐγένετο φῶς ὡς ἡμέρα· αὐτοὶ δὲ οὐκ ἐθεώρουν τὸ φῶς· καὶ ὡς ἐνόμιζον ὅτι κοιμῶμαι, νύσσει ὁ μείζων τὸν μικρότερον εἰς τὴν πλευράν, καὶ ἐγείρονται, καὶ ζώννυσιν ἑαυτοὺς καὶ ἐκτείνουσι τὰς χεῖρας εἰς τὸν οὐρανόν· καὶ ἐθεώρουν αὐτούς· αὐτοὶ δὲ οὐκ ἐθεώρουν με· καὶ εἶδον τοὺς δαίμονας ἐρχομένους ὥσπερ μυίας ἐπὶ τὸν μικρότερον· καὶ οἱ μὲν ἤρχοντο καθίσαι εἰς τὸ στόμα αὐτοῦ, οἱ δὲ εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ· καὶ εἶδον ἄγγελον Κυρίου κατέχοντα ῥομφαίαν πυρός, καὶ περιχαρακοῦντα αὐτὸν καὶ διώκοντα τοὺς δαίμονας ἀπ' αὐτοῦ· τῷ δὲ μειζοτέρῳ οὐκ ἐδύναντο προσεγγίσαι· καὶ ὡς περὶ τὴν πρωΐαν ἔθηκαν ἑαυτούς· κἀγὼ ἐποίησα ἐμαυτὸν ὅτι διυπνίσθην, καὶ αὐτοὶ ὡσαύτως· εἶπε δέ μοι ὁ μείζων τὸν λόγον τοῦτον μόνον· θέλεις βάλωμεν τοὺς δώδεκα ψαλμούς; Λέγω· ναί· καὶ ψάλλει ὁ μικρότερος πέντε ψαλμοὺς ἀπὸ ἓξ στίχων καὶ ἓν ἀλληλλούια· καὶ κατὰ στίχον ἐξήρχετο λαμπὰς πυρὸς ἐκ τοῦ στόματος αὐτοῦ, καὶ ἀνέβαινεν εἰς τὸν οὐρανόν· ὡσαύτως καὶ ὁ μείζων ὅτι ἤνοιγε τὸ στόμα αὐτοῦ ψάλλων, ὡς σχοινίον πυρὸς ἐξήρχετο, καὶ ἔφθανεν ἕως τοῦ οὐρανοῦ· κἀγὼ εἶπον μικρὸν ἀπὸ στήθους· καὶ ἐξελθὼν λέγω· εὔξασθε περὶ ἐμοῦ· αὐτοὶ δὲ ἔβαλον μετάνοιαν σιωπῶντες· ἔμαθον οὖν ὅτι ὁ μείζων τέλειός ἐστι, τῷ δὲ μικροτέρῳ ἀκμὴν ἐπολέμει ὁ ἐχθρός· μετὰ δὲ μικρὰς ἡμέρας ἐκοιμήθη ὁ μείζων ἀδελφός, καὶ τῇ τρίτῃ ἡμέρᾳ ὁ μι-
[257] κρότερος. Καὶ ὅτε παρέβαλόν τινες τῶν πατέρων πρὸς τὸν ἀββᾶν Μακάριον, ἐλάμβανεν αὐτοὺς εἰς τὴν κέλλαν αὐτῶν λέγων· δεῦτε, ἴδετε τὸ μαρτύριον τῶν μικρῶν ξένων.

34. Ἀπέστειλάν ποτε πρὸς τὸν ἀββᾶν Μακάριον ἐν τῇ Σκήτει οἱ γέροντες τοῦ ὄρους, παρακαλοῦντες αὐτόν· καί φασι πρὸς αὐτόν· ἵνα μὴ σκυλῇ πᾶς ὁ λαὸς πρὸς σέ, ἀξιοῦμέν σε παραγενέσθαι πρὸς ἡμᾶς ὅπως θεασώμεθα πρὸ τοῦ σε ἐκδημῆσαι πρὸς Κύριον· παραγενομένου αὐτοῦ ἐν τῷ ὄρει συνήχθη πᾶς ὁ λαὸς πρὸς αὐτόν· καὶ παρεκάλουν αὐτὸν οἱ γέροντες εἰπεῖν λόγον τοῖς ἀδελφοῖς· ὁ δὲ ἀκούσας ἔφη· κλαύσωμεν, ἀδελφοί, καὶ καταγαγέτωσαν οἱ ὀφθαλμοὶ ἡμῶν δάκρυα, πρὸ τοῦ ἡμᾶς ἀπελθεῖν, ὅπου τὰ ἡμῶν δάκρυα κατακαύσει τὰ σώματα ἡμῶν. Καὶ ἔκλαυσαν πάντες, καὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν καὶ εἶπον· πάτερ, εὖξαι ὑπὲρ ἡμῶν.

35. Ἄλλοτε πάλιν δαίμων ἐπέστη τῷ ἀββᾷ Μακαρίῳ μετὰ μαχαιρίου, θέλων τὸν πόδα αὐτοῦ κόψαι· καὶ διὰ τὴν ταπεινοφροσύνην αὐτοῦ μὴ δυνηθεὶς λέγει αὐτῷ· ὅσα ἔχετε, καὶ ἡμεῖς ἔχομεν· μόνῃ τῇ ταπεινοφροσύνῃ διαφέρετε ἡμῶν καὶ κρατεῖτε.

36. Εἶπεν ὁ ἀββᾶς Μακάριος· ἐὰν μνησθῶμεν τῶν ὑπὸ τῶν ἀνθρώπων ἐπαγομένων ἡμῖν κακῶν ἀναιροῦμεν τὴν δύναμιν τῆς τοῦ Θεοῦ μνήμης· ἐὰν δὲ μνησθῶμεν τῶν κακῶν τῶν δαιμόνων, ἐσόμεθα ἄτρωτοι.

37. Εἶπεν ὁ ἀββᾶς Παφνούτιος ὁ μαθητὴς τοῦ ἀββᾶ Μακαρίου,

ὅτι ἔλεγεν ὁ γέρων, ὅτι ὅτε ἤμην παιδίον, μετὰ τῶν ἄλλων παιδίων ἔβοσκον βοΐδια· καὶ ἀπῆλθον κλέψαι συκίδια· καὶ ὡς τρέχουσιν ἔπεσεν ἓν ἐξ αὐτῶν, καὶ λαβὼν ἔφαγον αὐτό· καὶ ὅτε μνημονεύω αὐτοῦ, κάθημαι κλαίων.

38. Εἶπεν ὁ ἀββᾶς Μακάριος, ὅτι περιπατῶν ποτε εἰς τὴν ἔρημον, εὗρον κρανίον εἰς τὸ ἔδαφος νεκροῦ ἐρριμμένον· καὶ σαλεύσας αὐτὸ τῇ βαΐνῃ ῥάβδῳ, ἐλάλησέ μοι τὸ κρανίον· καὶ λέγω αὐτῷ· σὺ τίς εἶ; Ἀπεκρίθη μοι τὸ κρανίον· ἐγὼ ἤμην ἀρχιερεὺς τῶν εἰδώλων καὶ τῶν μεινάντων Ἑλλήνων ἐν τῷ τόπῳ τούτῳ· σὺ δὲ εἶ Μακάριος ὁ πνευματοφόρος· οἷαν ὥραν σπλαγχνισθῇς τοὺς ἐν τῇ κολάσει, καὶ εὔχῃ περὶ αὐτῶν, παραμυθοῦνται ὀλίγον. Λέγει αὐτῷ ὁ γέρων· ποία ἐστὶν ἡ παραμυθία καὶ τίς ἡ κόλασις; Λέγει αὐτῷ· ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ γῆς, τοσοῦτόν ἐστιν πῦρ ὑποκάτωθεν ἡμῶν, ἀπὸ ποδῶν ἕως κεφαλῆς ἑστηκότων ἡμῶν μέσον τοῦ πυρός· καὶ οὐκ ἔστι πρόσωπον πρὸς πρόσωπον θεάσασθαί τινα, ἀλλὰ τὸ πρόσωπον ἑκάστου πρὸς τὸν ἑτέρου νῶτον κεκόλληται· ὡς οὖν εὔχῃ ὑπὲρ ἡμῶν ἐκ μέρους τις θεωρεῖ τὸ πρόσωπον τοῦ ἑτέρου· αὕτη ἐστὶν ἡ πα**[260]**ραμυθία· καὶ κλαύσας ὁ γέρων εἶπεν· οὐαὶ τῇ ἡμέρᾳ ἐν ᾗ ἐγεννήθη ὁ ἄνθρωπος. Λέγει αὐτῷ ὁ γέρων· ἔστιν ἄλλη χείρων βάσανος; Λέγει αὐτῷ τὸ κρανίον· μειζοτέρα βάσανός ἐστιν ὑποκάτωθεν ἡμῶν. Λέγει αὐτῷ ὁ γέρων· καὶ τίνες εἰσὶν ἐκεῖ; Λέγει αὐτῷ τὸ κρανίον· ἡμεῖς ὡς μὴ εἰδότες τὸν Θεόν, κἂν ὀλίγον ἐλεούμεθα. Οἱ δὲ ἐπιγνόντες τὸν Θεόν, καὶ ἀρνησάμενοι αὐτόν, ὑποκάτωθεν ἡμῶν εἰσι· καὶ λαβὼν ὁ γέρων τὸ κρανίον ἔχωσεν αὐτό.

39. Ἔλεγον περὶ τοῦ ἀββᾶ Μακαρίου τοῦ Αἰγυπτίου ὅτι ἀνέβαινέ ποτε ἐκ τῆς Σκήτεως εἰς τὸ ὄρος τῆς Νιτρίας· καὶ ὡς ἤγγισεν εἰς τὸν τόπον, εἶπε τῷ μαθητῇ αὐτοῦ· πρόλαβε μικρόν· καὶ ἐν τῷ προάγειν αὐτὸν συναντᾷ τινι ἱερεῖ τῶν Ἑλλήνων· καὶ κράξας αὐτῷ ὁ ἀδελφὸς ἐφώνει λέγων· αἶ, αἶ, δαῖμον ποῦ τρέχεις; Στραφεὶς δὲ ἐκεῖνος διδοῖ αὐτῷ πληγὰς καὶ ἀφίει αὐτὸν ἡμιθανῆ· καὶ ἄρας τὸ ξύλον ἔτρεχε· καὶ προβάντι ὀλίγον συναντᾷ αὐτῷ ἀββᾶς Μακάριος τρέχοντι· καὶ λέγει αὐτῷ· σωθείης, σωθείης, καματηρέ· καὶ θαυμάσας ἦλθε πρὸς αὐτὸν καὶ εἶπεν· τί καλὸν εἶδες ἐν ἐμοί, ὅτι προσηγόρευσάς με; Λέγει αὐτῷ ὁ γέρων· ὅτι εἶδόν σε κοπιῶντα· καὶ οὐκ οἶδας ὅτι εἰς κενὸν κοπιᾷς· λέγει αὐτῷ καὶ αὐτός· κἀγὼ ἐπὶ τῷ ἀσπασμῷ σου κατενύγην· καὶ ἔμαθον, ὅτι τοῦ μέρους τοῦ Θεοῦ εἶ, ἄλλος δὲ κακὸς μοναχὸς ἀπαντήσας μοι, ὕβρισέ με· κἀγὼ ἔδωκα αὐτῷ πληγὰς εἰς θάνατον· καὶ ἔγνω ὁ γέρων, ὅτι ὁ μαθητὴς αὐτοῦ ἐστι· καὶ κρατήσας τοὺς πόδας αὐτοῦ ὁ ἱερεὺς ἔλεγεν· οὐκ ἀφῶ σε, ἐὰν μὴ ποιήσῃς με μοναχόν· καὶ ἦλθον ἐπάνω ὅπου ἦν ὁ μοναχός, καὶ ἐβάσταξαν αὐτὸν καὶ ἤνεγκαν εἰς τὴν ἐκκλησίαν τοῦ ὄρους· καὶ ἰδόντες τὸν ἱερέα μετ' αὐτοῦ, ἐξέστησαν· καὶ ἐποίησαν αὐτὸν μοναχόν· καὶ πολλοὶ τῶν Ἑλλήνων ἐγένοντο δι' αὐτὸν Χριστιανοί· ἔλεγεν οὖν ὁ ἀββᾶς Μακάριος, ὅτι ὁ λόγος ὁ

κακὸς καὶ τοὺς καλοὺς ποιεῖ κακούς· καὶ ὁ καλὸς λόγος καὶ τοὺς κακοὺς ποιεῖ καλούς.

40. Ἔλεγον περὶ τοῦ ἀββᾶ Μακαρίου ὅτι ἀπόντος αὐτοῦ εἰσῆλθε ληστὴς εἰς τὸ κελλίον αὐτοῦ· παραγενομένου δὲ αὐτοῦ εἰς τὸ κελλίον, εὗρε τὸν ληστὴν γεμίζοντα τὴν κάμηλον τὰ σκεύη αὐτοῦ· αὐτὸς δὲ εἰσελθὼν εἰς τὸ κελλίον ἐλάμβανεν ἀπὸ τῶν σκευῶν, καὶ συνεγέμιζε μετ' αὐτοῦ τὴν κάμηλον· ὡς οὖν ἐγέμισαν, ἤρξατο ὁ ληστὴς τύπτειν τὴν κάμηλον, ἵνα ἀναστῇ· καὶ οὐκ ἠγείρετο. Ἰδὼν δὲ ὁ ἀββᾶς Μακάριος, ὅτι οὐκ ἐγείρεται, εἰσελθὼν ἐν τῷ κελλίῳ εὗρε μικρὸν σκαλίδιν· καὶ ἐκβαλὼν ἐπέθηκε τῇ καμήλῳ λέγων· ἀδελφέ, τοῦτο ζητεῖ ἡ κάμηλος· καὶ κρούσας αὐτὴν ὁ γέρων τῷ ποδὶ λέγει· ἀνάστα· καὶ εὐθέως ἀνέστη, καὶ ἀπῆλθε μικρὸν διὰ τὸν λόγον **[261]** αὐτοῦ· καὶ πάλιν ἐκάθισε, καὶ οὐκ ἀνέστη, ἕως ἀπεγέμισαν ὅλα τὰ σκεύη· καὶ οὕτως ἀπῆλθεν.

41. Ὁ ἀββᾶς Ἀϊὼ ἠρώτησε τὸν ἀββᾶν Μακάριον λέγων· εἰπέ μοι ῥῆμα. Λέγει αὐτῷ ὁ ἀββᾶς Μακάριος· φεῦγε τοὺς ἀνθρώπους· κάθισον εἰς τὸ κελλίον σου, καὶ κλαῦσον τὰς ἁμαρτίας σου, καὶ μὴ ἀγαπήσῃς λαλιὰν ἀνθρώπων· καὶ σώζῃ.

42* Εἶπον περὶ τοῦ ἀββᾶ Μακαρίου τοῦ Μεγάλου, ὅτι ἐποίησεν ἐν τετράμηνόν ποτε, ἡμερούσιον παραβάλλων ἀδελφῷ ἐν τῇ Σκήτει καὶ οὔτε ἅπαξ εὗρεν αὐτὸν σχολάζοντα. Παραβάλλων οὖν αὖθις καὶ σταθεὶς πρὸς τῇ θύρᾳ ἔξω, ἤκουσεν αὐτοῦ μετὰ κλαυθμοῦ λέγοντος· Κύριε, εἰ οὐκ ἠχεῖ τὰ ὦτά σου κράζοντός μου πρὸς σέ, ἐλέησόν με διὰ τὰς ἁμαρτίας μου, οὔτε ἐγὼ κάμνω παρακαλῶν σε.

Δ'

1. Εἶπεν ὁ ἀββᾶς Πέτρος ὁ τοῦ ἀββᾶ Λώτ, ὅτι ἐν τῷ κελλίῳ τοῦ ἀββᾶ Ἀγάθωνος ἤμην ποτέ, καὶ ἦλθε πρὸς αὐτὸν ἀδελφὸς λέγων· θέλω οἰκῆσαι μετὰ ἀδελφῶν· εἶπόν μοι πῶς μετ' αὐτῶν οἰκήσω. Λέγει αὐτῷ ὁ γέρων· ὡς ἐν τῇ πρώτῃ ἡμέρᾳ ὅτε εἰσέρχῃ πρὸς αὐτούς, οὕτως φύλαξον τὴν ξενιτείαν σου πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, ἵνα μὴ παρρησιασθῇς μετ' αὐτῶν· λέγει αὐτῷ ὁ ἀββᾶς Μακάριος· τί γὰρ ποιεῖ ἡ παρρησία; Λέγει αὐτῷ ὁ γέρων· ἔοικεν ἡ παρρησία καύσωνι μεγάλῳ, ὃς ὅταν γίνηται, πάντες φεύγουσιν ἀπὸ προσώπου αὐτοῦ, καὶ τῶν δένδρων τὸν καρπὸν διαφθείρει· λέγει αὐτῷ ὁ ἀββᾶς Μακάριος· οὕτως χαλεπή ἐστιν ἡ παρρησία; Καὶ εἶπεν ὁ ἀββᾶς Ἀγάθων· οὐκ ἔστιν ἕτερον πάθος χαλεπώτερον τῆς παρρησίας· γεννήτρια γάρ ἐστι πάντων τῶν παθῶν· πρέπει δὲ τῷ ἐργάτῃ μὴ παρρησιάζεσθαι, κἂν μόνος ᾖ ἐν τῷ κελλίῳ· οἶδα γὰρ ὅτι ἀδελφὸς ποιήσας χρόνον ἐν τῷ κελλίῳ οἰκῶν, ἔχων τι κοιτωνάριον, εἶπεν, ὅτι μετέβην ἐκ τοῦ κελλίου, μὴ

---

* Κατὰ τὴν ἔκδοσιν F. Nau, Revue de l' Orient Chrétien, Paris, τ. 12 (1907).

γνοὺς αὐτὸ τὸ κοιτωνάριον, εἰ μὴ ἕτερός μοι εἶπεν· ὁ τοιοῦτος ἐργάτης ἐστὶ καὶ πολεμιστής.

2. Εἶπεν ὁ ἀββᾶς Μακάριος τῷ ἀββᾷ Ζαχαρίᾳ· εἰπέ μοι τὸ ἔργον τοῦ μοναχοῦ· λέγει αὐτῷ· ἐμὲ ἐρωτᾷς, πάτερ; Καὶ λέγει ὁ ἀββᾶς Μακάριος· πληροφοροῦμαι εἰς σέ, τέκνον Ζαχαρία· ἔστι γὰρ ὁ νύσσων με τοῦ ἐρωτῆσαί σε· λέγει αὐτῷ ὁ Ζαχαρίας· τὸ κατ' ἐμέ, πάτερ, τὸ ἑαυτόν, βιάζεσθαι εἰς πάντα, οὗτός ἐστιν ὁ μοναχός.

3. Ὁ ἀββᾶς Θεόδωρος ὁ τῆς Φέρμης ἐκτήσατο τρία βιβλία καλά· καὶ παρέβαλε τῷ ἀββᾷ Μακαρίῳ, καὶ λέγει αὐτῷ, ὅτι ἔχω τρία βιβλία καλά, καὶ ὠφελοῦμαι ἐξ αὐτῶν, καὶ οἱ ἀδελφοὶ κιχρῶνται αὐτὰ **[264]** καὶ ὠφελοῦνται· εἰπὲ οὖν μοι, τί ὤφειλον ποιῆσαι; κατάσχω αὐτὰ εἰς τὴν ἐμὴν καὶ τὴν τῶν ἀδελφῶν ὠφέλειαν ἢ πωλήσω αὐτὰ καὶ δώσω πτωχοῖς; Καὶ ἀποκριθεὶς ὁ γέρων εἶπε· καλαὶ μὲν αἱ πράξεις, ἀλλὰ μείζων πάντων ἡ ἀκτημοσύνη ἐστί· καὶ τοῦτο ἀκούσας, ἀπελθὼν ἐπώλησεν αὐτά, καὶ διέδωκε πτωχοῖς.

ΜΑΚΑΡΙΟΣ Ο ΑΛΕΞΑΝΔΡΕΥΣ

ΜΑΚΑΡΙΟΣ Ο ΑΛΕΞΑΝΔΡΕΥΣ

1. Βίος. Σύγχρονος τοῦ Αἰγυπτίου Μακαρίου εἶναι καὶ ὁ ὁμώνυμος αὐτῷ, ὁ ἐπονομαζόμενος Μακάριος ὁ Ἀλεξανδρεὺς ὡς καταγόμενος ἐξ Ἀλεξανδρείας, ἐξ οὗ καὶ «πολιτικὸς» («ἀστὸς») ἐκαλεῖτο. Ὁ ἱστορικὸς Σωκράτης (Ἐκκλησ. Ἱστ. βιβλ. Δ' κεφ. 23) λέγει περὶ αὐτοῦ: «Ἐγένοντο δὲ ἐν τοῖς μοναχοῖς κατ' ἐκεῖνον τὸν χρόνον δύο ἄνδρες θεοφιλεῖς, ὁμώνυμοι ἑαυτοῖς· ἑκατέρῳ γὰρ αὐτῶν ὄνομα ἦν Μακάριος· ὧν ὁ μὲν ἐκ τῆς ἄνω Αἰγύπτου ἦν· ὁ δέ, ἐκ τῆς Ἀλεξανδρέων πόλεως· ἀμφότεροι δὲ πολλῶν ἕνεκεν ἐγένοντο περιβόητοι, δι' ἄσκησιν, διὰ βίον, διὰ τρόπον, διὰ τὰ ἐν χερσὶν αὐτῶν γενόμενα θαύματα. Ὁ δὲ Ἀλεξανδρεὺς Μακάριος, κατὰ πάντα παραπλήσιος ὢν τῷ Αἰγυπτίῳ, ἐν τούτῳ διήλλασσεν, ὅτι πρὸς τοὺς ἐντυγχάνοντας ἱλαρός τε ἦν, καὶ τῷ χαριεντίζεσθαι τοὺς νέους ἦγε πρὸς ἄσκησιν». Καὶ ὁ Σωζομενὸς ταῦτα διαλαμβάνει (Ἐκκλ. Ἱστ. βιβλ. Γ' κεφ. 14): «Ἄρξομαι δὲ ἐξ Αἰγύπτου, καὶ Μακαρίων τῶν δύο, τῶν ἀοιδιμωτάτων ἡγεμόνων τῆς Σκήτεως, καὶ τοῦ τῇδε ὄρους. Τούτοιν δέ, ὁ μὲν Αἰγύπτιος· ὁ δέ, πολιτικός, ὡς ἀστὸς ὠνομάζετο· ἦν γὰρ τῷ γένει Ἀλεξανδρεύς. Ἄμφω δὲ ὅτι μάλιστα θεσπεσίῳ ἐγενέσθην, καὶ θείαν πρόγνωσιν καὶ φιλοσοφίαν, καὶ δαίμοσι φοβερώ, πολλῶν τε καὶ παραδόξων πραγμάτων καὶ ἰαμάτων δημιουργώ...Ὁ δὲ ἕτερος, χρόνῳ μὲν ὕστερον πρεσβύτερος ἐγένετο· παντοδαπῆς δὲ σχεδὸν ἀσκήσεως ἐπειράθη, τὰ μὲν αὐτὸς περινοῶν, ἃ δὲ παρ' ἄλλοις ἤκουσεν, ἐκ παντὸς τρόπου κατορθῶν, ὡς ὑπὸ τοῦ ἄγαν κατασκληκέναι μὴ φύειν τοῦ γενείου τὰς τρίχας».

2. Ὡς νέος ἐπορίζετο τὰ πρὸς τὸ ζῆν πωλῶν ἐν Ἀλεξανδρείᾳ «πέμματα» (τηγανίτας) καὶ «τραγήματα» (σκληροὺς καρπούς, στραγάλια). «Τεσσαράκοντα γὰρ ἐτῶν ἐτύγχανεν, ὅτε ἐβαπτίσθη ὁ γνήσιος τοῦ Χριστοῦ δοῦλος καὶ ἀθάνατος Μακάριος», λέγει ὁ Παλλάδιος (Migne, PG 34, 1065A). Ἀφοῦ δ' ἐβαπτίσθη ἐπὶ εἴκοσιν ἔτη «οὐκ ἔπτυσεν χαμαί». Εὐθὺς καταλιπὼν τὴν πόλιν, ἦλθεν εἰς τὴν ἔρημον τῆς Νιτρίας πρὸς ἄσκησιν. Ἐχειροτονήθη πρεσβύτερος καὶ ἐγένετο Ἀρχιμανδρίτης, ἤτοι Ἡγούμενος ἐν Νιτρίᾳ (Παλλ. Αὐτόθι). Ὁ Παλλάδιος ἐπισημαίνει ὅτι «ἀκριβῶς ἐγίνωσκε τοῦτον», ἀφοῦ ἔζησε πλησίον αὐτοῦ ἐπὶ ἐννέα ἔτη (Λαυσ. Ἱστ. Migne, PG 34, 1050A: «Εἰς ἃ κελλία παρῴκησα ἐγὼ ἐναετίαν»). Προστίθησι δὲ ὅτι οὗτος ἐπέζησεν ἔτι τρία ἔτη μετὰ τὴν ἀναχώρησίν του. Ἐὰν δεχθῶμεν, ὅτι ὁ Μακάριος ὁ Αἰγύπτιος ἐκοιμήθη περὶ τὸ 390, μάλιστα ἓν ἔτος πρὸ τῆς ἀφίξεως τοῦ Παλλαδίου εἰς τὰ Κελλία,

τότε πρέπει νὰ δεχθῶμεν ὅτι ὁ Παλλ. ἔφθασεν ἐκεῖ περὶ τό 391, ἔμεινεν 9 ἔτη πλησίον τοῦ Μακαρίου τοῦ Ἀλεξανδρέως καὶ μετὰ τὴν ἀναχώρησίν του περὶ τὸ 400 (ἢ 399), ὁ Μακάριος ὁ Ἀλεξανδρεὺς ἐπέζησε τρία ἔτη ἀκόμη, τότε τὸν θάνατον τοῦ Μακ. πρέπει νὰ τοποθετήσωμεν μεταξὺ τῶν ἐτῶν 402 καὶ 403. Ἐτελεύτησε δὲ ὑπὲρ ἑκατοντούτης τὴν ἡλικίαν.

3. Ὁ Παλλάδιος πολλὰ τὰ θαυμαστὰ περὶ τοῦ Μακαρίου τοῦ Ἀλεξανδρέως ἀφηγεῖται εἰς ἐγκωμιασμὸν τῆς ἀρετῆς, τῆς ἐγκρατείας, τῆς αὐστηρᾶς ἀσκήσεως καὶ τῆς θαυματουργικῆς δυνάμεως. Πληροφορούμεθα ἐπίσης παρὰ τοῦ ἰδίου Παλλ. ὅτι ὁ Μακ. ἐγένετο τοῦ μ. Ἀντωνίου μαθητής, παρ᾽ οὗ καὶ ἤκουσε τὴν βεβαίωσιν: «Ἰδοὺ ἀναπέπαυται τὸ Πνεῦμα ἐπὶ σέ, καὶ ἔσῃ μοι λοιπὸν τῶν ἐμῶν ἀρετῶν κληρονόμος» (34, 1050B). Ἐγνώρισεν ἐπίσης καὶ τὸν ὁμώνυμόν του Μακάριον τὸν Αἰγύπτιον (αὐτόθι) καὶ ἐπὶ ἱκανὸν χρόνον ἔμεινεν ἐν τῇ Μονῇ τοῦ Παχωμίου. Τὰ ἀσκητήρια τοῦ Μακ. ἦσαν πολλὰ καὶ εἰς διαφόρους τόπους. Λέγει ὁ Παλλ. (34, 1059C): «Οὗτος εἶχε διαφόρους κέλλας ἐν τῇ ἐρήμῳ, ἐν αἷς τοὺς ἄθλους τῆς ἀρετῆς ἐξειργάζετο· μίαν ἐν τῇ Σκήτει ἐν τῇ πανερήμῳ τῇ ἐνδοτέρᾳ· μίαν εἰς Λιβύην εἰς τὰ λεγόμενα Κελλία· μίαν εἰς τὸ ὄρος τῆς Νιτρίας. Καὶ αἱ μέν εἰσιν ἀθυρίδωτοι, εἰς ἃς ἐλέγετο ὁ Μακάριος καθέζεσθαι ἐν τῇ Τεσσαρακοστῇ ἐν σκοτίᾳ· ἡ δὲ ἄλλη κέλλα στενοτάτη πάνυ ὑπῆρχεν εἰς ἣν ἐκτεῖναι πόδας οὐκ ἦν· ἡ δὲ τρίτη κέλλα ἦν πλατυτέρα, ἐν ᾗ καὶ συνετύγχανε τοῖς πρὸς αὐτὸν φοιτῶσιν». Μαθητὴς δὲ τούτου ἐγένετο ὁ Παφνούτιος (Παλλ. Λαυσ. Ἱστ. 34, 1060 B/C: «Διηγεῖτο δὲ ἡμῖν καὶ ὁ δοῦλος τοῦ Χριστοῦ Παφνούτιος, ὁ τοῦ γενναίου τούτου τοῦ ἀθλητοῦ μαθητής...»). Ὁ Μακ. κατέλιπε «κώδιον προβάτου» (προβιὰν) τῷ μ. Ἀθανασίῳ (Αὐτόθι). Ἡ ἀφήγησις ἥκιστα πιστευτή, ἐφ᾽ ὅσον ὁ μὲν μ. Ἀθανάσιος ἐξεδήμησε πρὸς Κύριον τῇ 2 Μαΐου 373, ὁ δὲ Μακ. περὶ τὸ 403!). Τὸν Μακ. ἐπεσκέφθη καὶ ἡ ἁγία Μελανία, ἡ Ῥωμαία μοναχὴ (περὶ τὸ 374/8) μετὰ τοῦ Ῥουφίνου (Πρβλ. Λαυσ. Ἱστ. κ. 118 τὰ περὶ Μελανίας.) Ἐν 34,1060D, διορθῶν ἑαυτὸν ὁ Παλλ., προστίθησιν: «Ὡς δὲ καὶ ἡ μακαρία δούλη τοῦ Χριστοῦ Μελάνη μοι εἶπεν· ὅτι παρὰ τοῦ ἁγίου καὶ θαυμαστοῦ ἀνδρὸς Μακαρίου ἐγὼ ἔλαβον τὸ κώδιον ἐκεῖνο, ξένιον τῆς ὑαίνης ἐπιλεγόμενον», ὡς προσφερθὲν τῷ Μακ. ὑπὸ ὑαίνης (!) διὰ τὴν θεραπείαν τοῦ σκύμνου αὐτῆς ὑπὸ τοῦ μεγάλου καὶ θαυματουργοῦ ἀσκητοῦ. Ὡς πρὸς τὸ εἶδος τῆς μορφῆς καὶ τὴν ἐξωτερικὴν ἐμφάνισιν τοῦ μεγάλου ἀσκητοῦ, ὁ Παλλ. τὰ ἑξῆς λέγει: «Ἦν οὖν τὸ εἶδος τῆς ἡλικίας αὐτοῦ ὑποκολοβόν, σπανόν, ἐπὶ τοῦ χείλους μόνον ἔχον τρίχας· καὶ εἰς τὸ ἄκρον δὲ τοῦ γενείου εἶχεν ὀλίγας. Ὑπερβολῇ γὰρ πόνων ἀσκήσεως οὐδὲ αἱ τρίχες τῆς γενειάδος αὐτοῦ ἐξέφυσαν» (34, 1065A).

3. Συγγράμματα. Ὁ Παλλ. οὐδὲν ἀναφέρει περὶ συγγραφικῆς δράσεως τοῦ Μ-ακ. Τὰ κακῶς ἐπ' ὀνόματι τούτου ἐν Migne ἐκδεδομένα ἔργα, εἶναι ἅπαντα συλλήβδην νόθα. Τὰ «Ἀποφθέγματα» ἐν πρώτοις, τὰ φερόμενα ἐπ' ὀνόματι τοῦ Μακ. εἶναι μὴ γνήσια, οὔτε κἂν γίνεται διασάφησις περὶ ποίου Μακ. πρόκειται, τοῦ Αἰγυπτίου, τοῦ ἡμετέρου ἢ ἄλλου τινός; (Migne, P.G. 34,261/5). Νόθος εἶναι καὶ ὁ «Λόγος περὶ ἐξόδου ψυχῆς δικαίων καὶ ἁμαρτωλῶν τὸ πῶς χωρίζονται ἐκ τοῦ σώματος» (34,385-92), ὡς ἐπίσης καὶ οἱ δύο μοναχικοὶ κανόνες, οἱ λατινιστὶ σῳζόμενοι: *S. Macarii Alexandrini abbatis Nitriensis regula ad monachos* (34,967-70) καὶ *S. Serapionis, Macarii, Paphnutii et alterius Macarii regula ad monachos* (34,971-78).

ΒΙΒΛΙΟΓΡΑΦΙΑ

Ταύτην εὑρίσκει τις σημειωθεῖσαν ἐν τέλει τοῦ βίου τοῦ Μακαρίου τοῦ Αἰγυπτίου. Καὶ αἱ πηγαὶ καὶ τὰ βοηθήματα εἶναι τὰ αὐτά. Σημειοῦμεν μόνον τὸ σχετικὸν ἄρθρον τοῦ Amann, ἐν *Dictionnaire de Théol. Catholigue* τ. 9,1440 κ. ἑ.

Κωνσταντῖνος Γ. Μπόνης Δρ. Θ. καὶ Φ.
Ὁμότιμος Καθηγητὴς τοῦ Πανεπιστημίου Ἀθηνῶν

ΜΑΚΑΡΙΟΥ ΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ

ΠΕΡΙ ΕΞΟΔΟΥ ΨΥΧΗΣ ΛΟΓΟΣ*

[385] Τοῦ ἁγίου Μακαρίου τοῦ Ἀλεξανδρέως λόγος περὶ ἐξόδου ψυχῆς δικαίων καὶ ἁμαρτωλῶν τὸ πῶς χωρίζονται ἐκ τοῦ σώματος καὶ πῶς εἰσιν.

Ποτὲ διοδευόντων ἡμῶν ἐν τῇ ἐρήμῳ, εἶδον δύο ἀγγέλους συνακολουθοῦντας τῷ ἁγίῳ Μακαρίῳ ἕνα ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων· καὶ ἐν τῷ συμπο**[388]**ρεύεσθαι ἡμᾶς, εὑρέθη θνησιμαῖον κείμενον καὶ ὄζον· καὶ αἰσθανόμενος ὁ ἅγιος Μακάριος τῆς δυσωδίας, συνέκλεισε μετὰ τῆς ἰδίας χειρὸς τοὺς ἑαυτοῦ μυκτῆρας, ἕως οὗ παρῆλθεν· ἐποίησαν δὲ καὶ οἱ ἄγγελοι οὕτως καὶ ἰδὼν ὁ γέρων εἶπεν αὐτοῖς· καὶ ὑμεῖς οὕτως ὀσφραίνεσθε τὴν δυσωδίαν τοῦ κόσμου; Οἱ δὲ εἶπον· οὐχί, ἀλλὰ σὲ ἰδόντες ἐποιήσαμεν καὶ ἡμεῖς οὕτως· ἡμεῖς γὰρ τῆς δυσωδίας τοῦ κόσμου οὐκ αἰσθανόμεθα, ἀλλὰ τῆς ὀζομενίας τῶν ψυχῶν τῶν ἁμαρτωλῶν ὀσφραινόμεθα μόνον, ὃν τρόπον σὺ τὴν δυσωδίαν τοῦ θνησιμαίου τούτου ἀποστρέφῃ. Καὶ ὁ γέρων λέγει αὐτοῖς· γνωρίσατέ μοι, παρακαλῶ, τοῦτον τῆς δυσώδους ψυχῆς τῶν ἁμαρτωλῶν ἐν τῇ ζωῇ ταύτῃ αἰσθάνεσθε ἢ μετὰ θάνατον; Καὶ πῶς τὰς ψυχὰς τῶν ἁμαρτωλῶν, πῶς δὲ τῷ Κυρίῳ πεπιστευκότων, τῶν ἀσεβῶν, τῶν μὴ πεπιστευκότων [διήρηται]; Εἴπατέ μοι, εἰ εὗρον χάριν ἐνώπιον ὑμῶν· καὶ οἱ ἄγγελοι εἶπον· ἄκουσον ἐκλεκτὲ τοῦ Θεοῦ Μακάριε· ἡ ἁμαρτωλὸς ψυχὴ καὶ ἔτι οὖσα ἐν τῷ σώματι τὴν τῶν κακῶν πράξεων ὀζωδίαν ἀποδίδωσι, μετὰ δὲ θάνατον πολὺ πλέον· τῶν γὰρ πράξεων φανερῶς ἐπικειμένων αὐτῇ σκοτοῦσι καὶ μελανίαν δίκην αὐτῇ περισήπουσι· ἡ γὰρ ψυχὴ καθ' ἑαυτὴν φωτεινὴ καὶ καθαρά ἐστιν, ὡς τοῦ ἀθανάτου φωτὸς ἐμφύσημα· ἀλλὰ ἐν τῷ σώματι γινομένη, καὶ μὴ καλῶς αὐτὸ κυβερνῶσα, μολύνεται κατὰ μέρος ἐκ τῆς ἁμαρτίας, ἡ μὲν πλέον, ἡ δὲ ἔλαττον· τὸ δὲ πῶς αἱ ψυχαὶ ἐκ τῶν σωμάτων λαμβάνονται πιστῶν τε καὶ ἀπίστων ἄκουσον καὶ πάντων ἐπίγεια ἢ κοινὰ ἐλαχίστων τῶν ἐπουρανίων νόμιζε εἶναι, Μακάριε· ὥσπερ γὰρ ἐκ τοῦ ἐπιγείου βασιλέως ἀποστελλόμενοι στρατιῶται ἐπὶ τῷ παραστῆσαί τινα, ἐλθόντες συνέχουσιν αὐτὸν καὶ μὴ θέλοντα· ὁ δὲ καταπτήσσει μὲν τῷ φόβῳ, τρέφει δὲ καὶ τὴν παρουσίαν τῶν ἀσυμπαθῶς πρὸς τὴν ὁδοιπορίαν ἑλκόντων· οὕτω καὶ ὅταν ἀποσταλῶσιν ἄγγελοι παραλαβεῖν τὴν ψυχὴν εἴτε δικαίου εἴτε ἁμαρτωλοῦ, καταπτήσσει τῷ φόβῳ καὶ

---

* Κατὰ τὴν ἔκδοσιν J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 34, στ. 385-392.

τρέμει τὴν παρουσίαν τῶν φοβερῶν καὶ ἀποτόμων ἀγγέλων· καθορᾷ γὰρ τότε ἡ ψυχὴ ἄπορον καὶ ἀσθενῆ καὶ ἀνωφελῆ πάντοθεν τὴν τοῦ πλούτου καὶ συγγενῶν καὶ φίλων παρουσίαν, τὰ δάκρυα καὶ τοὺς θρήνους τῶν περιεστώτων αἰσθάνεται, καὶ λαλῆσαι ἢ ἀφιέναι φωνὴν οὐ δύναται, μηδέποτε πειρασθεῖσα τοιαύτῃ κλήσει, δέδοικε δὲ καὶ τὸ ἄπειρον τῆς ὁδοῦ καὶ τὴν ἐναλλαγὴν τῆς διαγωγῆς· συνέχεται δὲ καὶ τῇ τῶν ὁρωμένων ἀρχόντων ἀσυμπαθείᾳ· προσπάσχει δὲ καὶ πρὸς πάντας καὶ τῇ τοῦ σώματος συμβιώσει· καὶ θρηνεῖ τὴν τούτου ἀπόζευξιν, ὡς τούτου ἐν συνηθείᾳ χωριζομένη· μίαν καὶ μόνην παραμυθίαν μὴ δυναμένη ἔχειν ἐκ τοῦ οἰκείου συνειδότος· εἰ μὴ ἐὰν καλῶν ἔργων πρᾶξιν ἑαυτῇ σύνοιδεν· ἡ τοιαύτη ψυχὴ καὶ πρὸ τῆς ἀποφάσεως τοῦ Κριτοῦ ἀπὸ τοῦ συνειδότος ἀδιαλείπτως κρίνεται· καὶ ὁ ἀββᾶς Μακάριος λέγει πάλιν· τί οὖν; κύριοί μου, δέομαι ὑμῶν, καὶ τοῦτο ἑρμηνεύσατε· ἐπειδὴ ἐκ τῶν πατέρων παραδέδοται ἐν τῇ γ′ ἡμέρᾳ καὶ τῇ θ′ καὶ τῇ **[389]** μ′ προσφέρεσθαι τῷ Θεῷ ἐν τῇ ἐκκλησίᾳ προσφορὰν ὑπὲρ τοῦ τελευτήσαντος, τί τὸ ὄφελος ἐκ τούτου τῇ μεταστάσει ψυχῇ γίνεται; Καὶ ὁ ἄγγελος ἔφη· οὐδὲν ἀκαίρως οὐδὲ ἀνωφελῶς ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ συνεχώρησεν ὁ Θεὸς γίνεσθαι, ἀλλὰ τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια αὐτοῦ μυστήρια ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ συνεχώρησεν ὁ Θεὸς γίγνεσθαι καὶ ἐκέλευσε τελεῖσθαι· ἐν γὰρ τῇ τρίτῃ ἡμέρᾳ γιγνομένης προσφορᾶς ἐν τῇ ἐκκλησίᾳ, παραμυθίαν τῆς θλίψεως, ᾗ ἀπεχωρίσθη τοῦ σώματος, δέχεται ἡ ψυχὴ μὲν θανοῦσα παρὰ τοῦ συνέχοντος αὐτὴν ἀγγέλου, ὅτι εὐλόγησις καὶ προσφορὰ ὑπὲρ αὐτῆς ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ προσκεκόμισται καὶ εὔελπις γίνεται ἐν τούτῳ· τὰς γὰρ ἡμέρας συγχωρεῖται ἡ ψυχὴ ἅμα τοῖς συνοῦσιν αὐτῇ ἀγγέλοις πορεύεσθαι, ἔνθα βούλεται, ἐπὶ τῆς γῆς· ἡ οὖν φιλοσώματος ψυχὴ ἀπέρχεται ποτὲ μὲν περὶ τὸν οἶκον, ἔνθα ἀπεζεύχθη, ποτὲ δὲ περὶ τὸ μνῆμα, ὅπου κατετέθη τὸ σῶμα καὶ οὕτως ἐκτελεῖ τὰς δύο ἡμέρας ζητοῦσα ὥσπερ ὄρνεον τὴν νοσιὰν αὐτῆς· ἡ δὲ ἐνάρετος ψυχὴ ἀπέρχεται εἰς τόπους, ὅπου εἶχε συνήθειαν ἐργάζεσθαι τὴν δικαιοσύνην· τῇ δὲ τρίτῃ ἡμέρᾳ [ἀνυψοῦσθαι] κελεύει πάσῃ ψυχῇ Χριστιανῶν εἰς οὐρανοὺς ἐκ νεκρῶν ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ Χριστὸς.ὁ πάντων Θεός, κατὰ μίμησιν τῆς αὐτοῦ ἀναστάσεως, εἰς προσκύνησιν τοῦ Θεοῦ τῶν ἁπάντων· καλῶς οὖν κατέχει ἡ ἐκκλησία τῇ τρίτῃ ἡμέρᾳ προσφορὰν καὶ εὐχὴν ποιεῖσθαι ὑπὲρ τῆς ψυχῆς· μετὰ οὖν τὸ προσκυνῆσαι τὸν Θεὸν γίνεται κέλευσις παρ᾽ αὐτοῦ, ὥστε ἐπιδειχθῆναι αὐτῇ τὰς διαφόρους καὶ τερπνὰς σκηνὰς τῶν ἁγίων καὶ τὴν τοῦ παραδείσου ὡραιότητα· καὶ ταῦτα πάντα καταμανθάνει ἡ ψυχὴ ἓξ ἡμέραις θαυμάζουσα καὶ δοξάζουσα τὸν εὐτρεπιστὴν τούτων Θεόν· καὶ ταῦτα πάντα θεωροῦσα ἡ ψυχὴ μεταβάλλεται καὶ ἐπιλανθάνεται τῆς θλίψεως, ἥσπερ εἶχεν ἐν τῷ σώματι οὖσα· ἐὰν δέ ἐστι ἐν ἁμαρτίαις ὑπεύθυνος, θεωροῦσα τὰς ἀπολαύσεις τῶν ἁγίων ἄρχεται λυπεῖσθαι καὶ καταγινώσκειν ἑαυτήν, λέγουσα· Οἴμοι, πῶς ἐματαιώθην ἐν τῷ κόσμῳ ἐκείνῳ, ἐν ταῖς

ἐπιθυμίαις τοῦ βίου ἀσχοληθεῖσα· τὸ πλεῖστον τοῦ βίου ἐδαπάνησα ἐν ἀμελείᾳ, καὶ οὐκ ἐδούλευσα τῷ Θεῷ κατὰ τὸ πρέπον, ὅπως κἀγὼ ἠξιώθην τῆς χάριτος καὶ τῆς δόξης ταύτης· οἴμοι τῇ ἀθλίᾳ, ἔτι μοι συμβάλλονται αἱ φροντίδες καὶ ὁ ἄκαιρος περισπασμὸς ὃν εἶχον ἐν τῷ κόσμῳ· ποῦ δέ μοι χρησιμεύουσι οἱ ἀμπελῶνες, οὓς ἐφύτευσα, καὶ οἱ ἐλαιῶνες; Ποίαν δέ μοι ὠφέλειαν παρέξεται, ὃν ἐκτησάμην ἀγρόν; Τί δέ μοι ὠφελεῖ τὸ [ὀθνοῦ] ἐκεῖ χρυσίον; Ποῖον δέ μοι ὄφελος παρέχει ὁ πλοῦτος ἐκεῖσε; Τί δέ μοι ὄνησι πᾶν τερπνὸν τοῦ βίου καὶ τοῦ κόσμου ἐκείνου; Οἴμοι, εἰς μάτην ἐκοπίασα· οἴμοι, ὅτι ἀφρόνως ἐβίωσα, οἴμοι, τὴν ἐν ὀλίγῳ καιρῷ δόξαν ἠγάπησα, τὴν αἰωνίαν πτωχίαν ἐκτησάμην· οἴμοι **[392]** τί πέπονθα; Οὐαί μοι, πῶς ἐσκοτίσθην; οὐκ οἶδα· οὐαί μοι, οὐδὲ δυνήσεται νῦν βοηθῆσαί μοι, ὅπως κἀγὼ ἡ ἀθλία τύχω τῆς δόξης τοῦ Κυρίου· μετὰ δὲ τὸ θεωρῆσαι πᾶσαν τὴν χαρὰν τῶν δικαίων ἐν ταῖς ἓξ ἡμέραις, πάλιν ἀναφέρεται ὑπὸ τῶν ἀγγέλων εἰς προσκύνησιν τοῦ Θεοῦ· καλῶς οὖν προσφέρει ἐν τῇ θ' ἡμέρᾳ λειτουργίας καὶ προσφορὰν ἐκτελοῦσα ὑπὲρ τοῦ τελευτήσαντος· μετὰ δὲ τὴν δευτέραν προσκύνησιν πάλιν γίνεται κέλευσις παρὰ τοῦ πάντων δεσπότου, καταγαγεῖν αὐτὴν ἐν τῷ ᾅδῃ καὶ δεῖξαι αὐτῇ τὰ ἐκεῖσε κολαστήρια καὶ διάφορα ταμεῖα τοῦ ᾅδου καὶ τὰς τῶν ἀσεβῶν διαφόρους κολάσεις, εἰς ἃς παρακαθεζόμεναι αἱ ψυχαὶ τῶν ἁμαρτωλῶν διηνεκῶς θρηνοῦσι καὶ βρύχουσι τοὺς ὀδόντας· καὶ ἐν ταῖς τοιαύταις διαφοραῖς τῶν κολάσεων περιφέρεται ἡ ψυχὴ ἡμέρας λ' τρέμουσα, μήπως ἄρα καὶ αὐτὴ ἐν τῷ τοιούτῳ τόπῳ κατακριθῇ φυλάττεσθαι· καὶ τῇ μ' ἡμέρᾳ ἀναφέρεται πάλιν προσκυνῆσαι τῷ Κυρίῳ καὶ τότε λοιπὸν πρὸς τὰ ἔργα αὐτῆς κελεύει ὁ Κριτὴς τὸν τόπον τῆς παραφυλακῆς· καλῶς ἐκτελεῖται ἐν τῇ ἐκκλησίᾳ ταῖς μνείαις τῶν μεθισταμένων καὶ πεφωτισμένων· ἐπὶ δὲ τῶν ψυχῶν τῶν μὴ ἐχουσῶν βάπτισμα τὸ ἅγιον, οὐχ οὕτως· ἀλλὰ [ἀπόνοις] ἄγγελοι ἀπότομοι λαμβάνουσι τὰς ἀφωτίστους ψυχὰς ἀπὸ τοῦ σώματος, τύπτοντες καὶ λέγοντες· δεῦρο, ἀσεβὴς ψυχή, τίς ὁ δεσπότης σου καὶ πάντων Κύριος, ὃν οὐκ ἐθέλησας γνῶναι, ἐν ἀνέσει διάγουσα ἐν τῷ κόσμῳ; Νῦν γνῶθι τιμωρουμένη αἰωνίως· καὶ μέχρι τοῦ πρώτου οὐρανοῦ ἀνάγοντες ἱστᾶσι καὶ δεικνῦσιν αὐτῇ ἐκ μήκοθεν τὴν δόξαν τῶν ἀγγέλων καὶ πάντων τῶν οὐρανίων δυνάμεων, λέγοντες· τούτων ἁπάντων Κύριός ἐστιν Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὃν οὐκ ἠθέλησας γνῶναι καὶ προσκυνῆσαι· ἀλλ' ἀπαχθεῖσα πρὸς τοὺς ὁμοίους ἀσεβεῖς καὶ τὸν τούτων ἄρχοντα τὸν διάβολον εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ[1], οὓς ἐν τῷ βίῳ σου ὡς θεοὺς προσεκύνησας· ταῦτα εἰπόντες οἱ ἄγγελοι καὶ ἀσπασάμενοι τὸν δοῦλον τοῦ Θεοῦ Μακάριον, ἀφανεῖς ἐγένοντο ἀφ' ἡμῶν. Ἡμεῖς δὲ δόξαν ἀναπέμψωμεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

---

1. Ματθ. 25,41.

ΑΠΟΦΘΕΓΜΑΤΑ*

Περὶ τοῦ ἀββᾶ Μακαρίου τοῦ πολιτικοῦ.

1. Ἀπῆλθέ ποτε ὁ ἀββᾶς Μακάριος ὁ πολιτικὸς κόψαι θαλλία καὶ οἱ ἀδελφοὶ μετ' αὐτοῦ· καὶ λέγουσιν αὐτῷ τὴν πρώτην ἡμέραν· δεῦρο, φάγε μεθ' ἡμῶν, πάτερ· ὁ δὲ ἀπῆλθε καὶ ἔφαγε· καὶ πάλιν τῇ ἄλλῃ λέγουσιν αὐτῷ φαγεῖν· ὁ δὲ οὐκ ἤθελεν, ἀλλ' ἔλεγεν αὐτοῖς· ὑμεῖς χρείαν ἔχετε φαγεῖν, τέκνα· ἀκμὴν γὰρ σάρξ ἐστε· ἐγὼ δὲ νῦν οὐ θέλω φαγεῖν.

2. Παρέβαλεν ὁ ἀββᾶς Μακάριος πρὸς τὸν ἀββᾶν Παχώμιον τῶν Ταβεννησιωτῶν· ὁ δὲ Παχώμιος ἠρώτα αὐτὸν λέγων· ὅτε εἰσὶν ἀδελφοὶ ἄτακτοι, καλόν ἐστι παιδεῦσαι αὐτούς; Λέγει αὐτῷ ὁ ἀββᾶς Μακάριος· παίδευσον, καὶ κρῖνον δικαίως τοὺς ὑπὸ σέ· ἔξω δὲ μὴ κρίνῃς τινάς· γέγραπται γάρ· οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε; τοὺς δὲ ἔξω ὁ Θεὸς κρινεῖ[1].

3. Ἐποίησέ ποτε ὁ ἀββᾶς Μακάριος τετράμηνον, παραβάλλων τινὶ ἀδελφῷ ἡμερούσιον· καὶ οὐχ εὗρεν αὐτὸν εὐκαιροῦντα ἀπὸ τῆς προσευχῆς οὐδὲ ἅπαξ καὶ θαυμάσας ἔλεγεν· ἰδοὺ ἐπίγειος ἄγγελος.

* Κατὰ τὴν ἔκδοσιν J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 34, στ. 264.

1. Α' Κορ. 5,12-13.

ΠΕΤΡΟΣ Β΄ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΠΕΤΡΟΣ Β΄ ΑΛΕΞΑΝΔΡΕΙΑΣ (373 - 381)

1. Συναθλητὴς καὶ συνακόλουθος τοῦ Μ. Ἀθανασίου: «Τῶν γὰρ Ἀθανασίου συμμετέσχεν ἱδρώτων, καὶ ἐνδημοῦντί τε καὶ ἀποδημοῦντι συνῆν, καὶ τοὺς παντοδαποὺς σὺν ἐκείνῳ κινδύνους ὑπέμεινε» (Θεοδωρ., Ἐκκλ. Ἱστ., 4,17, παρὰ Migne, PG 82, 1164B). Ἐκ τῶν ἱστορικῶν Σωκράτους (Ἐκκλ. Ἱστ. 4,21, παρὰ Migne, PG 67, 508A/B), Σωζομενοῦ, (Ἐκκλ. Ἱστ. 6,19, αὐτόθι 67, 1337/40) καὶ Ρουφίνου (Historia ecclesiastica, ἐν τῇ ἐκδόσει τοῦ Th. Mommsen, τῆς Ἐκκλ. Ἱστ. τοῦ Εὐσεβίου (CSEG) παρὰ τῆς Βερολινίου Ἀκαδημίας τ. 9, 2-4, Βερολῖνον 1903/04) ὁ τὰ πλείονα περὶ αὐτοῦ παραδοὺς εἶναι ὁ Θεοδώρητος. Ἀξιοπρόσεκτος εἶναι καὶ ἡ ὑπὸ τοῦ ἱστορικοῦ τούτου ἀναγραφομένη εἴδησις, ὅτι ὁ Πέτρος Β΄ ἐπελέγη διάδοχος τοῦ Μ. Ἀθανασίου, ζῶντος ἔτι τούτου καὶ δὴ καὶ ὅτι ἐψηφίσθη «πρώτης μὲν τῆς μακαρίας ἐκείνης ψηφισαμένης κεφαλῆς», δηλ. τοῦ Μ. Ἀθανασίου, «πάντων δὲ συμψήφων γεγενημένων καὶ τῶν ἱερωμένων καὶ τῶν ἐν τέλει καὶ ἀξιώμασι. Καὶ ὁ λαὸς δὲ ἅπας ταῖς εὐφημίαις ἐδήλου τὴν ἡδονήν... καὶ τῶν ἀρχιερέων συνέδραμον οἱ πελάζοντες καὶ τὰς ἀσκητικὰς καταλιπόντες παλαίστρας οἱ ἐν ἐκείναις διάγοντες τὸν Ἀθανασίου θρόνον κληρονομῆσαι τὸν Πέτρον ἠξίουν» (4, 17, Migne, PG 82, 1164B/C). Ἡ σπανία αὕτη περίπτωσις προκαθορισμοῦ διαδόχου τοῦ ἐπισκόπου ζῶντος ἔτι, ἐπαναλαμβάνεται ἐν ἔτει 395 ὑπὸ τοῦ ἐπισκόπου Ἱππῶνος Βαλερίου, χειροτονήσαντος μετὰ τοῦ Μεγαλίου, «συνεπίσκοπον» καὶ διάδοχον αὐτοῦ τὸν ἱερὸν Αὐγουστῖνον (Κ. Μπόνη, Ὁ ἅγιος Αὐγουστῖνος, ἐπίσκοπος Ἱππῶνος (13 Ν/βρίου 354-28 Αὐγ. 430. Ἀθῆναι 1964 σσ. 45/6). Σημειωτέον, ὅτι ὁ 8 κανὼν τῆς ἐν Νικαίᾳ οἰκουμ. συνόδου ἀπαγορεύει νὰ ὑπάρχωσι δύο ἐπίσκοποι ἐν τῇ αὐτῇ ἐπισκοπῇ (Πηδάλιον, ἔκδ. Ἀλ. καὶ Ε. Παπαδημητρίου, Ἀθῆναι 1970 σσ. 133/54, ἔνθα καὶ ἕτεροι σχετικοὶ ἀπαγορευτικοὶ κανόνες καὶ ὀνόματα συνεπισκόπων ἐν τῇ αὐτῇ ἐπισκοπῇ). Ὁ Μ. Βασίλειος χαρακτηρίζει τὸν Πέτρον «θρέμμα», ἤτοι μαθητὴν καὶ ἀνάστημα τοῦ Μ. Ἀθανασίου «καὶ τὴν ἐκ παλαιοῦ διατριβὴν μετ' αὐτοῦ λαχόντα, τῷ αὐτῷ πορεύεσθαι πνεύματι, καὶ τοῖς αὐτοῖς στοιχεῖν τῆς εὐσεβείας δόγμασι» (Migne, PG 42, 569B/C, ἐπ. 133). Τὸ πνεῦμα τῆς ἐπιστολῆς τοῦ Μ. Βασιλείου ἀποδεικνύει ὅτι πρόκειται περὶ ἀπαντητικοῦ εἰς εἰρηνικὸν γράμμα τοῦ Πέτρου Β΄, ἀναλαβόντος ἤδη τὴν διαποίμανσιν τῆς Ἐκκλησίας τῆς Ἀλεξανδρείας, μετὰ τὸν θάνατον τοῦ Μ. Ἀθανασίου τῇ 2 Μαΐου 373, τοῦ Μ. Ἀθανα-

σίου, ὀνομαζομένου νῦν «μακαριωτάτου»: «ἐπιστέλλειν τε ἡμῖν συνήθως τὰ κατὰ σαυτόν, καὶ ἐπιμελεῖσθαι τῆς πανταχοῦ ἀδελφότητος τοῖς αὐτοῖς σπλάγχνοις καὶ τῇ αὐτῇ προθυμίᾳ, ᾗ καὶ ὁ μακαριώτατος ἐκεῖνος περὶ πάντας ἐχρῆτο τοὺς ἀγαπῶντας τὸν Θεὸν ἐν ἀληθείᾳ» (αὐτόθι).

2. Εἴκασάν τινες, ὅτι ὁ ἐν τῇ ἐπιστ. 69 (Migne, PG 32, 429/44) τοῦ Μ. Βασιλείου πρὸς τὸν Μ. Ἀθανάσιον ἀναφερόμενος «πρεσβύτερος» Πέτρος εἶναι ὁ αὐτὸς μὲ τὸν ὕστερον διάδοχον τοῦ Μ. Ἀθανασίου. Ἀλλὰ τὸ πνεῦμα τῆς ἐπιστ. 133 τοῦ Μ. Βασιλείου πρὸς τὸν Πέτρον οὐδὲν τοιοῦτον ἐπιτρέπει νὰ ἐννοήσωμεν. Τοὐναντίον, ὁ Μ. Βασίλειος λεγει, ὅτι «τὴν ἀληθινὴν ἀγάπην ἡ τοῦ Πνεύματος δωρεὰ συνίστησι, συνάπτουσα μὲν τὰ μακρῷ διεστῶτα τόπῳ, γνωρίζουσα δὲ ἀλλήλοις τοὺς ἀγαπητούς, οὐ διὰ σωματικῶν χαρακτήρων, ἀλλὰ διὰ τῶν τῆς ψυχῆς ἰδιωμάτων» (ἔνθ' ἀν.). Ὁ ἐν ἔτει 371 πρὸς τὸν Μ. Βασίλειον ἀπὸ μέρους τοῦ Μ. Ἀθανασίου πεμφθεὶς Πέτρος (Migne, PG 32, 429: «Καὶ νῦν δὲ ἀπὸ τοῦ ἱεροῦ πληρώματος τοῦ ὑπὸ σὲ κλήρου τὸν αἰδεσιμώτατον ἀδελφὸν Πέτρον ἐκπεμφθέντα μετὰ πολλῆς χαρᾶς ἐδεξάμεθα), ὅπως συσκεφθῇ μετ' αὐτοῦ περὶ τοῦ τρόπου τῆς εἰρηνεύσεως «τῆς κατ' Ἀντιόχειαν Ἐκκλησίας, ὡς μὴ ἀσθενεῖν ἐν αὐτῇ τὴν ὀρθὴν μερίδα περὶ τὰ πρόσωπα σχιζομένην» (αὐτόθι), ἀμφιβάλλω ἂν εἶναι ὁ αὐτὸς καὶ πρὸς τὸν ἐν ἔτει 346 ἢ 347 εἰς Ῥώμην ὑπὸ τοῦ Μ. Ἀθανασίου πεμφθέντα «πρεσβύτερον» (Μ. Ἀθαν., Πρὸς μοναχοὺς ἱστορία Ἀρειανῶν, παρὰ Migne, PG 7447), ὡς ὑπέθεσεν ὁ Kettler (Pauly-Kroll, Realencyclopädie d. class. Altertumswiss. τ. 38 λ. «Petros» στλ. 1289 στχ. 1-3), ἐπὶ τῆς ὁμωνυμίας καὶ μόνον στηριζόμενος. Τὸ γεγονὸς πάντως, ὅτι εἰς τὰς λίαν ἐμπιστευτικὰς ἀποστολὰς στέλλεται ὁ πρεσβύτερος Πέτρος ὑπὸ τοῦ ἱ. Ἀθανασίου «θρέμμα» δὲ τοῦ Μ. Ἀθανασίου χαρακτηρίζεται. ὁ ὀνόματι Πέτρος, ὁ καὶ διάδοχος τοῦ Μ. Ἀθανασίου ὑπὸ τούτου ὁρισθεὶς καὶ ψηφισθείς, δύσκολον ἐξ ἄλλου εἶναι καὶ ν' ἀρνηθῶμεν τὴν ὑπόθεσιν, ὅτι πρόκειται περὶ τοῦ ἰδίου προσώπου.

3. Ὁ Μ. Ἀθανάσιος ὥρισεν ὡς διάδοχόν του τὸν Πέτρον, διότι ἤθελε νὰ ἐμποδίσῃ τὴν κατάληψιν τοῦ θρόνου ὑπὸ τοῦ ὁμοιουσιανοῦ ἀρειανόφρονος Λουκίου, ὃν ὁ Οὐάλης ἐπεχείρησε νὰ ἐπιβάλῃ περὶ τὸ 367 ὡς ἐπίσκοπον Ἀλεξανδρείας. Ἀλλ' εὐθὺς μετὰ τὴν ἀνάρρησιν τοῦ Πέτρου, ὁ ἀρειανόφρων ἔπαρχος Ἀλεξανδρείας Παλλάδιος, κατ' ἐντολὴν τοῦ Οὐάλεντος (364/78), «τοὺς τῆς Ἐκκλησίας ἐκύκλωσε περιβόλους, ἐξιέναι τῷ Πέτρῳ παρεγγυῶν· καὶ γὰρ ἄκοντα ἐξελάσειν ἠπείλει» (Θεοδ. 4,18, παρὰ Migne, PG 82, 1164C). «Πέτρος μὲν οὖν ὁ θαυμάσιος, τὸν

ἀδόκητον θεασάμενος πόλεμον, λαθὼν ἐξελήλυθε, καὶ σκάφους ἐπιβάς, εἰς τὴν Ῥώμην ἀπῆρεν» (αὐτόθι). Μετ' ὀλίγας ἡμέρας ὁ ἐξ Ἀντιοχείας ἀρειανόφρων Εὐζώιος, πρότερον διάκονος Ἀλεξανδρείας, ὁ ὑπὸ τῆς Α' ἐν Νικαίᾳ οἰκουμ. συνόδου καταδικασθεὶς καὶ καθαιρεθείς, ἐγκατέστησε διὰ τῆς βίας τὸν Λούκιον. Τὴν κουστωδίᾳ στρατιωτῶν ἐπιβληθεῖσαν ἐγκατάστασιν τοῦ Λουκίου ὑπὸ τοῦ Εὐζωΐου, βοηθουμένου μάλιστα ὑπὸ ἀσεβοῦς τινος, Μάγνου ὀνόματι, περιγράφει παραστατικώτατα αὐτὸς ὁ Πέτρος ἐν τῇ ἐγκυκλίῳ ἐπιστολῇ του πρὸς ἅπαντας τοὺς ἐπισκόπους (Migne, PG 82, 1169B-1181A, Θεοδ., Ἐκκλ. Ἱστ. 4,19). Ὁ ἔπαρχος Παλλάδιος, ὁ ἀρειανόφρων ἐπίσκοπος Ἀντιοχείας Εὐζώιος καὶ ὁ δυσσεβὴς Μάγνος, βοηθούμενοι ὑπὸ πλήθους στρατιωτῶν καὶ ἐπαινούμενοι ὑπὸ τῶν ἀπίστων ἐθνικῶν, εἰσώρμησαν ἐντὸς τοῦ Ναοῦ τοῦ ἁγίου Θεωνᾶ, ἠσχημόνησαν ἐπὶ τῆς ἁγίας Τραπέζης, συνέλαβον παρθένους ἀφιερωμένας τῷ Θεῷ, διεπόμπευσαν αὐτὰς περιάγοντες ἀνὰ τὴν πόλιν γυμνάς, ἱκανὰς δὲ τούτων καὶ διὰ ροπάλων ἐφόνευσαν (Αὐτόθι, παρὰ Migne, PG 82, 1168D: «τὴν μὲν ἐσθῆτα διέρρησσον τῶν ἁγίων Χριστοῦ παρθένων, ὧν ἡ ἄσκησις τόπον ἁγίων ἐχαρακτήριζεν· ὡς δ' ἡ φύσις ἔχει, γυμνὰς πᾶσαν τὴν πόλιν ἐθριάμβευον, διαπαίζοντες μετὰ ἀσελγείας ὃν τρόπον ἐβούλοντο.... ἀλλὰ φεῦ τῶν συμφορῶν! πολλαὶ βιαίως φθορὰν ὑπέστησαν σώματος, πολλαὶ τῶν παρθένων ῥοπάλοις κατὰ κεφαλῆς τυπτόμεναι ἔμενον ἀχανεῖς, οὐκ ἐπιτρεπομένων τῶν σωμάτων οὐδὲ τῇ ὁσίᾳ (δηλ. ταφῇ) παραδίδοσθαι. Πολλὰ οὖν μέχρι σήμερον τῶν γονέων ὀδυρομένων εὑρίσκεται σώματα»). Εἶναι τῇ ἀληθείᾳ ἄξια δακρύων τὰ διαπραχθέντα ἀνοσιουργήματα ὑπὸ τῆς δυσσεβοῦς ταύτης τριανδρίας. Φρύττει πράγματι ὁ ἀναγινώσκων τὴν τραγικὴν περιγραφὴν τῶν αἰσχροτήτων τούτων ἐν τῇ ἐγκυκλίῳ ἐπιστολῇ τοῦ Πέτρου. Ἀκόμη καὶ οἱ εἰδωλολάτραι ἀναθαρρήσαντες προσεφώνουν τὸν ἐπιβήτορα Λούκιον, λέγοντες: «Καλῶς ἦλθες, ἐπίσκοπε, Υἱὸν μὴ λέγων· ὁ Σέραπίς σε φιλῶν εἰσήνεγκε» (ἔνθ' ἀν. στλ. 1172C). Μετὰ μικρὸν ὁ προειρημένος Μάγνος, κατ' ἐντολὴν δῆθεν τοῦ αὐτοκράτορος Οὐάλεντος ἐνεργῶν, ἐκίνησε διωγμὸν κατὰ τῶν ὀρθοδόξων κληρικῶν, «πρεσβυτέρους καὶ διακόνους τὸν ἀριθμὸν ἐννεακαίδεκα συλλαβόμενος, ὧν τινες τὸ ὀγδοηκοστὸν ὑπερβεβήκασιν ἔτος», ἠνάγκασεν αὐτοὺς νὰ προσέλθωσιν εἰς τὸν Ἀρειανισμόν! Ἀλλ' ἐπειδὴ ἐνέμενον ἀπτόητοι εἰς τὴν ὀρθόδοξον πίστιν των οἱ συλληφθέντες καὶ πολλαπλῶς βασανισθέντες κληρικοί, ἐξωρίσθησαν εἰς τὴν εἰδωλολατρικὴν πόλιν τῆς Φοινίκης Ἡλιούπολιν. Ἕνδεκα ἐπίσης ἐπίσκοποι συλληφθέντες ἐξωρίσθησαν εἰς Διοκαισάρειαν τῆς Παλαιστίνης, ὑπὸ Ἰουδαίων κατὰ τὸ πλεῖστον κατοικουμένην, ἀφοῦ καὶ οὗτοι ὑπέστησαν φρικτὰς βασάνους. Πλεῖστοι ὁμοίως τῶν ὀρθοδόξων πιστῶν ἐβασανίσθησαν ἀπανθρώπως, μεταξὺ τῶν ὁποίων καὶ νέοι τὴν ἡλικίαν, ὧν τινες μὴ δυνηθέντες νὰ βαστά-

σωσι τὰς βασάνους, ἀπέθανον. Καὶ ἐπιλέγει ὁ πολυτλας Πέτρος: «Τοιαύτας ὁ καιρὸς ἐκεῖνος ἐδέξατο τραγῳδίας» (ἔνθ' ἀν. στλ. 1180D. Ὅρα καὶ τὴν ἰδίαν ἐπιστολὴν καὶ ἐν Migne, PG 33, 1276-1292). Καὶ ἐπιλέγει ὁ τῶν δεινῶν μάρτυς Ἀρχιεπίσκοπος Ἀλεξανδρείας Πέτρος: «Ἄπιστα τὰ λεγόμενα, ἀπάνθρωπα καὶ δεινά, ὠμὰ καὶ βάρβαρα, ἀνηλεῆ καὶ πικρά»! (PG 82, 1180B καὶ 33,1289A).

4. Ὁ Πέτρος Β' ἐν Ῥώμῃ. Ὡς εἴπομεν, ὁ Πέτρος Β', στοιχῶν τῷ παραδείγματι τοῦ ἑαυτοῦ διδασκάλου Μ. Ἀθανασίου, φυγὼν τὴν σύλληψιν, ἦλθεν εἰς Ῥώμην παρὰ τῷ Πάπᾳ Δαμάσῳ (366-84). Σημειωτέον ὅτι οἱ ἱστορικοὶ Σωκράτης (4, 21 καὶ παρὰ Migne, PG 67, 508: «διὸ τὸν μὲν Πέτρον συλλαβόντες κατάκλειστον πεποιήκασι») καὶ Σωζομενὸς (6,19, παρὰ Migne, PG 67, 1340: «Πέτρον μὲν ᾧ τὴν ἐπισκοπὴν ἐπέτρεψεν Ἀθανάσιος, συλλαβόμενοι καθεῖρξαν». Καὶ κατωτέρω: «Πέτρος δὲ ὁ ἐπίσκοπος, διαδρὰς ἀπὸ τοῦ δεσμωτηρίου, ὡς πρὸς ὁμόδοξον τὸν Ῥωμαῖον ἐπίσκοπον, νηὸς ἐπιτυχών, ἀνέπλευσεν») ἐσφαλμένως ὁμιλοῦσι περὶ συλλήψεως καὶ φυλακίσεως τοῦ Πέτρου Β'. Ἀλλ' ὅτι ἦλθεν εἰς Ῥώμην καὶ μάλιστα περὶ τὸ θέρος τοῦ 373, οὐδεμία ἀμφιβολία (πρβλ. Kettler, Realencyclop. d. Class. Altertumswiss. Pauly-Wissow-Kroll, 38, 1289, 44). Ἐν Ῥώμῃ ὁ Πέτρος ἐγνωρίσθη μετ' εὐσεβῶν γυναικῶν, μία τῶν ὁποίων ἦτο ἡ περίφημος Μαρκέλλα (Ἱερων., Ἐπιστ. 127,5), εἰς τὴν ὁποίαν ἐξιστόρησε τὰ θαυμαστὰ ἐπιτεύγματα τῶν Αἰγυπτίων μοναχῶν καὶ ἐνέπνευσε τὸν ὑπὲρ τοῦ μοναχικοῦ βίου ζῆλον. Ἐπίδρασιν ἐπίσης ἤσκησεν ἐπὶ τοῦ Πάπα Δαμάσου (366/84) καὶ τῆς πολιτικῆς αὐτοῦ ἔναντι τῆς μὴ ἀναγνωρίσεως τοῦ Μελετίου, ὡς ἐπισκόπου Ἀντιοχείας, ὑπὲρ τοῦ ὁποίου εἶχε ταχθῆ ὁ Μ. Βασίλειος, ἀλλ' ὑπὲρ τοῦ Παυλίνου, ὑπὲρ τοῦ ὁποίου εἶχε ταχθῆ ὁ Πέτρος. Ὁ Μ. Βασίλειος ἤδη ἀπὸ τοῦ 371 εἶχεν εἰσηγηθῆ τὴν ἀναγνώρισιν τοῦ Μελετίου τόσον ἐν Ἀλεξανδρείᾳ, ὅσον καὶ ἐν Ῥώμῃ (πρβ. H. Lietzmann, Apollinaris von Laod. u. seine Schule, Innsbruck 1904 σ. 53 καὶ Ed. Schwartz, Zeitschr. f. neutest. Wiss. 34, 178ἑ.). Ἐν ἔτει 375 ὁ Πάπας Δάμασος ἀνεγνώρισεν ἐπισήμως ὡς κανονικὸν ἐπίσκοπον Ἀντιοχείας τὸν Παυλῖνον, παρὰ τὰς ἐκκλήσεις τοῦ Μ. Βασιλείου πρὸς τὸν Πάπαν ὑπὲρ τοῦ Μελετίου. Πρὸς τοῦτο συνήργησεν ὁ φιλοαπολλιναριστὴς ἐπίσκοπος Βιτάλιος, ἐλθὼν πρὸς τοῦτο εἰς Ῥώμην, ἂν καὶ ὁ Πέτρος εἶχεν ἤδη προετοιμάσει ἀρκούντως τὸ ἔδαφος ὑπὲρ τῆς ἀναγνωρίσεως τοῦ Παυλίνου ἀπὸ μέρους τοῦ Δαμάσου (Ed. Schwartz, ἔνθ' ἀν. σ. 181 ἑ.). Ἀλλ' ἡ σκληρὰ στάσις τοῦ Πέτρου ἐφάνη ὕστερον, ὅτε ἐν ἔτει 377 ἦλθεν εἰς Ῥώμην ὁ τοῦ Μελετίου πρεσβύτερος Δωρόθεος, ὁπότε ὁ Πέτρος, παρουσίᾳ τοῦ τε Πάπα Δαμάσου καὶ τοῦ

πρεσβυτέρου Δωροθέου ἐχαρακτήρισε τὸν Μελέτιον ὡς ἀρειανόν! Τοῦτο δ' ἔδωκεν ἀφορμὴν εἰς τὸν πρεσβύτερον Δωρόθεον νὰ χρησιμοποιήσῃ αὐστηρὰν γλῶσσαν καί πως ἀγενῆ κατὰ τοῦ Πέτρου (πρβλ. Μ. Βασιλ. ἐπιστ. 266, 2, παρὰ Migne, PG 32, 993B. Ed. Schwartz, ἔνθ' ἀν. σ. 186).

5. Καὶ ἡ πρὸς τὸν Ἀπολλιναρισμὸν εὐμενὴς ἐν ἀρχῇ τοποθέτησις τοῦ Πάπα Δαμάσου ὠφείλετο εἰς τὴν ἐπίδρασιν τοῦ Πέτρου. Ἡ αἰτία ἀναζητητέα εἰς τὴν παλαιὰν ἀναγνώρισιν ὑπὸ τοῦ Μ. Ἀθανασίου ὡς ὀρθοδόξου ὀπαδοῦ τῶν ἀποφάσεων τῆς Νικαίας τοῦ Ἀπολλιναρίου (Lietzmann, ἔνθ' ἀν. σ. 3 καὶ 5). Εἶναι γνωστὸν ὅτι ὁ Ἀπολλινάριος ἀντήλλαξεν ἐπιστολὰς μετὰ τῶν ἕνδεκα εἰς Διοκαισάρειαν τῆς Παλαιστίνης ἐξορισθέντων ἐπισκόπων, ὀπαδῶν τοῦ Πέτρου (Θεοδ. Ἐκκλ. Ἱστ. 34,22 καὶ παρὰ Lietzmann, Apollinaris σσ. 255/6). Ἀλλὰ διεκόπη ἡ ἐπιστολικὴ αὕτη ἐπικοινωνία εὐθὺς ὡς ὁ Ἀπολλινάριος κατεδίκασε τὸν Παυλῖνον. Ὅτε δὲ διέγνωσαν τὴν περὶ σαρκώσεως τοῦ Λόγου κακοδοξίαν τοῦ Ἀπολλιναρίου, καὶ ὅτι οὗτος ἀπεμάκρυνε τῆς ἑαυτοῦ κοινωνίας τὸν Ἐπιφάνιον καὶ τὸν Διόδωρον, ᾐσθάνθησαν ἑαυτοὺς ὑποχρεωμένους ν' ἀποταθῶσιν εἰς τοὺς μοναχοὺς τῆς Νιτρίας, τοὺς ἄχρι τότε κοινωνοῦντας μετὰ τῶν μοναχῶν, τῶν φίλα πρὸς τὸν Ἀπολλινάριον διακειμένων, ὅπως προφυλάξωσιν αὐτοὺς ἀπὸ τὸν Ἀπολλινάριον καὶ τοὺς ὀπαδούς του, ὡς μὴ ὀρθῶς περὶ τὴν ὀρθόδοξον πίστιν πολιτευομένους (τὴν φιλικὴν πρὸς τὸν Ἀπολλ. ἐν ἀρχῇ τοποθέτησιν τοῦ Μ. Ἀθαν. ἀποδεικνύει καὶ ὁ πρὸς τοὺς Ἀντιοχεῖς τόμος τοῦ Μ. πατρός, παρὰ Migne, PG 26, 808A. Πρβλ. Facundus Hermiane, Pro defensione trium capitulorum (περὶ τὸ 550 συνταχθὲν ἔργον), παρὰ Migne PL 67, 618 ἑ. καὶ Μ. Βασιλ. ἐπιστ. 265,2, παρὰ Migne, PG 32, 985). Τὴν κατὰ τοῦ Ἀπολλιν. στροφήν των ἀνεκοίνωσαν οἱ ἐξόριστοι ἐπίσκοποι τῆς Αἰγύπτου καὶ εἰς τὸν Πέτρον. Ὁ Πάπας Δάμασος, ὅστις ἐν ἔτει 375 ἀνεγνώρισε τὸν ὀπαδὸν τοῦ Ἀπολλιναρίου Βιτάλιον ὡς ὀρθόδοξον καὶ τὸν Παυλῖνον ὡς κανονικὸν Ἀρχιεπίσκοπον Ἀντιοχείας, μετέβαλεν αἰφνιδίως τὸ 376 γνώμην, τοῦθ' ὅπερ ὠφείλετο πιθανῶς εἰς νέαν εἰσήγησιν αὐτοῦ τοῦ Πέτρου (Ed. Schwartz, ἔνθ' ἀν. σ. 184 ἑ.). Τὸ ἑπόμενον ἔτος 377 συνεκάλεσεν ἐν Ῥώμῃ σύνοδον, εἰς ἣν κληθεὶς παρίστατο καὶ ὁ Πέτρος (Θεοδωρήτου, Ἐκκλ. Ἱστ. 5,10, 5, παρὰ Migne, PG 82, 1120/1. Ῥουφίνου, Ἐκκλ. Ἱστ. 11,20, παρὰ CSEG τῆς Βερολινίου Ἀκαδημίας τ. 9, 1903/09, ἔκδ. Th. Mommsen. Σωζομ. 6,25, 6, παρὰ Migne, PG 67, 1357/61), ἥτις καὶ κατεδίκασε τὸν Ἀπολλινάριον (πρβλ. Lietzmann, Apollin. σ. 26 ἑ.). Εἰς τὴν καταδίκην τοῦ Ἀπολλιναρίου ἀσφαλῶς συνέβαλεν ἡ πεμφθεῖσα πρὸς τοῦτο ἐπιστολὴ τοῦ Μ. Βασιλείου

(*Ἐπιστ. 263,4, παρὰ Migne, PG 32, 796/81: «Τοῖς Δυτικοῖς». Πρβλ. Ed. Schwartz, ἔνθ' ἀν. σ. 187*), *ἡ δὲ σύγκλησις τῆς συνόδου ὠφείλετο καὶ εἰς τὴν εἰς Ῥώμην ἄφιξιν τοῦ φίλα πρότερον πρὸς τὸν Ἀπολλινάριον προσκειμένου ἐπισκόπου Βηρυττοῦ Τιμοθέου, ἀλλὰ καὶ εἰς εἰσήγησιν τοῦ Πέτρου, ὡς ἐμφαίνεται ἐκ τῆς ἐπιστολῆς τοῦ Πέτρου πρὸς τοὺς ἐπισκόπους, πρεσβυτέρους καὶ διακόνους, τοὺς εἰς Διοκαισάρειαν τῆς Παλαιστίνης ἐξορίστους Αἰγυπτίους φίλους τοῦ Πέτρου* (*Migne, PG 33, 1275/92. Τὰ ἐν τέλει λατινιστὶ τέσσαρα ἀποσπάσματα ἐκ τοῦ Facundus Hermiane, παρὰ Migne PL 67, 613 καί 799, pro def. tr. cap. IV, 2*).

6. Παρὰ τὴν συμφωνίαν τοῦ Πέτρου μετὰ τοῦ Μ. Βασιλείου ὡς πρὸς τὴν καταδίκην τοῦ Ἀπολλιναρίου, ἐν τούτοις ἡ μεταξύ των διάστασις ὠξύνθη ἔτι μᾶλλον ἐν τῇ συνόδῳ ἔκ τινος συμπτώσεως. Κληρικοὶ ὀπαδοὶ πρότερον τοῦ Μαρκέλλου Ἀγκύρας, μετὰ τὸν θάνατον αὐτοῦ ἐπεδίωξαν νὰ ἐπανέλθουν εἰς τὴν Ἐκκλησίαν τῶν ὀρθοδόξων ὀπαδῶν τῆς Νικαίας, τοῦθ' ὅπερ ἐγένετο ἀποδεκτὸν οὐ μόνον ὑπὸ τοῦ Παυλίνου (*Μ. Βασιλ. ἐπιστ. 263, 5*), *ἀλλ' ἐπίσης ὑπὸ τῶν Αἰγυπτίων ἐπισκόπων τῶν ἐν ἐξορίᾳ ἐν Διοκαισαρείᾳ εὑρισκομένων, ἐν ὄψει μάλιστα τῆς προτέρας πρὸς τὸν Μάρκελλον τοποθετήσεως τοῦ Μ. Ἀθανασίου* (*Μ. Βασιλ. ἐπιστ. 265,3 καὶ 266, 1*). *Ὁ Μ. Βασίλειος δὲν ἠδύνατο νὰ συμφωνήσῃ πρὸς τὴν γνώμην τῆς ἀποδοχῆς τῶν ὀπαδῶν τοῦ Μαρκέλλου, ἐφ' ὅσον ἡ διδασκαλία τούτου εἶχεν ὑπὸ συμπάσης τῆς Ἀνατολῆς σχεδὸν κατακριθῇ καὶ ὑπὸ τῶν νέων ὀπαδῶν τῆς Νικαίας ἀποκρουσθῇ. Ὅθεν ἐστράφη ἐν ἀγανακτήσει πρὸς τοὺς Αἰγυπτίους ἐν Διοκαισαρείᾳ ἐξορίστους κληρικοὺς καὶ ἐπετίμησεν αὐτούς, διότι χωρὶς προσυνεννόησιν μετ' αὐτοῦ καὶ τοῦ Πέτρου προέβησαν εἰς κοινωνίαν μετὰ τῶν ὀπαδῶν τοῦ Μαρκέλλου* (*Μ. Βασιλ. ἐπιστ. 266,1. Πρβλ. καὶ ἐπιστ. 265 καὶ Ed. Schwartz, ἔνθ' ἀν. σ. 188*). *Συγχρόνως ᾐτήσατο διὰ τῆς ἐπιστολῆς του 263 πρὸς τοὺς Δυτικοὺς* (*Migne, PG 32, 976*), *πρὸ τῆς συγκλήσεως τῆς συνόδου κατὰ τοῦ Ἀπολλιναρίου ἐν Ῥώμῃ συνελθούσης, ὅπως κατακριθῇ καὶ ὁ Παυλῖνος, ὡς «τοῖς Μαρκέλλου προσπεπονθὼς δόγμασι». Ὁ Πέτρος, λαβὼν ἀφορμὴν ἐκ τῆς ἐπιστολῆς ταύτης τοῦ Μ. Βασιλείου, ἐπεστείλατο ἐπιστολὴν πρὸς τοὺς Αἰγυπτίους κληρικοὺς εἰς Διοκαισάρειαν, καθιστῶν τούτους προσεκτικοὺς ἐν τῇ ἀποδοχῇ καὶ τῇ κοινωνίᾳ μετὰ τῶν ὀπαδῶν τοῦ Μαρκέλλου, ὑποδείξας ἅμα τοὺς ὅρους ὑφ' οὓς ἠδύναντο οὗτοι νὰ γίνωσι δεκτοί. Φαίνεται δ' ὅτι ἐπεστείλατο καὶ ἐπιστολὴν ἰδιαιτέραν πρὸς τὸν Μ. Βασίλειον — μὴ διασωθεῖσαν —, ἐν ᾗ παρεπονεῖτο, διότι ὁ Μ. Βασίλειος δὲν ἀπηυθύνθη κατ' εὐθεῖαν πρὸς αὐτόν, ἀλλ' ἔγραψεν εἰς τοὺς ἐν Διοκαισαρείᾳ Αἰγυπτίους κληρικοὺς τὰ περὶ*

Μαρκέλλου. Καὶ ἡ ἀντίθεσις κατέστη ὀξυτέρα, λόγῳ τῆς τραχείας συμπεριφορᾶς τοῦ Δωροθέου, τοῦ ἀπεσταλμένου τοῦ Μ. Βασιλείου εἰς Ῥώμην, ὅπως διαπραγματευθῇ μετὰ τοῦ Πάπα Δαμάσου ὑπὲρ τῆς ἀναγνωρίσεως τοῦ Μελετίου Ἀντιοχείας. Γράφει σχετικῶς ὁ Μ. Βασίλειος: «Ἐλύπησε δὲ ἡμᾶς ὁ ἀδελφὸς Δωρόθεος, ὡς αὐτὸς ἐπέστειλας, μὴ πάντα προσηνῶς μηδὲ πράως διαλεχθεὶς τῇ κοσμιότητί σου» (ἐπιστ. 266, παρὰ Migne, PG 32, 993). Συγχρόνως ὑπέμνησεν ἐλεγκτικῶς ἐν τῇ πρὸς τὸν Πέτρον ἐπιστολῇ του ὁ Μ. Βασίλειος (ἔνθ᾽ ἀν.), ὅτι παρουσίᾳ τοῦ Πάπα Δαμάσου ὁ Πέτρος ἐτόλμησε νὰ συγκαταριθμήσῃ ὡς ἀρειανόφρονας «τοὺς θεοφιλεστάτους ἀδελφοὺς ἡμῶν, τοὺς συλλειτουργοὺς Μελέτιον καὶ Εὐσέβιον» (PG 32, 993C).

7. Τὸ ἔαρ τοῦ 378, ὅτε ὁ αὐτοκράτωρ Οὐάλης διεξῆγε τὸν κατὰ τῶν Γότθων πόλεμον, πρὶν ἢ ἀκόμη ἀναγγελθῇ ὁ θάνατος αὐτοῦ, ὁ Πέτρος ἐθεώρησεν εὔκαιρον τὴν περίστασιν νὰ ἐπιστρέψῃ εἰς Ἀλεξάνδρειαν, κομίζων μάλιστα καὶ συστατικὴν ἐπιστολὴν τοῦ Πάπα Δαμάσου (Σωκρ. 4,37,2. Σωζομ. 6,39,1, ἔνθ᾽ ἀν.). Ὁ ἐπιβήτωρ Λούκιος ἐξεδιώχθη ὑπὸ τῶν πιστῶν ὀπαδῶν τοῦ Πέτρου Β΄, ἠναγκάσθη δὲ νὰ καταφύγῃ εἰς Κων/πολιν (Σωκρ. 4,37, 3. 5, 7, 9. Σωζομ. 6,39,1. 7,5,6). Διὰ τῆς νέας ἐκκλησιαστικῆς πολιτικῆς τοῦ Θεοδοσίου Α΄ τοῦ μεγάλου (379-95) εὐθὺς μετὰ τὸν θάνατον τοῦ Οὐάλεντος (664/78. Ὁ Οὐάλης ἀπέθανε τῇ 9ῃ Αὐγούστου 378, ὁ δὲ Μ. Θεοδόσιος ἀνῆλθεν εἰς τὸν θρόνον τῇ 19ῃ Ἰανουαρίου 379), ἐστερεώθη πλέον ἡ θέσις τοῦ Πέτρου Β΄ ἐν τῷ πατριαρχικῷ θρόνῳ τῆς Ἀλεξανδρείας. Ὁ Πέτρος Β΄ ἐπεδείξατο τοιαύτην μεγαθυμίαν, ὥστε αἱ κακαὶ γλῶσσαι κατηγόρουν τοῦτον ὅτι μὲ τὴν στάσιν του ἔναντι τῶν μεθισταμένων πρὸς αὐτὸν πρότερον ὀπαδῶν τοῦ Λουκίου, ἠθέλησε νὰ καρπωθῇ ὀφέλη καὶ ν᾽ αὐξήσῃ τὰ οἰκονομικά του. Τοῦτο δὲ διότι οἱ ὀπαδοὶ τοῦ Λουκίου προήρχοντο κατὰ τὸ πλεῖστον ἐκ τῆς Ἀλεξανδρινῆς ἀριστοκρατίας καὶ τῶν ἀνωτάτων ὑπαλλήλων τοῦ κράτους (Ἱερων. Χρονικόν: Eusebius - Hieronymus - Cronik, herausg. von R. Helm, παρὰ CSEG 24,34, τόμ. 1-2. 1913/26, I, σ. 247). Ἀλλ᾽ ἡ ἐπιτυχία τῆς ἐκκλησιαστικῆς πολιτικῆς τοῦ Πέτρου Β΄ περιωρίσθη ἐντὸς τῶν ὁρίων τῆς Αἰγύπτου. Οὐδὲ πόρρωθεν ἠδύνατο νὰ συγκριθῇ πρὸς τὸν μέγαν διδάσκαλόν του, τὸν Μ. Ἀθανάσιον. Ἡ μόνη ἀνταύγεια τοῦ προσώπου του ὑπῆρξεν ἡ ὑπὸ τοῦ Θεοδοσίου Α΄ τοῦ μεγάλου διὰ τοῦ ἐδίκτου τῆς 28 Φ/ρίου 380 πρὸς τὸν λαὸν τῆς Κων/πόλεως διακήρυξις, ὅτι ὁ συμφωνῶν πρὸς τὰ ὀρθόδοξα φρονήματα τοῦ Πέτρου καὶ τοῦ Πάπα Δαμάσου εἶναι τῇ ἀληθείᾳ ὀρθόδοξος (Codex Theod. XVI, 2. Inst. I, 1. 1. Ὁ Θεοδώρητος κακῶς ἀποδίδει τὸ ἔδικτον εἰς τὸν Γρατιανὸν (αὐτοκράτωρ τῆς Δύσεως 375/6-383), εὐσεβῆ πράγματι καὶ

ἤπιον βασιλέα (Πρβλ. καὶ Σωζ. Ἐκκλ. Ἱστ. 7,4. Βασ. Στεφανίδου, Ἐκκλ. Ἱστορ. σ. 133 ἑ.). Τὸ ὅτι τὸ ἔδικτον τοῦ μεγάλου Θεοδοσίου Α' ἀπηυθύνετο μόνον εἰς τὸν λαὸν τῆς Κ/πόλεως καὶ οὐχὶ εἰς τοὺς λαοὺς τῆς Ἀνατολῆς καὶ μάλιστα τῆς Ἀντιοχείας, ὁ Schwartz ἀποδίδει εἰς τὸ γεγονὸς ὅτι αἱ περὶ τῶν προσώπων διενέξεις δὲν εἶχον εἰσέτι καταπαύσει καὶ μεταξὺ τῶν ὀρθοδόξων (Ed. Schwartz, ἔνθ' ἀν. σ. 197).

8. Πέτρος Β' Ἀλεξανδρείας καὶ Γρηγόριος Θεολόγος, ὁ καὶ Ναζιανζηνός. Τὸ φθινόπωρον τοῦ 379 ἠδυνήθη ὁ Μελέτιος νὰ καταλάβῃ τὸν θρόνον τῆς Ἀντιοχείας. Ἡ παπικὴ πάντως ἀναγνώρισις, παρὰ τὰς πολλὰς προσπαθείας, δὲν εἶχεν εἰσέτι πραγματοποιηθῆ (Ed. Schwartz, ἔνθ' ἀν. σ. 197 ἑ.). Κατὰ τὴν ἐποχὴν ταύτην, ὁ Γρηγόριος ὁ Θεολόγος, ἕτοιμος ν' ἀναδεχθῇ τὸν ὑψηλὸν θρόνον Κων/πόλεως, φίλα δὲ πρὸς τὸν Μελέτιον Ἀντιοχείας διακείμενος, ἀπετάθη καὶ ἐπέτυχεν, ὡς ἦτο ἑπόμενον, τὴν ὑποστήριξιν τούτου. Ἀλλ' ὁ Πέτρος Ἀλεξανδρείας ἐφάνη μὲν ἐν ἀρχῇ ὅτι θ' ἀνεγνώριζε τὸν Γρηγόριον, ὑποκρύπτων, ὡς ἐφάνη ὕστερον, τὴν ἰδίαν αὐτοῦ πολιτικὴν τοποθέτησιν ἐπὶ τῆς μελλοντικῆς ἐκλογῆς τοῦ Πατριάρχου Κων/πόλεως. Τοῦτο ἐπισημαίνουν οἱ πλήρους ἀγανακτήσεως λόγοι τοῦ Γρηγορίου:

«Πῶς Πέτρος αὐτός, ὁ βραβεὺς τῶν ποιμένων,
Πρῶτον μὲν ἡμᾶς ἐγκαθίστα γράμμασιν
Οὕτω προδήλως διπλόης ἐλευθέρης,
Ὡς αὐτὰ πείσει τὰ πρὸς ἡμᾶς γράμματα,
Καὶ συμβόλοις ἐτίμα τῆς ἱδρύσεως.
Νῦν δ' ἧκεν ἡμῖν νεβρὸς ἀντὶ παρθένου·
Ταῦτ' οὐ πρόδηλα, ταῦτα δεῖθ' ἑρμηνέως».

(Migne, PG 37, 1088/9), στχ. 858/64: Ἔπη ἱστορικά, Περὶ ἑαυτοῦ). Τὰ αὐτά που ἐπαναλαμβάνει καὶ ἐν στλ. 1099 καὶ ἐν στχ. 1015:

«Πέτρῳ γάρ, ὦ δίσχιστος ἡ γραφὶς ποτ' ἦν,
Πάντα γράφοντι ῥαδίως τἀναντία,
Μισθοφορικόν τι τῶν ἀνεστίων ἔχων,
Ἐμφύεται, καὶ τὸν γέροντ' ἀποστενοῖ.
Ἢ τοῦτον αἰτῶν, ὅνπερ ἤλπισε θρόνον,
Ἢ τοῦ παρόντος μὴ μεθήσεσθαι λέγων».

Τὸν Αὔγουστον τοῦ 380 ὁ Γρηγόριος ἐξεφώνησεν ἐνθουσιώδη Λόγον «Εἰς τοὺς ἀπ' Αἰγύπτου ἐπιδημήσαντας», ἐν ᾧ ἐγκωμιάζων τὸν Πατριάρχην Ἀλεξανδρείας Πέτρον Β', παραβάλλει τοῦτον πρὸς τὸν Ἰωσήφ, τὸν Μ. Ἀθανάσιον καὶ τὸν Πέτρον τὸν

